BIBLIOTECA
DE LA
Universidad de Salamanca.
Sala 1 Est. 24 Tab. 9 Núm. 2

ARRIANV̄

30773

110
44
154

[illegible]

1000
374
626

220
154
374



b16403290

# ΑΡΡΙΑΝΟΥ
## ΠΕΡΙ ΑΛΕΞΑΝΔΡΟΥ
## ΑΝΑΒΑΣΕΩΣ ΙΣΤΟΡΙΩΝ
## βιβλία ὀκτώ.

# ARRIANI DE EXPEDITIONE SIVE REBUS GESTIS

*Alexandri Macedonum Regis libri octo, nuper & reperti, & quàm diligentissimè in lucem editi.*

Num. 25. cap. 2. num. 6.
2

Historiam quoq; eandem, olim quidem a Bartholomæo Facio latinitate donatam, nunc uero innumeris quibus scatebat mendis repurgatam, hic adiungi curauimus, ut & conferri a linguæ Græcæ studiosis possit, & quid in utraque a nobis præstitum sit, facilius appareat.

1a
30773

BASILEAE.

BIBLIOTECA UNIVERSITARIA SALAMANCA

# CLARISSIMO ET VERE NOBILI VIRO D. Iacobo Sturmio Argentinensis Rei publicæ ex Patritijs Proconsuli, patrono suo amantissimo,

NICOLAUS GERBELIUS S. D. P.

BONA PARS illorum, qui hactenus illustriū uirorū labores & monumēta amicis seu patronis suis dedicarūt, id potissimùm quæsiuere, ut amicorum atque patronorum uirtutes & benefacta, posteris commendarent. Ego uerò nobilissime STURMI, quum omnis laus uirtusq; tua per se satis ampla, satisq; magnifica sit, & mea commendatione minimè indigeat: rationē longè aliam sequutus sum, hanc uidelicet. Quum tu in celeberrima Repub. Argentinensium

 multis

multis iam annis magna cum auto-
ritate uersatus sis, & in difficilimis
istis temporibus non sine ingenti uti
litate urbs nostra officio tuo utatur,
unàq; cum amplissimis Senatoribus
non leuia pericula adeas, non alie-
num ab officio meo & dignitate tua
uisum mihi est, si historiam maximi
herois, potētissimiq; Regis, tibi exhi
berem: quo tu hic quæ rectissimè fe-
cit, ueluti ductore & exemplo utere-
ris. Nondū enim reperio quenquā
ex ueteribus illis regibus, de quo plu
res ingenij sui fructum ediderint,
quàm de Alexandro Magno, Phi-
lippi filio, & Macedonum rege. Plu
tarchus enim, rerum ab Alexandro
gestarum Scriptores plus minus de-
cem & septem, supra uiginti nomi-
nat Volaterranus. Siquidem ut ad-
miranda fuit eius natiuitas (si uera
prodidêre historici) ita & tota uita
ipsius, scribendi materiam omnibus
præcla



ris & eruditis ingenijs suppe-
ditauit. Quinetiā & Liuius ille, cui
primas in historia partes nemo non
tribuit, nō abnuit egregium ducem
fuisse Alexandrum: quanquam pro
gentis suæ gloria collationem faciat
suorum cum Alexandro, Græcis ho
minibus suspectā. Quicquid autem
de singularis animi imperatore dici
potest, hoc ferè nominibus duobus
absoluit in quarto ARRIANVS,
Regum eum βασιλικώτατον & στρα-
τηγῶν ἀξιοστρατηγότατον appellans.
Sed hæc atq; alia, octo libris elegan-
tius atque uberius hic noster expli-
cauit. de quo nonnulla mihi narran
da esse arbitror, quo tibi & studiosis
omnibus charior sit autor, numeris
omnibus absolutissimus. Suidas ita-
que ARRIANVM Nicomedensem
fuisse, memoriæ prodidit: philoso-
phum è familia Epicteti Stoici, sub
Adriano & Antonino Pio Roma-
nis

nis imperatoribus: quibus ob eloquentiam & uitæ integritatem adeò fuit acceptus, ut maximis ab his honoribus sit exornatus. Is Arrianus, νέος ξενοφῶν ab autoribus dictus est: adeoq; diligens Xenophontis æmulator fuit, ut etiam librorum titulos antea à Xenophonte usurpatos imitatus sit. Quemadmodum enim Xenophon Cyri iunioris, cuius in bello comes extitit, παιδείαν cōscripsit: ita & Arrianus de Epicteti uita tres libros ex Epicteti maximis uoluminibus, temporum postmodum iniuria deperditis, ueluti flores decerptos congesit. Deinde ut Xenophon libros septem ἀναβάσεως Cyri, sic noster libros octo Alexandri Magni ἀναβάσεως posteritati commendauit. Hæc sanè in inscriptionibus. Verùm in referenda iucunditate & elegantia Xenophontis, neruis atq; uiribus omnibus Arrianus aduigi-





lauit. Quòd si quis per otium Arriani libros cum Xenophonte contulerit, uidebit non infeliciter, neq; aduersis Gratijs & Musis conatum illum Arriano cessisse: qui res ab Alexandro gestas, mira breuitate, & incredibili dicēdi suauitate adeò splendidè depinxit, posuitq; ob oculos, ut sæpe mihi uisus sim expugnationibus illis urbium, petrarum, Barbararumq; gentium adesse. Porrò prçter Epicteti ἐγχειρίδιον, & octo libros Alexandri ἀναβάσεως, etiam de patrijs rebus libros cōposuisse dicitur. nam in decimosexto, & aliàs sæpe in Bythinicis citatur à Stephano, in libro de Vrbibus: præterea & in Indicis, in dictione μαλοσακα. Cæterum & Parthica scripsisse Arrianū optimus testis est idem Stephanus, qui decimū septimum τῶν παρθικῶν adducit. De Ponti Euxini, & Rubri maris periplo, quid attinet dicere?

quum iam eruditorum manibus hic liber atteratur, etiam à Stephano citatus. Sed ad octo libros Alexandri ἀναβάσεως nobis reuertendum est, in quibus ARRIANVS Alexandri Magni res terra mariq; gestas, mira sedulitate atq; diligentia literis mādauit. Quid enim Deus bone prætermisit, quod ad ueri & sollertis historici officium pertinet? Quanto studio prosequitur passim & Macedonum & Barbarorū arma, uestitum, mores? quanta cura machinas bellicas, oppugnationes urbium, earumq; rerum omnium quæ in talibus accidere solent, exactissimam descriptionem? Atq; illud singulari ardore & studio in rebus Indicis: perinde ac si animo præsenserit, autores qui de his & doctè & copiosè scripserunt, aliquando interituros: ueluti fuère Megasthenes, Basilis, & Demachus, quorū in Dipnosophistis meminit Athe-



Athenæus: item & Apollonius ille Tyaneus, proprio de his rebus ad Indos misso commentario, ut scribit Suidas: tum etiam Martianus, cuius testimonio utuntur Stephanus & Hermolaus. Videbis apud Bactrianos, prudētissime STVRMI, legesq; cum ingenti uoluptate ἄορνον petrā, locum munitissimum, & Barbarorum eius gentis omnium ὁρμητήριον, qua calliditate, quibus machinis, qua arte & industria militū in potestatem suā redegerit, ante id tempus etiam Herculi illi Iouis filio inexpugnabilē, siue is Thebanus, siue Aegyptius, aut Tyrius fuerit. Omitto quanta prudentia usum Alexandrū commemoret, in mittendis legatis: quos uiros ad id munus selegerit, peritos scilicet linguarū morumq; earum gentium ad quas mittebantur. qualem denique se aliorum populorum legatis exhibuerit, in armis, in

in gratia & pulchritudine uultus, & in totius corporis maiestate propè diuina, ut aliquoties peregrini legati pronos se ante illius pedes prostrauerint, hominis permoti grauitate & magnificentia. Sed quid attinet illa, quæ omnia in hoc autore sunt selectissima, hoc loci commemorare? ἰδοὺ ῥόδος, ἰδοὺ καὶ τὸ πήδημα. Ipse uideas optime STVRMI, & reliquis huius classis autoribus, quorum tibi nō exigua cognita est copia, si quando tibi præ curarum magnitudine licebit, adiunge & hunc nostrum. Sed heus tu nobilissime STVRMI, unum adhuc superest, cuius te ut admoneam, promissi fides requirit. Quum diebus his proximis ex insolita animi afflictatione, remittendi mœroris gratia in lectulum me reclinassem, somnusq; pedetētim, ut fit, oculos occupasset, ecce uir quidam statura admodum procera, ad lecti

caput



caput astare mihi uisus est, pallida facie, macilentus, barba nigra, sed rara & bifurcata, pallio circum humeros Bythinico, Ioanni nostro Sturmio, si is esset procerior, simillimus. Iste quem uidere mihi certò uidebar, auriculam dextram apprehensam uellicabat, sed admodum mansuetè & ciuiliter. Tandem, ὦ νικόλεω, inquit, θάρσει θάρσει, & cætera: quæ postea euigilans, ilicò tibi Latinè utcunque feci. Bono animo sis Nicolae, neq; te amplius excrucia: quæ de libris nostris meditatus es, placent. Verùm illud unum caue prætermittas, Ioannem Oporinum, præstantem atq; sollertem in suscitādis regignendisq; ac luce donandis ueterum autorum scriptis artificem, strennuam operam nauasse: ipsumq; ea in re nihil mihi præstare potuisse acceptius. nam papyrus nitidissima, literę perquàm elegantes, uel ut ipse dicebat

νεοχά-

νεοχάρακτοι τύποι. in diſtinguendis
ſententijs per cola, commata & pun-
cta, inæſtimabili & cura & diligen-
tia uſus. nulli ſumptui, nullis uigi-
lijs, nulli labori pepercit: quæ alibi
inuerſa, perturbata, aut intellectu
difficilia, in ordinem digeſsit & illu-
ſtrauit. Vtinam & Bythinica mea,
quæ patriæ captus amore, magno
ſtudio, intolerãdisq; laboribus con-
ſcripſi, rebusq; cognitu pulcherri-
mis exornaui, in Oporini tui, imò
nunc mei, manus deuenirent, ut &
iſta illius opera & ſtudio excuderen
tur: quæ ubi gentium deliteant, cum
blattis & tineis bellum gerentes, ſuo
tibi tempore reuelabimus. Gratiam
certè illi maximam debeo Nicolae,
per quem ſudores mei publicum ſor
titi, cum dignitate atque gloria non
tenui ad poſteritatem transferũtur.
Cum dicto & imago & ſomnus me
reliquerunt; ego quæ memoriæ hæ-
ſere,



ſere, bona fide retuli, & epiſtolę ſub-
iunxi. Quæ ſi tibi amantiſsimo pa-
trono meo placuerint, calcar & ani-
mum mihi adijcies, etiã alia his non
inferiora fortè cõmentandi. Vale de-
cus urbis noſtræ, & præſidiũ meum.

Argentorati, in ædibus noſtris.
Calendis Februarij,
Anno
M. D. XXXVIIII.

## ARRIANI VITA ex Suida.

ΑΡΡΙΑΝΟΣ νικομηδεὺς, φιλόσοφος ἐπικτήτειος, ὁ ἐπικληθεὶς νέος Ξενοφῶν. ἦν δὲ ἐν ῥώμῃ ἐπὶ ἀδριανοῦ καὶ μάρκου καὶ ἀντωνίνου τῶν βασιλέων, καὶ ἀξιωμάτων μεταλαβὼν, καὶ μέχρις αὐτοῦ τοῦ ὑπατεῦσαι, καθά φησιν ἑλικώνιος, διὰ τὴν τῆς παιδείας δεξιότητα. ἔγραψε δὲ βιβλία παμπληθῆ.

## EX VOLATERRANO.

ARRIANVS è Nicomedia historicus, Xenophon minor cognominatus: sicut ille de Cyro, ita hic de Epicteto philosopho, eiusq; dissertationibus opus edidit tribus uoluminibus. Scripsit quoq; historiam Alexandri Magni octo libris. Vtrunque opus habetur in bibliotheca Vaticana. Emicuit Romæ sub Hadriano & M. Antonino principibus, à quibus ob literas honoribus usque consularibus euectus est: autor Heliconius.

# ΑΡΡΙΑΝΟΥ ΑΛΕΞΑΝΔΡΟΥ ΑΝΑΒΑΣΕΩΣ ΙΣΤΟΡΙΩΝ ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

## ΠΡΟΟΙΜΙΟΝ.

ΠΤΟΛΕΜΑΙΟΣ ὁ λάγου, καὶ ἀριστόβουλος ὁ ἀριστοβούλου, ὅσα μὲν ταὐτὰ ἄμφω περὶ ἀλεξάνδρου τοῦ φιλίππου ξυνέγραψαν, ταῦτα ἐγὼ ὡς πάντῃ ἀληθῆ ἀναγράφω· ὅσα δὲ οὐ ταὐτά, τούτων τὰ πιστότερα ἐμοὶ φαινόμενα, καὶ ἅμα ἀξιαφηγητότερα ἐπιλεξάμενος. ἄλλοι μὲν δὴ ἄλλα ὑπὲρ ἀλεξάνδρου ἀνέγραψαν, οὐδ' ἔστιν ὑπὲρ ὅτου πλείονες, ἢ ἀξυμφωνότεροι ἐς ἀλλήλους, ἀλλ' ἐμοὶ πτολεμαῖός τε καὶ ἀριστόβουλος πιστότεροι ἔδοξαν ἐς τὴν ἀφήγησιν· ὁ μὲν, ὅτι συνεστράτευσε βασιλεῖ ἀλεξάνδρῳ, ἀριστόβου-

λος· πτολεμαῖος δὲ πρὸς τῷ ξυστρατεῦ-
σαι, ὅτι καὶ αὐτῷ βασιλεῖ ὄντι, αἰσχρότερον
ἢ τῷ ἄλλῳ ψεύσασθαι ἦν· ἄμφω δὲ, ὅτι τε-
τελευτηκότος ἤδη ἀλεξάνδρου ξυγγρά-
φουσιν, ὅτε αὐτοῖς ἥτε ἀνάγκη καὶ ὁ μισθὸς,
τοῦ ἄλλως τι, ἢ ὡς συνηνέχθη ξυγγράψαι,
ἀπῆν. ἔστι δὲ, ἃ καὶ πρὸς ἄλλων ξυγγεγραμ-
μένα, ὅτι καὶ αὐτὰ ἀξιαφήγητά τε μοι ἔδο-
ξαν, καὶ οὐ πάντῃ ἄπιστα, ὡς λεγόμενα μό-
νον ὑπὲρ ἀλεξάνδρου, ἀνέγραψα. ὅστις δὲ
θαυμάσεται, ἀνθ᾽ ὅτου ἐπὶ τοσοῖσδε συγγρα-
φεῦσι, καὶ ἐμοὶ ἐπὶ νοῦν ἦλθεν ἥδε ἡ συγ-
γραφὴ, τά τε ἐκείνων πάντα τις ἀναλεξά-
μενος, καὶ τοῖσδε τοῖς ἡμετέροις ἐντυχὼν
οὕτω θαυμαζέτω.

Λέγεται δὲ φίλιππος μὲν τελευτῆ-
σαι, ἐπὶ ἄρχοντος πυθοδήμου ἀθήνησι·
παραλαβόντα δὲ τὴν βασιλείαν ἀλέξαν-
δρον, παῖδα ὄντα φιλίππου, ἐς πελοπόν-
νησον παρελθεῖν· εἶναι δὲ τότε ἀμφὶ τὰ εἴ-
κοσιν ἔτη ἀλέξανδρον· ἐνταῦθα ξυναγα-
γόντα τοὺς ἕλληνας, ὅσοι ἐντὸς πελοποννή-
σου ἦσαν, αἰτεῖν παρ᾽ αὐτῶν τὴν ἡγεμονίαν τῆς
ἐπὶ τοὺς πέρσας στρατιᾶς, ἥν τινα φιλίππῳ
ἤδη ἔδοσαν, καὶ αἰτήσαντα λαβεῖν παρ᾽ ἑκά-
στων, πλὴν λακεδαιμονίων. λακεδαιμονίους
δὲ ἀποκρίνασθαι, μὴ εἶναι σφίσι πάτριον, ἀκο-
λουθεῖν ἄλλοις, ἀλλ᾽ αὐτοὺς ἄλλων ἐξηγεῖσθαι,
νεωτερίσαι δὲ ἄττα καὶ τῶν ἀθηναίων τὴν πό-
λιν· ἀλλὰ ἀθηναίους γε τῇ πρώτῃ ἐφόδῳ τῇ
ἀλεξάνδρου, ἐκπλαγέντας, καὶ πλείονα ἔτι
τῶν φιλίππῳ δοθέντων, ἀλεξάνδρῳ ἐς τι-
μὴν ξυγχωρῆσαι· ἐπανελθόντα δὲ ἐς μακε-
δονίαν, ἐν παρασκευῇ εἶναι τοῦ ἐς τὴν ἀσίαν
στόλου· ἅμα δὲ τῷ ἦρι ἐλαύνειν ἐπὶ θρᾴκας,
ἐς τριβαλλοὺς καὶ ἰλλυριούς· ὅτι τε νεωτερίζειν
ἐπύθετο ἰλλυριούς τε καὶ τριβαλλοὺς, καὶ ἅμα
ὁμόρους ὄντας οὐκ ἐδόκει ὑπολείπεσθαι, ὅτι μὴ
πάντῃ ταπεινωθέντας, οὕτω μακρὰν ἀπὸ
τῆς οἰκείας στελλόμενον· ὁρμηθέντα δὴ ἐξ ἀμφι-
πόλεως ἐμβαλεῖν ἐς θρᾴκην, τὴν τῶν αὐτονό-
μων καλουμένων θρᾳκῶν, φιλίππους πόλιν
ἐν ἀριστερᾷ ἔχοντα, καὶ τὸν ὄρβηλον τὸ ὄρος. δια-
βὰς δὲ τὸν νέστον ποταμὸν, λέγουσιν ὅτι δεκαταῖ-
ος ἀφίκετο ἐπὶ τὸ ὄρος τὸν αἷμον. καὶ ἐνταῦθα
ἀπήντων αὐτῷ κατὰ τὰ στενὰ τῆς ἀνόδου, τῶν

τὸ ὄρος, τῶν τε ἐμπόρων πολλοὶ ὡπλισμένοι, καὶ οἱ θρᾷκες οἱ αὐτόνομοι παρεσκευασμένοι εἴργειν τοῦ πρόσω (κατειληφότες τὴν ἄκραν τοῦ αἵμου) τὸ στόλον, παρ' ὃν ἦν τῷ στρατεύματι ἡ πάροδος. ξυναγαγόντες δὲ ἁμάξας, καὶ προβαλλόμενοι πρὸ σφῶν, ἅμα μὲν χάρακι ἐχρῶντο ταῖς ἁμάξαις, εἰς τὸ ἀπομάχεσθαι ἀπ' αὐτῶν, εἰ βιάζοιντο· ἅμα δὲ ἐν νῷ εἶχον ἐπαφιέναι ἀνιοῦσιν, ᾗ ἀποτομώτατον τοῦ ὄρους, ἐπὶ τὴν φάλαγγα τῶν μακεδόνων τὰς ἁμάξας. γνώμην δὲ πεποίηντο, ὅτι ὅσῳ πυκνοτέρᾳ τῇ φάλαγγι καταφερόμεναι συμμίξουσιν αἱ ἅμαξαι, τοσῷδε μᾶλλόν τι διασκεδάσουσιν αὐτὴν βίᾳ ἐμπεσοῦσαι. ἀλεξάνδρῳ δὲ βουλὴ γίγνεται, ὅπως ἀσφαλέστατα ὑπερβάλῃ τὸ ὄρος. καὶ ἐπειδὴ ἐδόκει διακινδυνευτέα (οὐ γὰρ εἶναι ἄλλῃ τὴν πάροδον) παραγγέλλει τοῖς ὁπλίταις, ὁπότε καταφέροιντο κατὰ τοῦ ὀρθίου αἱ ἅμαξαι, ὅσοις μὲν ὁδὸς πλατεῖα οὖσα παρέχοι λῦσαι τὴν τάξιν, τούτους δὲ διαχωρῆσαι, ὡς δι' αὐτῶν ἐκπεσεῖν τὰς ἁμάξας· ὅσοι δὲ περικαταλαμβάνοιντο, ξυννεύσαντας τοὺς





δὲ καὶ πεσόντας ἐς γῆν, συγκλεῖσαι ἐς ἀκριβὲς τὰς ἀσπίδας, τοῦ κατ' αὐτῶν φερομένας τὰς ἁμάξας, καὶ τῇ ῥύμῃ κατὰ τὸ εἰκὸς ὑπερπηδώσας ἀβλαβῶς ἐπελθεῖν. καὶ οὕτω ξυνέβη, ὅπως παρήνεσέ τε ἀλέξανδρος, καὶ εἴκασεν. οἱ μὲν γὰρ διέσχον τὴν φάλαγγα· αἱ δὲ ὑπὲρ τῶν ἀσπίδων ἐπικυλισθεῖσαι, ὀλίγα ἔβλαψαν· ἀπέθανε δὲ οὐδεὶς ὑπὸ ταῖς ἁμάξαις. ἔνθα δὴ οἱ μακεδόνες θαρσήσαντες, ὅτι ἀβλαβεῖς αὐτοῖς, ἃς μάλιστα ἐδεδίεσαν αἱ ἅμαξαι ἐγένοντο, σὺν βοῇ ἐς τοὺς θρᾷκας ἐνέβαλον. ἀλέξανδρος δὲ τοὺς τοξότας μὲν ἀπὸ τοῦ δεξιοῦ κέρως, πρὸ τῆς ἄλλης φάλαγγος, ὅτι ταύτῃ εὐπορώτερα ἦν, ἐλθεῖν ἐκέλευσε, καὶ ἐκτοξεύειν ἐς τοὺς θρᾷκας, ὅπῃ προσφέροιντο. αὐτὸς δὲ ἀναλαβὼν τὸ ἄγημα, καὶ τοὺς ὑπασπιστάς, καὶ τοὺς ἀγριάνας, κατὰ τὸ εὐώνυμον ἦγεν. ἔνθα δὴ οἱ τοξόται βάλλοντες τοὺς προεκθέοντας τῶν θρᾳκῶν, ἀνέστελλον. καὶ ἡ φάλαγξ προσμίξασα, οὐ χαλεπῶς ἐξώσεν ἐκ τῆς χώρας ἀνθρώπους ψιλούς, καὶ κακῶς ὡπλισμένους βαρβάρους, ὥστε ἀλέξανδρον ἀπὸ τοῦ εὐωνύμου

ἄγημα

ἐπάγοντι οὐκέτι ἐδέξαντο, ἀλλὰ ῥίψαντες
ὡς ἑκάστοις προὐχώρει τὰ ὅπλα, κατὰ τοῦ ὄρους
ἔφυγον· καὶ ἀπέθανον μὲν αὐτῶν ἐς χιλίους
καὶ πεντακοσίους, ζῶντες δὲ ἄνδρες μὲν
ὀλίγοι ἐλήφθησαν, διὰ ὠκύτητα, καὶ τῆς χώ
ρας ἐμπειρίαν· γυναῖκες δὲ ὅσαι ξυνείπον-
το αὐτοῖς, ἑάλωσαν πᾶσαι· καὶ τὰ παιδά
ρια, καὶ ἡ λεία πᾶσα ἑάλω. ἀλέξανδρος δὲ
τὴν μὲν λείαν ὀπίσω ἀπέπεμψεν ἐς τὰς πό
λεις, τὰς ἐπὶ θαλάσσῃ, λυσανίᾳ καὶ φιλώ-
τᾳ παραδοὺς διατίθεσθαι· αὐτὸς δὲ τὸ ἄκρον
ὑπερβαλὼν, προῆγε διὰ τοῦ αἵμου ἐς τριβαλ
λοὺς, καὶ ἀφικνεῖται ἐπὶ τὸν λύγινον ποτα-
μόν. ἀπέχει δὲ οὗτος ἀπὸ τοῦ ἴστρου, ὡς ἐπὶ τὸν
αἷμον ἰόντι, σταθμοὺς τρεῖς. σύρμος δὲ ὁ τῶν
τριβαλλῶν βασιλεὺς, ἐκ πολλοῦ πυνθανό-
μενος τοῦ ἀλεξάνδρου τὸν στόλον, γυναῖκας
μὲν καὶ παῖδας τῶν τριβαλλῶν προὔπεμ-
ψεν ἐπὶ τὸν ἴστρον, διαβαίνειν κελεύσας τὸν
ποταμὸν, ἐς νῆσον τινὰ τῶν ἐν τῷ ἴστρῳ· πεύ
κη ὄνομα τῇ νήσῳ ἐστίν· ἐς ταύτην δὲ τὴν νή-
σον, καὶ οἱ θρᾷκες, οἱ πρόσχωροι τοῖς τριβαλ
λοῖς, προσάγοντος ἀλεξάνδρου, ἐκ πολλοῦ
συμ



συμπεφευγότες ἦσαν, καὶ αὐτὸς ὁ σύρμος
ἐς ταύτην ξυμπεφεύγει, ξὺν τοῖς ἀμφ' αὐ
τόν. τὸ δὲ πολὺ πλῆθος τῶν τριβαλλῶν ἔφυ
γον ὀπίσω ἐπὶ τὸν ποταμὸν, ἐς νῆσόν τινα
τῶν ἐν τῷ ἴστρῳ, ἔνθεν περ τῇ προτεραίᾳ ὥρ
μήθη ἀλέξανδρος. ὡς δὲ ἔμαθεν αὐτῶν τὴν
ὁρμὴν, καὶ αὐτὸς ὑποστρέψας τὸ ἔμπαλιν,
ἐπὶ τοὺς τριβαλλοὺς ἦγε, καὶ καταλαμβά
νει καταστρατοπεδεύοντας ἤδη. καὶ οἱ μὲν
καταληφθέντες πρὸς τῇ νάπει, τῇ πα-
ρὰ τὸν ποταμὸν, παρετάσσοντο. ἀλέξαν-
δρος δὲ καὶ αὐτὸς τὴν μὲν φάλαγγα ἐς
βάθος ἐκτάξας, ἐπῆγε· καὶ τοὺς τοξότας
καὶ τοὺς σφενδονήτας προεκθέοντας, ἐκέ-
λευσεν ἐκτοξεύειν τε καὶ σφενδονᾶν ἐς τοὺς
βαρβάρους, εἴπως προκαλέσαιτο αὐτοὺς ἐς
τὰ ψιλὰ ἐκ τοῦ νάπους. οἱ δὲ, ὡς ἐντὸς
βέλους ἐγένοντο, παιόμενοι ἐξέθεον ἐπὶ
τοὺς τοξότας, ὅπως ἐς χεῖρας ξυμμίξει-
αν γυμνοῖς οὖσι τοῖς τοξόταις. ἀλέξαν-
δρος δὲ ὡς προήγαγεν αὐτοὺς ἐκ τῆς
νάπης ἔξω, φιλώταν μὲν ἀναλαβόντα
τοὺς ἐκ τῆς ἄνωθεν μακεδονίας ἱππέας,

 προσέ

προσέταξεν ἐμβαλεῖν ἐπὶ τὸ κέρας τὸ δεξιόν, ᾗπερ μάλιστα προυκεχωρήκεσαν ἐν τῇ ἐκδρομῇ. ἡρακλείδην δὲ καὶ σώπολιν, τοὺς ἐκ βοττιαίας τε καὶ ἀμφιπόλεως ἱππέας, ἐπὶ τὸ εὐώνυμον κέρας ἐπάγειν ἔταξε. τὴν δὲ φάλαγγα τῶν πεζῶν, καὶ τὴν ἄλλην ἵππον, πρὸ τῆς φάλαγγος παρατείνας, ἐπὶ μέτωπον ἐπῆγε. καὶ ἔς τε μὲν ἀκροβολισμὸς παρ' ἑκατέρων ἦν, οἱ τριβαλλοὶ οὐ μεῖον εἶχον. ὡς δὲ ἥ τε φάλαγξ πυκνὴ ἐνέβαλλεν ἐς αὐτοὺς ἐρρωμένως, καὶ οἱ ἱππεῖς οὐκ ἀκοντισμῷ ἔτι, ἀλλ' αὐτοῖς ὠθοῦντες τοῖς ἵπποις, ἄλλῃ καὶ ἄλλῃ προσέπιπτον, τότε δὴ ἐτράπησαν διὰ τοῦ νάπους, ἐς τὸν ποταμόν. καὶ ἀποθνήσκουσι μὲν τρισχίλιοι ἐν τῇ φυγῇ, ζῶντες δὲ ὀλίγοι καὶ τούτων ἐλήφθησαν, ὅτι ὕλη τε δασεῖα πρὸ τοῦ ποταμοῦ ἦν, καὶ νὺξ ἐπιγινομένη τὴν ἀκρίβειαν τῆς διώξεως ἀφείλετο τοὺς μακεδόνας. αὐτῶν δὲ τῶν μακεδόνων τελευτῆσαι λέγει πτολεμαῖος, ἱππέας μὲν ἕνδεκα, πεζοὺς δὲ ἀμφὶ τοὺς τεσσαράκοντα. ἀπὸ δὲ τῆς μάχης τριταῖος ἀφικνεῖται ἀλέξανδρος ἐπὶ τὸν ποταμὸν τὸν ἴστρον, ποτα-

μῶν



μῶν τῶν ἐπὶ τὴν εὐρώπην μέγιστον ὄντα, καὶ πλείστην γῆν ἐπερχόμενον, καὶ ἔθνη μαχιμώτατα ἀπείργοντα. τὰ μὲν πολλὰ κελτικά, ὅθεν γε καὶ αἱ πηγαὶ αὐτῷ ἀνίσχουσιν. ὧν τελευταίους, κουάδους καὶ μαρκομάνους· ἐπὶ δὲ σαυροματῶν μοῖραν, ἰάζυγας· ἐπὶ δὲ γέτας, τοὺς ἀπαθανατίζοντας· ἐπὶ δὲ σαυρομάτας, τοὺς πολλούς· ἐπὶ δὲ σκύθας, ἔς τε ἐκβολάς, ἵνα ἐκδιδοῖ κατὰ πέντε στόματα ἐς τὸν εὔξεινον πόντον, ἐνταῦθα καταλαμβάνει αὐτῷ ἡκούσας ναῦς μακρὰς ἐκ βυζαντίου, διὰ τοῦ πόντου τοῦ εὐξείνου, κατὰ τὸν ποταμόν. ταύτας ἐμπλήσας τοξοτῶν τε καὶ ὁπλιτῶν, τῇ νήσῳ ἐπέπλει, ἵνα οἱ τριβαλλοί τε καὶ οἱ θρᾷκες συμπεφευγότες ἦσαν· καὶ ἐπειρᾶτο βιάζεσθαι τὴν ἀπόβασιν. οἱ δὲ βάρβαροι ἀπήντων ἐπὶ τὸν ποταμόν, ὅπῃ αἱ νῆες προσίσχοιεν. αἱ δέ, ὀλίγαι τε ἦσαν, καὶ ἡ στρατιὰ οὐ πολλὴ ἐπ' αὐτῶν· καὶ τῆς νήσου τὰ πολλὰ ἀπότομα ἐς προσβολήν· καὶ τὸ ῥεῦμα τοῦ ποταμοῦ τὸ παρ' αὐτήν, οἷα δὴ ἐς στενὸν συγκεκλεισμένον, ὀξὺ καὶ ἄπορον προσφέρεσθαι. ἔνθα δὴ ἀλέξανδρος ἀπα-

γαγὼν

γαγὼν τὰς ναῦς, ἔγνω διαβαίνειν τὸν ἴστρον, ἐπὶ τοὺς γέτας, τοὺς πέραν τοῦ ἴστρου ᾠκισμένους· ὅτι τε συνειλεγμένους ἑώρα πολλοὺς ἐπὶ τῇ ὄχθῃ τοῦ ἴστρου, ὡς εἴρξοντας εἰ διαβαίνοι· ἦσαν γὰρ ἱππεῖς μὲν ἐς τετρακισχιλίους, πεζοὶ δὲ πλείους τῶν μυρίων· καὶ ἅμα πόθος ἔλαβεν αὐτὸν, ἐπέκεινα τοῦ ἴστρου ἐλθεῖν· τῶν μὲν δὴ νεῶν ἐπέβη αὐτὸς, τὰς δὲ διφθέρας, ἐφ' αἷς ἐσκήνουν, τῆς κάρφης πληρώσας, καὶ ὅσα μονόξυλα πλοῖα, ἐκ τῆς χώρας ξυναγαγών. ἦν δὲ καὶ τούτων εὐπορία πολλή, ὅτι τούτοις χρῶνται οἱ προσοικοῦντες τῷ ἴστρῳ, ἐφ' ἁλιείᾳ τε τῇ ἐκ τοῦ ἴστρου, καὶ εἴ ποτε παρ' ἀλλήλους ἀνὰ τὸν ποταμὸν στέλλοιντο, καὶ λῃστεύοντες ἀπ' αὐτῶν οἱ πολλοί. ταῦτα ὡς πλεῖστα ξυναγαγὼν, διεβίβαζεν ἐπ' αὐτῶν τῆς στρατιᾶς, ὅσους δυνατὸν ἦν, ἐν τούτῳ τῷ τρόπῳ. καὶ γίγνονται οἱ διαβάντες ἅμα ἀλεξάνδρῳ, ἱππεῖς μὲν ἐς χιλίους καὶ πεντακοσίους, πεζοὶ δὲ ἐς τετρακισχιλίους. διέβαλον δὲ τῆς νυκτὸς, ᾗ λήιον ἦν σίτου βαθὺ· καὶ ταύτῃ μᾶλλόν τι ἔλαθον, προσχόντες τῇ ὄχθῃ· ὑπὸ δὲ τὴν ἕω ἀλέξανδρος

διὰ



διὰ τοῦ ληίου ἦγε, παραγγείλας τοῖς πεζοῖς, πλαγίαις ταῖς σαρίσαις ἐπικλίνοντας τὸν σῖτον, οὕτω προάγειν ἐς τὰ ἀνεργάσιμα. οἱ δὲ ἱππεῖς, ἔστε μὲν διὰ τοῦ ληίου προῄει ἡ φάλαγξ, ἐφείποντο· ὡς δὲ ἐκ τῶν ἐργασίμων ἐξῄεσαν, τὴν μὲν ἵππον ἐπὶ τὸ δεξιὸν κέρας αὐτὸς ἀλέξανδρος παρήγαγε, τὴν φάλαγγα δὲ ἐν πλαισίῳ νικάνορα ἄγειν ἐκέλευσεν. καὶ οἱ γέται οὐδὲ τὴν πρώτην ἐμβολὴν τῶν ἱππέων ἐδέξαντο. παράδοξος μὲν γὰρ αὐτοῖς ἡ τόλμα ἐφάνη τοῦ ἀλεξάνδρου, ὅτι εὐμαρῶς οὕτω τὸν μέγιστον τῶν ποταμῶν διεβεβήκει ἐν μιᾷ νυκτὶ τὸν ἴστρον, οὐ γεφυρώσας τὸν πόρον· φοβερὰ δὲ καὶ τῆς φάλαγγος ἡ ξύγκλεισις, βιαία δὲ ἡ τῶν ἱππέων ἐμβολή. καὶ τὰ μὲν πρῶτα ἐς τὴν πόλιν καταφεύγουσιν, ἣ δὴ ἀπεῖχεν αὐτοῖς ὅσον παρασάγγην τοῦ ἴστρου. ὡς δὲ ἐπάγοντα εἶδον σπουδῇ ἀλέξανδρον, τὴν μὲν φάλαγγα παρὰ τὸν ποταμὸν, ὡς μὴ κυκλωθεῖεν πῃ οἱ πεζοὶ, ἐνεδρευσάντων τῶν γετῶν, τοὺς ἱππέας δὲ κατὰ μέτωπον, λείπουσιν αὖ καὶ τὴν πόλιν ο

γέται

γέται, κακῶς τετειχισμένην, ἀναλαβόντες τῶν παιδαρίων καὶ τῶν γυναικῶν ἐπὶ τοὺς ἵππους, ὅσα φέρειν οἱ ἵπποι ἠδύναντο. ἦν δὲ αὐτοῖς ἡ ὁρμὴ ὡς πορρωτάτω ἀπὸ τοῦ ποταμοῦ, ἐς τὰ ἔρημα. ἀλέξανδρος δὲ, τήν τε πόλιν λαμβάνει, καὶ τὴν λείαν πᾶσαν, ὅσην οἱ γέται ὑπελείποντο· καὶ τὴν μὲν λείαν, μελεάγρῳ καὶ φιλίππῳ ἐπαναγαγεῖν δίδωσιν· αὐτὸς δὲ κατασκάψας τὴν πόλιν, θύει τε ἐπὶ τῇ ὄχθῃ τοῦ ἴστρου διὶ σωτῆρι, καὶ ἡρακλεῖ, καὶ αὐτῷ τῷ ἴστρῳ, ὅτι οὐκ ἄπορος αὐτῷ ἐγένετο. καὶ ἐπανάγει αὐθημερὸν, σῶς σύμπαντας ἐπὶ τὸ στρατόπεδον. ἐνταῦθα ἀφικνοῦνται πρέσβεις ὡς ἀλέξανδρον, παρά τε τῶν ἄλλων ὅσα αὐτόνομα ἔθνη προσοικεῖ τῷ ἴστρῳ, καὶ παρὰ σύρμου τοῦ τριβαλλῶν βασιλέως· καὶ παρὰ κελτῶν, τῶν ἐπὶ τῷ ἰονίῳ κόλπῳ ᾠκισμένων ἧκον (μεγάλοι οἱ κελτοὶ τὰ σώματα, καὶ μέγα ἐπὶ σφίσι φρονοῦντες) φιλίας δὲ πάντες τῆς ἀλεξάνδρου ἐφιέμενοι ἥκειν ἔφασαν. καὶ πᾶσιν ἔδωκε πίστεις ἀλέξανδρος, καὶ ἔλαβε. τοὺς κελτοὺς δὲ καὶ ἤρετο, ὅ, τι μάλιστα

δεδίττεται



δεδίττεται αὐτοὺς τῶν ἀνθρωπίνων· ἐλπίσας ὅτι μέγα ὄνομα τὸ αὐτοῦ καὶ ἐς κελτικοὺς, καὶ ἔτι προσωτέρω ἥκει· καὶ ὅτι αὐτὸν μάλιστα πάντων δεδιέναι φήσουσι. τῷ δὲ παρ' ἐλπίδα ξυνέβη τῶν κελτῶν ἡ ἀπόκρισις. οἷα γὰρ πόρρω τε ᾠκισμένοι ἀλεξάνδρου, καὶ χωρία δύσπορα οἰκοῦντες, καὶ ἀλεξάνδρου ἐς ἄλλα τὴν ὁρμὴν ὁρῶντες, ἔφασαν, δεδιέναι μή ποτε ὁ οὐρανὸς αὐτοῖς ἐμπέσοι· καὶ τούτους φίλους τε ὀνομάσας, καὶ ξυμμάχους ποιησάμενος, ὀπίσω ἀπέπεμψε, τοσοῦτον ὑπειπὼν, ὅτι ἀλαζόνες κελτοί εἰσιν. αὐτὸς δὲ ἐπ' ἀγριάνων, καὶ παιόνων προὐχώρει. ἔνθα δὴ ἄγγελοι ἀφίκοντο αὐτῷ, κλεῖτόν τε τὸν βαρδύλεω ἀφεστάναι ἀγγέλλοντες, καὶ γλαυκίαν προσκεχωρηκέναι αὐτῷ, τὸν ταυλαντίων βασιλέα. οἱ δὲ, καὶ τοὺς αὐταριάτας ἐπιθήσεσθαι αὐτῷ κατὰ τὴν πορείαν, ἐξήγγελλον· ὧν δὴ ἕνεκα κατὰ σπουδὴν ἐδόκει ἀναζευγνύναι. λάγγαρος δὲ ὁ τῶν ἀγριάνων βασιλεὺς, ὅτι μὲν καὶ φιλίππου ζῶντος ἀσπαζόμενος ἀλέξανδρον δῆλος ἦν, καὶ ἰδίᾳ ἐπρέσβευσε παρ' αὐτόν. τό

τε

τε δὲ παρῆν αὐτῷ μετὰ τῶν ὑπασπιστῶν, ὅσους τε καλλίστους καὶ εὐοπλοτάτους ἀμφ' αὐτὸν εἶχε. καὶ ἐπειδὴ ἔμαθεν, ὑπὲρ τῶν αὐταριατῶν πυνθανόμενον ἀλέξανδρον, οἵ τινές τε καὶ ὁπόσοι εἶεν, οὐκ ἔφη χρῆναι ἐν λόγῳ τίθεσθαι αὐταριάτας (εἶναι γὰρ ἀπολεμωτάτους τῶν ταύτῃ) καὶ αὐτὸς ἐμβαλεῖν ἐς τὴν χώραν αὐτῶν, ὡς ἀμφὶ τὰ σφέτερα μᾶλλόν τι ἔχοιεν. καὶ κελεύσαντος ἀλεξάνδρου, ἐσβάλλει ἐς αὐτούς· καὶ ἐμβαλὼν, ἦγε καὶ ἔφερε τὴν χώραν αὐτῶν. αὐταριᾶται μὲν δὴ ἀμφὶ τὰ αὐτῶν εἶχον· λάγαρος δὲ τά τε ἄλλα ἐτιμήθη μεγάλως πρὸς ἀλεξάνδρου, καὶ δῶρα ἔλαβεν, ὅσα μέγιστα παρὰ βασιλεῖ τῷ μακεδόνων νομίζεται· καὶ τὴν ἀδελφὴν τὴν ἀλεξάνδρου κύνναν, καὶ ταύτην ὡμολόγησε δώσειν αὐτῷ, ἐς πέλλαν ἀφικομένῳ, ἀλέξανδρος. ἀλλὰ λάγαρος μὲν ἐπανελθὼν οἴκαδε, νόσῳ ἐτελεύτησεν. ἀλέξανδρος δὲ παρὰ τὸν ἐριγόνα ποταμὸν πορευόμενος, ἐς πέλλιον πόλιν ἐστέλλετο. ταύτην γὰρ κατειλήφει ὁ κλεῖτος, ὡς ὀχυρωτάτην τῆς χώρας· καὶ πρὸς ταύ-

τὴν

ἦγε κ(αὶ) ἔφερε τὴν χώραν

Pellio. V.



την ὡς ἧκεν ἀλέξανδρος, καταστρατοπεδεύσας πρὸς τῷ ἐορδαϊκῷ ποταμῷ, τῇ ὑστεραίᾳ ἐγνώκει προσβάλλειν τῷ τείχει. οἱ δὲ ἀμφὶ τὸν κλεῖτον, τὰ κύκλῳ τῆς πόλεως ὄρη ὑψηλά τε ὄντα καὶ δασέα κατεῖχον, ὡς πάντοθεν ἐπιτίθεσθαι τοῖς μακεδόσιν, εἰ τῇ πόλει προσβάλλοιεν. γλαυκίας δὲ αὐτῷ, ὁ τῶν ταυλαντίων βασιλεὺς, οὔπω παρῆν.

ἀλέξανδρος μὲν δὴ τῇ πόλει προσῆγεν, οἱ δὲ πολέμιοι σφαγιασάμενοι παῖδας τρεῖς, καὶ κόρας ἴσας τὸν ἀριθμὸν, καὶ κριοὺς μέλανας τρεῖς, ὥρμηντο μὲν ὡς δεξόμενοι ἐς χεῖρας τοὺς μακεδόνας· ὁμοῦ δὲ γενόμενοι ἔλιπον, καίτοι καρτερὰ ὄντα τὰ κατειλημμένα πρὸς σφῶν χωρία, ὥστε καὶ τὰ σφάγια αὐτῶν κατελήφθη ἔτι κείμενα. ταύτῃ μὲν δὴ τῇ ἡμέρᾳ κατακλείσας αὐτοὺς ἐς τὴν πόλιν, καὶ στρατοπεδευσάμενος πρὸς τῷ τείχει, ἐγνώκει περιτειχισμῷ ἀποκλεῖσαι αὐτούς. τῇ δὲ ὑστεραίᾳ ἐπῆν μετὰ πολλῆς δυνάμεως γλαυκίας, ὁ τῶν ταυλαντίων βασιλεύς. ἔνθα δὴ ἀλέξανδρος τὴν μὲν πόλιν ἀπέγνω ἑλεῖν ἄν, ξὺν τῇ παρούσῃ δυνάμει, πολλῶν μὲν ἐς αὐτὴν καὶ μαχίμων ξυμπε-

ξυμπε-

ξυμπεφευγότων, πολλῶν δὲ ἅμα τῷ γλαυκίᾳ προσκεβωμένων, εἰ αὐτοὺς τῷ τείχει προσμάχοιτο. Φιλώταν δὲ ἀναλαβόντα τῶν ἱππέων ὅσους ἐς προφυλακὴν, καὶ τὰ ὑποζύγια τὰ ἐκ τοῦ στρατοπέδου, ἐς ἐπισιτισμὸν ἔπεμπεν. καὶ ὁ γλαυκίας μαθὼν τὴν ὁρμὴν τῶν ἀμφὶ Φιλώταν, ἐξελαύνει ἐπ' αὐτοὺς, καὶ καταλαμβάνει τὰ κύκλῳ ὄρη τοῦ πεδίου, ὅθεν οἱ ξὺν Φιλώτᾳ ἐπισιτιεῖσθαι ἔμελλον. ἀλέξανδρος δὲ, ἐπειδὴ ἀπηγγέλθη αὐτῷ, ὅτι κινδυνεύουσιν οἵ τε ἱππεῖς καὶ τὰ ὑποζύγια, εἰ νὺξ αὐτοὺς καταλήψεται, αὐτὸς μὲν ἀναλαβὼν τούς τε ὑπασπιστὰς καὶ τοὺς τοξότας, καὶ τοὺς ἀγριάνας, καὶ ἱππεῖς ἐς τετρακοσίους, ἐβοήθει σπουδῇ· τὸ δὲ ἄλλο στράτευμα πρὸς τῇ πόλει ἀπέλιπεν, ὡς μὴ ἀποχωρήσαντος παντὸς τοῦ στρατοῦ, καὶ οἱ ἐκ τῆς πόλεως ἐπιδραμόντες, τοῖς ἀμφὶ γλαυκίαν ξυμμίξειαν. ἔνθα δὴ γλαυκίας προσάγοντα ἀλέξανδρον αἰσθόμενος, ἐκλίποι τὰ ὄρη· οἱ δὲ ξὺν φιλώτᾳ, ἀσφαλῶς ἐπὶ τὸ στρατόπεδον διεσώθησαν. ἐδόκουν δέ τι τὸν ἀλέξανδρον ἐν δυσχωρίᾳ ἀπει-



ΑΡΡΙΑΝΟΥ

ληφέναι, οἱ ἀμφὶ τὸν κλεῖτον καὶ γλαυκίαν. τά τε γὰρ ὄρη, τὰ ὑπερδέξια κατεῖχον, πολλοῖς μὲν ἱππεῦσι, πολλοῖς δὲ ἀκοντισταῖς καὶ σφενδονήταις, καὶ ὁπλίταις δὲ οὐκ ὀλίγοις· καὶ οἱ ἐν τῇ πόλει κατειλημμένοι, προσκείσεσθαι ἀπαλλαττομένοις ἤμελλον· τά τε χωρία, δι' ὧν ἡ πάροδος ἦν τῷ ἀλεξάνδρῳ, στενὰ καὶ ὑλώδη ἐφαίνετο, τῇ μὲν πρὸς τοῦ ποταμοῦ ἀπειργόμενα, τῇ δὲ ὄρος ὑπερύψηλον ἦν, καὶ κρημνοὶ πρὸς τῷ ὄρει, ὥστε οὐδὲ ἐπὶ τεσσάρων ἀσπίδων ἂν τῷ στρατεύματι ἡ πάροδος ἐγίγνετο. ἔνθα δὴ ἐκτάσσει τὸν στρατὸν ἀλέξανδρος, ἕως ἑκατὸν καὶ εἴκοσι τῷ βάθει τῆς φάλαγγος, ἐπὶ τὸ κέρας δὲ ἑκατέρωθεν διακοσίους ἱππέας ἐπιτάξας, παρήγγελλε σιγῇ ἔχειν, τὸ παραγγελλόμενον ὀξέως δεχομένους, καὶ τὰ μὲν πρῶτα ἐσήμανεν ὀρθὰ ἀνατεῖναι τὰ δόρατα τοὺς ὁπλίτας, ἔπειτα ἀπὸ ξυνθήματος ἀποτεῖναι ἐς προβολὴν, καὶ νῦν μὲν ἐς τὸ δεξιὸν ἐγκλῖναι τῶν δοράτων τὴν σύγκλεισιν, αὖθις δὲ ἐπὶ τὰ ἀριστερά. καὶ αὐτὴν δὲ τὴν φάλαγγα, ἐς τὸ πρόσω ὀξέως ἐκίνησε,

καὶ αὖθι τὰ κέρατα ἄλλο τε ἄλλῃ παρήγαγε· καὶ οὕτω πολλὰς τάξεις τάξας τε καὶ μετακοσμήσας, ἐν ὀλίγῳ χρόνῳ ἐπὶ τὸ εὐώνυμον, οἷον ἔμβολον ποιήσας τῆς φάλαγγος, ἐπῆγεν ἐπὶ τοὺς πολεμίους. οἱ δὲ πάλαι μὲν ἐθαύμαζον, τήν τε ὀξύτητα ὁρῶντες, καὶ τὸν κόσμον, τῶν δρωμένων· τότε δὲ προσάγοντας ἤδη τοὺς ἀμφὶ ἀλέξανδρον οὐκ ἐδέξαντο, ἀλλὰ λείπουσι τοὺς πρώτους λόφους. ὁ δὲ καὶ ἐπαλαλάξαι ἐκέλευσε τοὺς μακεδόνας, καὶ τοῖς δόρασι δουπῆσαι πρὸς τὰς ἀσπίδας· οἱ δὲ ταυλάντιοι ἔτι μᾶλλον ἐκπλαγέντες πρὸς τῆς βοῆς, ὡς πρὸς τὴν πόλιν ἐπανήγαγον σπουδῇ τὸν στρατόν. ἀλέξανδρος δὲ λόφον τινὰς κατέχοντας ἰδὼν οὐ πολλοὺς τῶν πολεμίων, παρ' ὃν αὐτῷ ἡ πάροδος ἐγίγνετο, παρήγγειλε τοῖς σωματοφύλαξι, καὶ τοῖς ἀμφ' αὐτὸν ἑταίροις, ἀναλαβόντας τὰς ἀσπίδας ἀναβαίνειν ἐπὶ τὸν ποταμόν, ἐπὶ τοὺς ἵππους, καὶ ἐλαύνειν ἐπὶ τὸν γήλοφον· ἐκεῖσε δὲ ἐλθόντας εἰ ὑπομένοιεν οἱ κατειληφότες τὸ χωρίον, τοὺς ἡμί-

σεας

ὡς



σεας καταπηδῆσαι ἀπὸ τῶν ἵππων, καὶ ἀναμιχθέντας τοῖς ἱππεῦσι πεζοὺς μάχεσθαι· οἱ δὲ πολέμιοι τὴν ὁρμὴν τὴν ἀλεξάνδρου ἰδόντες, λείπουσι τὸν γήλοφον· καὶ παρεκκλίνουσιν ἐφ' ἑκάτερα τῶν ὀρῶν. ἔνθα δὴ καταλαβὼν ἀλέξανδρος τὸν γήλοφον σὺν τοῖς ἑταίροις, τούς τε ἀγριᾶνας μεταπέμπεται, καὶ τοὺς τοξότας, ὄντας ἐς δισχιλίους· τοὺς δὲ ὑπασπιστὰς διαβαίνειν τὸν ποταμὸν ἐκέλευσε, καὶ ἐπὶ τούτοις τὰς τάξεις τῶν μακεδόνων· ὁπότε δὲ διαβάντες τύχοιεν, ἐπ' ἀσπίδα ἐκτάσσεσθαι, ὡς πυκνὴν εὐθὺς διαβάντων φαίνεσθαι τὴν φάλαγγα. αὐτὸς δὲ ἐν προφυλακῇ ὢν, ἀπὸ τοῦ λόφου ἀφεώρα τῶν πολεμίων τὴν ὁρμήν· οἱ δὲ ὁρῶντες διαβαίνουσαν τὴν δύναμιν, κατὰ τὰ ὄρη ἀντεπῄεσαν, ὡς τοῖς μετὰ ἀλεξάνδρου ἐπιθησόμενοι, τελευταίοις ἀποχωροῦσιν. ὁ δὲ πελαζόντων ἤδη, αὐτός τε ἐκθεῖ σὺν τοῖς ἀμφ' αὐτόν, καὶ ἡ φάλαγξ, ὡς διὰ τοῦ ποταμοῦ ἐπιοῦσα, ἐπηλάλαξε. οἱ δὲ πολέμιοι πάντων ἐπὶ σφᾶς ἐλαυνόντων

ὡς



ἐγκλί-

l. κοίνου. in. co. scri.



ἐγκλίναντες ἔφυγον· καὶ ἐν τούτῳ ἐπῆγεν ἀλέξανδρος τούς τε ἀγριάνας, καὶ τοὺς τοξότας δρόμῳ, ὡς ἐπὶ τὸν ποταμόν· καὶ πρῶτος μὲν αὐτὸς φθάσας διαβαίνει, τοῖς τελευταίοις δέ, ὡς εἶδεν ἐπικειμένους τοὺς πολεμίους, ἐπιστήσας ἐπὶ τῇ ὄχθῃ τὰς μηχανάς, ἐξακοντίζειν ὡς πορρωτάτω ἀπ᾽ αὐτῶν ἐκέλευσεν, ὅσα ἀπὸ μηχανῶν βέλη ἐξακοντίζεται· καὶ τοὺς τοξότας δὲ ἐκ μέσου τοῦ ποταμοῦ ἐκτοξεύειν ἐπεσβάντας καὶ τούτους. καὶ οἱ μὲν ἀμφὶ τὸν γλαυκίαν, ἔσω βέλους παρελθεῖν οὐκ ἐτόλμων· οἱ μακεδόνες δέ, ἐν τούτῳ ἀσφαλῶς ἐπέρασαν τὸν ποταμόν, ὥς τε οὐδεὶς ἀπέθανεν ἐν τῇ ἀποχωρήσει αὐτῶν. τρίτῃ δὲ ἀπὸ ἐκείνης ἡμέρᾳ καταμαθὼν ἀλέξανδρος, κακῶς αὐλιζομένους τοὺς ἀμφὶ κλεῖτον καὶ γλαυκίαν, καὶ οὔτε φυλακὰς ἐν τῇ τάξει αὐτοῖς φυλαττομένας, οὔτε χάρακα ἢ τάφρον προβεβλημένους, οἷα δὴ ξὺν φόβῳ ἀπηλλάχθαι οἰομένων ἀλέξανδρον, ἐς μῆκος δὲ οὐκ ὠφέλιμον ἀποτεταγμένῳ αὐτοῖς τὴν τάξιν, ὑπὸ νύκτα ἐπιλαθὼν διαβαίνει τὸν ποταμόν,

τοὺς



τούς τε ὑπασπιστὰς ἅμα οἱ ἄγων, καὶ τοὺς ἀγριάνας, καὶ τοὺς τοξότας, καὶ τὴν περδίκκου καὶ κίνου τάξιν· καὶ προσετέτακτο μὲν ἀκολουθεῖν τὴν ἄλλην στρατιάν. ὡς δὲ καιρὸν εἶδεν ἐς ἐπίθεσιν, οὐ προσμείνας ὁμοῦ γενέσθαι πάντας, ἀφίησι τοὺς τοξότας καὶ τοὺς ἀγριάνας· οἱ δὲ ἀπροσδόκητοί τε ἐπιπεσόντες, καὶ φάλαγγι ἐπὶ κέρας, ἧπερ ἀσθενεστάτοις αὐτοῖς καρτερωτάτη ἡ ἐμβολὴ πρὸς μάχην ἔμελλον, τοὺς μὲν ἔτι ἐν ταῖς εὐναῖς κατέκτεινον, τοὺς δὲ φεύγοντας εὐμαρῶς αἱροῦντες· ὥς τε πολλοὶ μὲν αὐτοῦ κατελήφθησαν, καὶ ἀπέθανον· πολλοὶ δὲ ἐν τῇ ἀποχωρήσει ἀτάκτῳ καὶ φοβερᾷ γενομένῃ, οὐκ ὀλίγοι δὲ καὶ ζῶντες ἐλήφθησαν. ἐγένετο δὲ ἡ δίωξις τοῖς ἀμφὶ ἀλέξανδρον, μέχρι πρὸς τὰ ὄρη τῶν ταυλαντίων· ὅσοι δὲ καὶ ἀπέφυγον αὐτῶν, γυμνοὶ τῶν ὅπλων διεσώθησαν. κλεῖτος δὲ ἐς τὴν πόλιν τὸ πρῶτον καταφυγών, ἐμπρήσας τὴν πόλιν, ἀπηλλάγη παρὰ γλαυκίαν ἐς ταυλαντίους. ἐν τούτῳ δὲ τῶν φυγάδων τινές, τῶν ἐκ θηβῶν φευγόντων, παρελθόντες νύκτωρ

 ἐς

∴ f. προσμίξειν. co. scri.

ἐς τὰς θήβας, ἐπαγομένων τινῶν αὐτοὺς ἐπὶ νεωτερισμῷ ἐκ τῆς πόλεως, ἀμύνταν μὲν καὶ τιμόλαον τῶν τὴν καδμείαν ἐχόντων, οὐδὲν ὑποτοπήσαντας πολέμιον, ἔξω τῆς καδμείας ἀπέκτειναν ξυλλαβόντες· ἐς δὲ τὴν ἐκκλησίαν παρελθόντες, ἐπῆραν τοὺς θηβαίους ἀποστῆναι ἀπ᾽ ἀλεξάνδρου, ἐλευθερίαν τε προϊσχόμενοι, παλαιὰ καὶ καλὰ ὀνόματα, καὶ τῆς βαρύτητος τῆς μακεδόνων ἤδη ποτὲ ἀπαλλαγῆναι. πιθανώτεροι δὲ ἐν τῷ πλήθει ἐφαίνοντο, τεθνηκέναι ἀλέξανδρον ἰσχυριζόμενοι, ἐν ἰλλυριοῖς. καὶ γὰρ καὶ πολὺς ὁ λόγος οὗτος, καὶ παρὰ πολλῶν ἐφοίτα· ὅτι τε χρόνον ἀπῆν οὐκ ὀλίγον, καὶ ὅτι οὐδεμία ἀγγελία παρ᾽ αὐτοῦ ἀφῖκτο. ὥστε, ὅπερ φιλεῖ ἐν τοῖς τοιοῖσδε, οὐ γινώσκοντες τὰ ὄντα, τὰ μάλιστα καθ᾽ ἡδονὴν σφίσιν εἴκαζον. πυθομένῳ δὲ ἀλεξάνδρῳ τὰ τῶν θηβαίων, οὐδαμῶς ἐδόκει ἀμελητέα εἶναι· τήν τε τῶν ἀθηναίων πόλιν δι᾽ ὑποψίας ἐκ πολλοῦ ἔχοντι, καὶ τῶν θηβαίων τὸ τόλμημα οὐ φαῦλον ποιουμένῳ· εἰ λακεδαιμόνιοί τε πάλαι ἤδη ταῖς γνώ-

μαις



ἰσ. πηλίνην. co. f.

μαις ἀφεστηκότες, καὶ τινὲς καὶ ἄλλοι τῶν ἐν πελοποννήσῳ, καὶ αἰτωλοὶ οὐ βέβαιοι ὄντες, συνεπιλήψονται τοῦ νεωτερισμοῦ τοῖς θηβαίοις. ἄγων δὴ παρὰ τὴν ἐορδαίαν τε καὶ τὴν ἐλυμιῶτιν, καὶ παρὰ τὰ τῆς συμφαίας καὶ παρυαίας ἄκρα, ἑβδομαῖος ἀφικνεῖται ἐν πελλήνῃ τῆς θετταλίας. ἔνθεν δὲ ὁρμηθεὶς ἐν ἕκτῃ ἡμέρᾳ ἐμβάλλει ἐς τὴν βοιωτίαν· ὥστε οὐ πρόσθεν οἱ θηβαῖοι ἔμαθον εἴσω πυλῶν παρεληλυθότα αὐτὸν, πρὶν ἐν ὀγχηστῷ γενέσθαι ξὺν τῇ στρατιᾷ πάσῃ. καὶ τότε δὲ οἱ πράξαντες τὴν ἀπόστασιν, στράτευμα ἐκ μακεδονίας ἀντιπάτρου ἀφῖχθαι ἔφασκον· αὐτὸν δὲ ἀλέξανδρον τεθνάναι ἰσχυρίζοντο· καὶ τοῖς ἀπαγγέλλουσιν, ὅτι αὐτὸς προσάγει ἀλέξανδρος, χαλεπῶς εἶχον. ἄλλον γάρ τινα ἥκειν ἀλέξανδρον, τὸν ἀερόπου. ὁ δὲ ἀλέξανδρος ἐξ ὀγχηστοῦ ἄρας, τῇ ὑστεραίᾳ προσῆγε πρὸς τὴν πόλιν τῶν θηβαίων, κατὰ τὸ ἰολάου τέμενος· οὗ δὴ καὶ ἐστρατοπέδευσεν, ἐνδιδοὺς ἔτι τοῖς θηβαίοις βουλὴν, εἰ μεταγνόντες ἐπὶ τοῖς κακῶς ἐγνωσμένοις, πρεσβεύσαιντο παρ᾽ αὐτόν. οἱ δὲ, τοσούτου ἐδέησαν

 ἐνδοῦ-

∴ ὁρμηθεὶς .co. f.

l. ψιλῶν. co. ſ.



ἐνδόσιμον τι παρασχεῖν ἐς ξύμβασιν, ὡς τε
ἐκθέοντες ἐκ τῆς πόλεως, οἵ τε ἱππεῖς, καὶ τῶν
ψιλῶν οὐκ ὀλίγοι, ἐς τε ἐπὶ τὸ στρατόπεδον
ἠκροβολίζοντο ἐς τὰς προφυλακὰς, καί τι
νας καὶ ἀπέκτειναν οὐ πολλοὺς τῶν μακε-
δόνων. καὶ ἀλέξανδρος ἐκπέμψας τῶν ψι
λῶν καὶ τοξοτῶν, ὥς τε αὐτῶν ἀναστεῖλαι
τὴν ἐκδρομὴν· καὶ οὗτοι οὐ χαλεπῶς ἀνέστει-
λαν, ἤδη πρὸς στρατοπέδῳ αὐτῷ προσφερο
μένους· τῇ δὲ ὑστεραίᾳ ἀναλαβὼν τὴν στρα
τιὰν πᾶσαν, καὶ περιελθὼν κατὰ τὰς πύλας
τὰς φερούσας ἐπ' ἐλευθέρας τε καὶ τὴν ἀττι
κὴν, οὐ δὲ τότε προσέμιξε τοῖς τείχεσιν αὐ-
τοῖς, ἀλλ' ἐστρατοπέδευσεν οὐ πολὺ ἀπέχων
τῆς καδμείας, ὥς τε ἐγγὺς εἶναι ὠφέλειαν τῶν
μακεδόνων τοῖς τὴν καδμείαν ἔχουσιν· οἱ
γὰρ θηβαῖοι τὴν καδμείαν, διπλῷ χάρακι
ἐφρούρουν ἀποτειχίσαντες, ὡς μήτε ἔξω-
θέν τινα τοῖς ἐγκατειλημμένοις δύνασθαι
ἐπωφελεῖν, μήτε αὐτοὺς ἐκθέοντας βλά-
πτειν τοὺς σφᾶς, ὁπότε τοῖς ἔξω πολεμίοις
προσφέροιντο. ἀλέξανδρος δὲ (ἐπὶ γὰρ τοῖς
θηβαίοις διὰ φιλίας ἐλθεῖν μᾶλλόν τι, ἢ
διὰ

l. redundat ex co. ſi.



διὰ κινδύνου ἤθελε) διέτριβε πρὸς τῇ καδ-
μείᾳ κατεστρατοπεδευκώς. ἔνθα δὴ τῶν θη
βαίων, οἱ μὲν τὰ βέλτιστα ἐς τὸ κοινὸν γι-
γνώσκοντες, ἐξελθεῖν ὥρμηντο παρ' ἀλέ-
ξανδρον, καὶ εὑρέσθαι συγγνώμην τῷ πλή
θει τῶν θηβαίων τῆς ἀποστάσεως· οἱ φυγά
δες δὲ, καὶ ὅσοι τοὺς φυγάδας ἐπικεκλημέ
νοι ἦσαν, οὐδενὸς φιλανθρώπου τυχεῖν ἂν
παρ' ἀλεξάνδρου ἀξιοῦντες, ἄλλως τε καὶ
βοιωταρχοῦντες ἔστιν οἱ αὐτῶν, παντάπα
σιν ἐνῆγον τὸ πλῆθος ἐς τὸν πόλεμον· ἀλέ
ξανδρος δὲ οὐδ' ὣς τῇ πόλει προσέβαλεν·
ἀλλὰ λέγει πτολεμαῖος ὁ λάγου, ὅτι περ-
δίκκας προτεταγμένος τῆς φυλακῆς τοῦ
στρατοπέδου σὺν τῇ αὐτοῦ τάξει, καὶ τοῦ
χάρακος τῶν πολεμίων οὐ πολὺ ἀφεστη-
κώς, οὐ προσμείνας πρὸς ἀλεξάνδρου τὸ ἐς
τὴν μάχην ξύνθημα, αὐτὸς πρῶτος προ-
σέμιξε τῷ χάρακι· καὶ διασπάσας αὐτὸν,
ἐνέβαλεν ἐς τῶν θηβαίων τὴν προφυλα-
κήν· τούτῳ δὲ ἑπόμενος ἀμύντας ὁ ἀνδρο
μένους, ὅτι καὶ ξυντεταγμένος τῷ περ-
δίκκᾳ ἦν, ἐπῆγε καὶ αὐτὸς τὴν αὐτοῦ
τάξιν,

τάξιν, ὡς εἶδε τὸν περδίκκαν προεληλυθότα ἔσω τοῦ χάρακος. ταῦτα δὲ ἰδὼν ἀλέξανδρος, ὡς μὴ μόνοι ἀποληφθέντες, πρὸς τῶν θηβαίων κινδυνεύσειαν, ἐπῆγε τὴν ἄλλην στρατιάν· καὶ τοὺς μὲν τοξότας, καὶ τοὺς ἀγριάνας, ἐκδραμεῖν ἐσήμηνεν ἔσω τοῦ χάρακος· τὰ δὲ ἀγήματα καὶ τοὺς ὑπασπιστὰς, ἔτι ἔξω κατεῖχεν. ἔνθα δὴ περδίκκας μὲν τοῦ δευτέρου χάρακος ἔσω παρελθεῖν βιαζόμενος, αὐτὸς δὲ βληθεὶς, πίπτει αὐτοῦ, καὶ ἀποκομίζεται κακῶς ἔχων ἐπὶ τὸ στρατόπεδον· καὶ χαλεπῶς διεσώθη ἐκ τοῦ τραύματος. τοὺς μέντοι θηβαίους ἐς τὴν κοίλην ὁδὸν τὴν κατὰ τὸ ἡράκλειον φέρουσαν οἱ ἅμα αὐτῷ εἰσπεσόντες ὁμοῦ τοῖς παρ' ἀλεξάνδρου τοξόταις συνέκλεισαν, καὶ ἔς τε μὲν πρὸς τὸ ἡράκλειον ἀναχωροῦσιν, εἵποντο τοῖς θηβαίοις. ἐντεῦθεν δὲ ἐπιστρεψάντων αὖθις σὺν βοῇ τῶν θηβαίων, φυγὴ τῶν μακεδόνων γίγνεται. καὶ εὐρυβώτας τε ὁ κρὴς πίπτει ὁ τοξάρχης, καὶ αὐτῶν τῶν τοξοτῶν ἐς ἑβδομήκοντα· οἱ δὲ λοιποὶ κατέφυγον πρὸς τὸ ἄγημα τὸ τῶν μακε-

δόνων,



δόνων, καὶ τοὺς ὑπασπιστὰς τοὺς βασιλικούς, ἐν τούτῳ ἀλέξανδρος, τοὺς μὲν αὐτοῦ φεύγοντας κατιδὼν, τοὺς θηβαίους δὲ λελυκότας ἐν τῇ διώξει τὴν τάξιν, ἐμβάλλει ἐς αὐτοὺς συντεταγμένῃ τῇ φάλαγγι. οἱ δὲ ὠθοῦσι τοὺς θηβαίους ἔσω τῶν πυλῶν· καὶ τοῖς θηβαίοις ἐς τοσόνδε ἡ φυγὴ φοβερὰ ἐγίγνετο, ὥστε διὰ τῶν πυλῶν ὠθούμενοι ἐς τὴν πόλιν, οὐκ ἔφθησαν συγκλεῖσαι τὰς πύλας, ἀλλὰ συνεισπίπτουσι γὰρ αὐτοῖς ἔσω τοῦ τείχους, ὅσοι τῶν μακεδόνων ἐγγὺς φευγόντων εἴχοντο, ἅτε καὶ τῶν τειχῶν διὰ τὰς προφυλακὰς τὰς πολλὰς ἐρήμων ὄντων, καὶ παρελθόντων εἰς τὴν καδμείαν. οἱ μὲν ἐκεῖθεν κατὰ τὸ ἀμφεῖον σὺν τοῖς κατέχουσι τὴν καδμείαν ὑπερέβαινον ἐς τὴν ἄλλην πόλιν, οἱ δὲ κατὰ τὰ τείχη ἐχόμενα ἤδη πρὸς τῶν συνεισπεσόντων τοῖς φεύγουσιν ὑπερβάντες ἐς τὴν ἀγορὰν δρόμῳ ἐφέροντο. καὶ ὀλίγον μέν τινα χρόνον ἔμειναν οἱ τεταγμένοι τῶν θηβαίων κατὰ τὸ ἀμφεῖον. ὡς δὲ πανταχόθεν αὐτοῖς οἱ μακεδόνες καὶ ἀλέξανδρος ἄλλοτε ἄλλῃ ἐπιφαινόμενος προσέ-

κειντο

κεντο, οἱ μὲν ἱππεῖς τῶν θηβαίων διεκ-
πεσόντες διὰ τῆς πόλεως ἐς τὸ πεδίον διέ-
πιπτον, οἱ δὲ πεζοὶ ὡς ἑκάστοις προὐχώρει ἐσώ
ζοντο· ἔνθα δὴ ὀργῇ οὐχ οὕτως τι οἱ μακεδό-
νες, ἀλλὰ φωκεῖς τε, καὶ πλαταιεῖς, καὶ οἱ
ἄλλοι δὲ βοιωτοὶ, οὐδὲ ἀμυνομένους τοὺς
θηβαίους, ἐπ' οὐδενὶ κόσμῳ ἔκτεινον, τοὺς
μὲν ἐν ταῖς οἰκίαις ἐπεισπίπτοντες, τοὺς δὲ
ἐς ἀλκὴν τετραμμένους, τοὺς δὲ, καὶ πρὸς
ἱερὰς ἱκετεύοντας, οὔτε γυναικῶν, οὔτε
παίδων φειδόμενοι. καὶ πάθος τοῦτο ἑλλη
νικὸν μεγέθει τε τῆς ἁλούσης πόλεως καὶ
ὀξύτητι τοῦ ἔργου, οὐχ ἥκιστα δὲ τῷ παρα
λόγῳ ἔς τε τοὺς παθόντας καὶ τοὺς δρά-
σαντας οὐ μεῖόν τι τοὺς ἄλλους ἕλληνας, ἢ καὶ
αὐτοὺς τοὺς μετασχόντας τοῦ ἔργου, ἐξέ
πληξε· τὰ μὲν γὰρ περὶ σικελίας ἀθηναίοις
ξυνενεχθέντα, εἰ καὶ πλήθει τῶν ἀπολομέ
νων, οὐ μείονα τὴν ξυμφορὰν τῇ πόλει ἐπήνεγ
κεν, ἀλλὰ τῷ τε πόρρω ἀπὸ τῆς οἰκείας δια-
φθαρῆναι αὐτοῖς τὸν στρατὸν. καὶ τὴν πο-
λὺν ξυμμαχικὸν μᾶλλον, ἢ οἰκεῖον ὄντα, καὶ
τῷ τὴν πόλιν αὐτοῖς περιληφθῆναι, ὡς καὶ

ἐς

ἱεροῖς

☐ repete σεν τὸν

∴ f. atheniensium

∴ f. περιλειφθῆναι



ἐς ὕστερον ἐπὶ πολὺ τῷ πολέμῳ ἀντισχεῖν
λακεδαιμονίοις τε καὶ τοῖς ξυμμάχοις καὶ
μεγάλῳ βασιλεῖ πολεμοῦντας, οὔτε αὐ-
τοῖς τοῖς παθοῦσιν ἴσην τὴν αἴσθησιν τῆς
ξυμφορᾶς προσέθηκεν, οὔτε τοῖς ἄλλοις ἕλ
λησι τὴν ἐπὶ τῷ πάθει ἔκπληξιν ὁμοίαν
παρέσχε. καὶ τὸ ἐν αἰγὸς ποταμοῖς αὖθις ἀ-
θηναίων πταῖσμα, ναυτικόν τε ἦν· καὶ ἡ
πόλις οὐδὲν ἄλλο, ὅτι μὴ τῶν μακρῶν τει-
χῶν καθαιρέσει, καὶ νεῶν τῶν πολλῶν πα-
ραδόσει, καὶ στερήσει τῆς ἀρχῆς ἐς ταπεινό-
τητα ἀφικομένη, τό τε σχῆμα τὸ πάτριον
ὅμως ἐφύλαξε· καὶ τὴν δύναμιν οὐ διὰ μα
κροῦ τὴν παλαιὰν ἔλαβεν, ὥς τότε μακρὰ
τείχη ἐκτειχίσαι, καὶ τῆς θαλάσσης αὖθις
ἐπικρατῆσαι, καὶ τοὺς τότε φοβεροὺς σφί
σι λακεδαιμονίους, καὶ παρ' ὀλίγον ἐλθόν-
τας ἀφανίσαι τὴν πόλιν αὐτοὺς ἐν τῷ μέ
ρει, ἐκ τῶν ἐσχάτων κινδύνων διασῶσαι.
λακεδαιμονίων τε αὐτῇ τὰ λεῦκτρα καὶ
μαντίαν πταῖσμα, τῷ παραλόγῳ μᾶλλόν
τι τῆς ξυμφορᾶς, ἢ τῷ πλήθει τῶν τύχε ἀπο
λομένων τοὺς λακεδαιμονίους ἐξέπληξεν,

ἥ τε

+ μαντίνειαν

∴ αὖ τὸ

∴ f. τότε

·l·ἀ. ἀήθει αὐτῷ ll. τοῦ κινδύνου



ὅτε ξὺν ἐπαμεινώνδᾳ βοιωτῶν καὶ ἀρκάδων γενομένη προσβολὴ πρὸς τὴν σπάρτην, καὶ αὐτῆ τοῦ ἀήθει τῆς ὄψεως μᾶλλον ἢ τῇ ἀκριβείᾳ τῶν κινδυνώνων αὐτούς τε τοὺς λακεδαιμονίους, καὶ τοὺς ξυμμετασχόντας αὐτοῖς τῶν τότε πραγμάτων ἐφόβησεν. ἡ δὲ δὴ πλαταιέων ἅλωσις τῆς πόλεως τῇ σμικρότητι τῶν καταληφθέντων, ὅτι οἱ πολλοὶ αὐτῶν διαπεφεύγεσαν πάλαι ἐς τὰς ἀθήνας, οὐ μέγα πάθημα ἐγένετο. καὶ ἡ μίλου καὶ συκιώνης ἅλωσις, νησιωτικά τε πολίσματα ἦν καὶ τοῖς δράσασιν αἰσχύνην μᾶλλόν τι προσέβαλλεν, ἢ ἐς τὸ ξύμπαν ἑλληνικὸν, μέγαν τὸν παράλογον παρέσχε. θηβαίοις δὲ τὰ τῆς ἀποστάσεως ὀξέα καὶ ξὺν οὐδενὶ λογισμῷ γενόμενα, καὶ ἡ ἅλωσις δι᾽ ὀλίγου τε, καὶ οὐ ξὺν πόνῳ τῶν ἑλόντων ξυνενεχθεῖσα, καὶ ὁ φόνος πολὺς, οἷα δὴ ἐξ ὁμοφύλων τε καὶ παλαιὰς ἀπεχθείας ἐπεξιόντων, καὶ ὁ τῆς πόλεως παντελὴς ἀνδραποδισμὸς, δυνάμει τε καὶ δόξῃ ἐς τὰ πολέμια, τῶν τότε προεχόντων ἐν τοῖς ἕλλησιν, οὐκ ἔξω τοῦ εἰκότος ἐς μῆνιν τοῦ

ἀπὸ

□ μήλου καὶ σκιώνης

+ sic m. co. scr. sed ego puto legendum ἐκτίσαι τοὺς θηβαίους



ἀπὸ τοῦ θείου ἀνηνέχθη· ὡς τῆς τε ἐν τῷ μηδικῷ πολέμῳ προδοσίας τῶν ἑλλήνων διὰ μακροῦ ταύτην δίκην ἐκτίσαντας θηβαίους, καὶ τῆς πλαταιέων ἐν ταῖς σπονδαῖς καταλήψεως, καὶ τοῦ παντελοῦς ἀνδραποδισμοῦ τῆς πόλεως, καὶ τῆς τῶν παραδόντων σφᾶς λακεδαιμονίοις οὐχ ἑλληνικῆς γενομένης διὰ θηβαίους σφαγῆς, καὶ τοῦ χωρίου τοῦ ἐρημώσεως· ἐν ὅτῳ οἱ ἕλληνες παραταξάμενοι μήδοις, ἀπώσαντο τῆς ἑλλάδος τὸν κίνδυνον· καὶ ὅτι ἀθηναίους αὐτοὺς τῇ ψήφῳ ἀπώλλυον, ὅτε ὑπὲρ ἀνδραποδισμοῦ τῆς πόλεως γνώμη προὐτέθη ἐν τοῖς λακεδαιμονίων ξυμμάχοις· ἐπεὶ καὶ πρὸ τῆς ξυμφορᾶς, πολλὰ ἀπὸ τοῦ θείου ἐπισημῆναι ἐλέγετο, ἃ δὴ ἐν μὲν τῷ παραυτίκα ἠμελήθη. ὕστερον δὲ ἡ μνήμη αὐτὰ ἐς λογισμὸν τῶν ἔκπαλαι ὧδε τοῖς ξυνενεχθεῖσι προσημανθῆναι ἀνήνεγκε. τοῖς δὲ μετασχοῦσι τοῦ ἔργου ξυμμάχοις, οἷς δὴ καὶ ἐπέτρεψεν ἀλέξανδρος τὰ κατὰ τὰς θήβας διαθεῖναι· τὴν μὲν καδμείαν φρουρᾷ κατέχειν ἔδοξε, τὴν πόλιν δὲ κατασκάψαι ἐς ἔδαφος, καὶ τὴν χώραν κατανεῖμαι

τοῖς

·l·ἀ. αὐτῶν

τοῖς ξυμμάχοις, ὅσοι μὴ ἱερὰ αὐτῆς· παῖδας δὲ καὶ γυναῖκας, καὶ ὅσοι ὑπελείποντο θηβαίων πλὴν τῶν ἱερέων τε καὶ ἱερειῶν, καὶ ὅσοι ξένοι φιλίππου ἢ ἀλεξάνδρου, ἢ ὅσοι πρόξενοι μακεδόνων ἐγένοντο ἀνδραποδίσαι· καὶ τὴν πινδάρου δὲ τοῦ ποιητοῦ οἰκίαν, καὶ τοὺς ἀπογόνους τοῦ πινδάρου λέγουσιν, ὅτι διεφύλαξεν ἀλέξανδρος, αἰδοῖ τῇ πινδάρου· ἐπὶ τούτοις ὀρχόμενόν τε καὶ πλαταιὰς ἀναστῆσαί τε καὶ τειχίσαι οἱ ξυμμάχοι ἔγνωσαν. ἐς δὲ τοὺς ἄλλους ἕλληνας, ὡς ἐξηγγέλθη τῶν θηβαίων τὸ πάθος, ἀρκάδες μὲν ὅσοι βοηθήσοντες θηβαίοις ἐκ τῆς οἰκείας ὡρμήθησαν, θάνατον κατεψηφίσαντο τῶν ἐπαρόντων σφᾶς ἐς τὴν βοήθειαν. ἠλεῖοι δὲ τοὺς φυγάδας σφῶν κατεδέξαντο, ὅτι ἐπιτήδειοι ἀλεξάνδρῳ ἦσαν· αἰτωλοὶ δὲ πρεσβείας σφῶν κατὰ ἔθνη πέμψαντες, ξυγγνώμης τυχεῖν ἐδέοντο, ὅτι καὶ αὐτοί τι πρὸς τὰ παρὰ τῶν θηβαίων ἀπαγγελθέντα ἐνεωτέρισαν· ἀθηναῖοι δὲ μυστηρίων τῶν μεγάλων ἀγομένων, ὡς ἧκόν τινες τῶν θηβαίων ἐξ αὐτοῦ τοῦ ἔργου, τὰ





μὲν μυστήρια ἐκπλαγέντες ἐξέλιπον, ἐκ δὲ τῶν ἀγρῶν ἀνεσκευάζοντο ἐς τὴν πόλιν. ὁ δῆμος δὲ ἐς ἐκκλησίαν συνελθὼν, δημάδου γράψαντος, δέκα πρέσβεις, ἐκ πάντων ἀθηναίων ἐπιλεξάμενος, πέμπει παρὰ ἀλέξανδρον, οὕς τινας ἐπιτηδειοτάτους ἀλεξάνδρῳ ἐγίγνωσκον· ὅτι τε σῶος ἐξ ἰλλυριῶν καὶ τριβαλλῶν ἐπανῆλθε, χαίρειν τὸν δῆμον τῶν ἀθηναίων οὐκ ἐν καιρῷ ἀπαγγελοῦντας, καὶ ὅτι θηβαίους τοῦ νεωτερισμοῦ ἐτιμωρήσατο. ὁ δὲ, τὰ μὲν ἄλλα φιλανθρώπως πρὸς τὴν πρεσβείαν ἀπεκρίνατο, ἐπιστολὴν δὲ γράψας πρὸς τὸν δῆμον, ἐξῄτει τοὺς ἀμφὶ δημοσθένην καὶ λυκοῦργον· καὶ ὑπερείδην δὲ ἐξῄτει, καὶ πολύευκτον, καὶ χάρητα, καὶ χαρίδημον, καὶ ἐφιάλτην, καὶ διότιμον, καὶ μοιροκλέα· τούτους γὰρ αἰτίους εἶναι τῆς τε ἐν χαιρωνείᾳ ξυμφορᾶς τῇ πόλει γενομένης, καὶ τῶν ὕστερον ἐπὶ τῇ φιλίππου τελευτῇ πλημμεληθέντων ἔς τε αὑτὸν, καὶ ἐς φίλιππον, καὶ θηβαίοις δὲ τῆς τε ἀποστάσεως ἀπέφαινεν αἰτίους οὐ μεῖον ἢ τοὺς αὐτῶν θηβαίων νεωτερίσαντας. ἀθη

ναῖοι δὲ τοὺς μὲν ἄνδρας οὐκ ἐξέδοσαν, πρεσ-
βεύοντες δὲ αὖθις παρὰ ἀλέξανδρον, ἀφεῖ-
ναι δεόμενοι τὴν ὀργὴν τοῖς ἐξαιτηθεῖσι· ὁ
ἀλέξανδρος ἀφίησι, τυχὸν μὲν αἰδοῖ τῆς
πόλεως, τυχὸν δὲ σπουδῇ τοῦ ἐς τὴν ἀσίαν
στόλου, οὐκ ἐθέλων οὐδὲν ὕποπτον ἐν τοῖς ἕλ-
λησιν ὑπολείπεσθαι. χαρίδημον μέντοι μό-
νον τῶν ἐξαιτηθέντων τε καὶ οὐ δοθέντων,
φεύγειν ἐκέλευσε· καὶ φεύγει χαρίδημος
ἐς τὴν ἀσίαν παρὰ βασιλέα δαρεῖον. ταῦ-
τα δὲ διαπραξάμενος ἐπανῆλθεν εἰς μα-
κεδονίαν· καὶ τῷ τε διῒ τῷ ὀλυμπίῳ τὴν θυ-
σίαν τὴν ἀπ' ἀρχελάου ἔτι καθεστῶσαν ἔθυσε,
καὶ τὸν ἀγῶνα ἐν αἰγαῖς διέθηκε τὰ ὀλύμ-
πια· οἱ δὲ, καὶ ταῖς μούσαις λέγουσιν ὅτι ἀ-
γῶνα ἐποίησε· καὶ ἐν τούτῳ ἀγγέλλεται τὸ
ὀρφέως τοῦ οἰάγρου τοῦ θρακὸς ἄγαλμα, τὸ
ἐν πιερίδι ἱδρῶσαι ξυνεχῶς, καὶ ἄλλοι ἄλ-
λα ἐπεθείαζον τῶν μάντεων. ἀρίστανδρος
δὲ ἀνὴρ τελμισσεὺς μάντις, θαῤῥεῖν ἐκέλευ-
σεν ἀλέξανδρον, δηλοῦσθαι γὰρ ὅτι ποιη-
ταῖς ἐπῶν τε, καὶ μελῶν, καὶ ὅσοι ἀμφὶ ᾠ-
δὴν ἔχουσι, πολὺς πόνος ἔσται ποιεῖν τε,
καὶ



καὶ ᾄδειν ἀλέξανδρον, καὶ τὰ ἀλεξάνδρου
ἔργα. ἅμα δὲ τῷ ἦρι ἀρχομένῳ, ἐξελαύνει
ἐφ' ἑλλησπόντου, τὰ μὲν κατὰ μακεδονίαν τε,
καὶ τοὺς ἕλληνας ἀντιπάτρῳ ἐπιτρέψας, αὐ-
τὸς δὲ ἄγων πεζοὺς μὲν σὺν ψιλοῖς τε, καὶ
τοξόταις, οὐ πολλῷ πλείους τρισμυρίων, ἱπ-
πέας δὲ ὑπὲρ τοὺς πεντακισχιλίους. ἦν δὲ αὐ-
τῷ ὁ στόλος παρὰ τὴν λίμνην τὴν κερκινί- Cercinitis
τιν, ὡς ἐπ' ἀμφίπολιν, καὶ τοῦ στρυμόνος πο- palus
ταμοῦ τὰς ἐκβολάς· διαβὰς δὲ τὸν στρυμόνα
παρήμειψε τὸ πάγγαιον ὄρος τὴν ὡς ἐπ'
ἄβδηρα καὶ μαρώνειαν πόλεις ἑλληνίδας,
ἐπὶ θαλάσσῃ ᾠκισμένας· ἔνθεν δὲ ἐπὶ τὸν
ἕβρον ποταμὸν ἀφικόμενος, διαβαίνει καὶ
τὸν εὐπετῶς, ἐκεῖθεν δὲ διὰ τῆς παιτικῆς Pætice
ἐπὶ τὸν μέλανα ποταμὸν ἔρχεται· διαβὰς
δὲ καὶ τὸν μέλανα, ἐς σηστὸν ἀφικνεῖται ἐν
εἴκοσι ταῖς πάσαις ἡμέραις, ἀπὸ τῆς οἴκο- Eleus: V.
θεν ἐξορμήσεως. ἐλθὼν δὲ ἐς ἐλεοῦντα, θύει
πρωτεσιλάῳ ἐπὶ τῷ τάφῳ τοῦ πρωτεσιλά-
ου, ὅτι καὶ πρωτεσίλαος πρῶτος ἐδόκει ἐκβῆ-
ναι ἐς τὴν ἀσίαν τῶν ἑλλήνων, τῶν ἅμα ἀγαμέμνο-
νι ἐς ἴλιον στρατευσάντων. καὶ ὁ νοῦς τῆς θυσίας

 ἦν

∴ ſſ ἕβρον □ sic in co.

ἐπιτυχεστέραν οἱ γενέσθαι ἢ πρωτεσιλάῳ τὴν ἀπόβασιν. παρμενίων μὲν δὴ τῶν τε πεζῶν τοὺς πολλοὺς, καὶ τὴν ἵππον διαβιβάσαι ἐτάχθη ἐκ σηστοῦ ἐς ἄβυδον, καὶ διέβησαν τριήρεσι μὲν ἑκατὸν καὶ ἑξήκοντα, πλοίοις δὲ ἄλλοις πολλοῖς στρογγύλοις. ἀλέξανδρον δὲ ἐξελεοῦντος ἐς τὸν ἀχαιῶν λιμένα κατᾶραι ὁ πλείων λόγος κατέχει, καὶ αὐτόν τε κυβερνῶντα τὴν στρατηγίδα ναῦν διαβάλλειν, καὶ ἐπειδὴ κατὰ μέσον τὸν πόρον τῆς ἑλλησπόντου ἐγένετο, σφάξαντα ταῦρον τῷ ποσειδῶνι καὶ νηρηΐσι, σπένδειν ἐκ χρυσῆς φιάλης ἐς τὸν πόντον. λέγουσι δὲ καὶ πρῶτον ἐκ τῆς νεὼς σὺν τοῖς ὅπλοις ἐκβῆναι αὐτὸν, ἐς τὴν γῆν τὴν ἀσίαν, καὶ βωμοὺς ἱδρύσασθαι, ὅθεν τε ἐστάλη ἐκ τῆς εὐρώπης, καὶ ὅπου ἐξέβη τῆς ἀσίας, διὸς ἀποβοιτηρείου καὶ ἀθηνᾶς καὶ ἡρακλέους, ἀνελθόντα δὲ ἐς ἴλιον τῇ τε ἀθηνᾷ θῦσαι τῇ ἰλιάδι, καὶ τὴν πανοπλίαν τὴν αὐτοῦ ἀναθεῖναι ἐς τὸν νεὼν, καὶ κατελθεῖν ἀντὶ ταύτης τῶν ἱερῶν τινα ὅπλων ἔτι ἐκ τοῦ τρωϊκοῦ ἔργου σωζόμενα. καὶ ταῦτα λέγουσιν

σιν

διαβάλλειν

i. f. ἀποβατηρίου

Sic in vet. lectio ita habet legendum videtur καθελεῖν



σιν, ὅτι οἱ ὑπασπισταὶ ἔφερον πρὸ αὐτοῦ ἐς τὰς μάχας. θῦσαι δὲ αὐτὸν καὶ πριάμῳ ἐπὶ τοῦ βωμοῦ τοῦ διὸς τοῦ ἑρκείου λόγος κατέχει. μῆνιν πριάμου παραιτούμενον, τῷ νεοπτολέμου γένει, ὃ δὴ ἐς αὐτὸν καθῆκεν. ἀνιόντα δ' αὐτὸν ἐς ἴλιον, μενοίτιός τε ὁ κυβερνήτης χρυσῷ στεφάνῳ ἐστεφάνωσε, καὶ ἐπὶ τούτῳ χάρης, ὁ ἀθηναῖος ἐκ σιγείου ἐλθὼν καὶ τινὲς ἄλλοι· οἱ μὲν, ἕλληνες· οἱ δὲ, ἐπιχώριοι· οἱ δὲ, ὅτι καὶ τὸν ἀχιλλέως ἄρα τάφον ἐστεφάνωσε. καὶ εὐδαιμόνισεν ἄρα, ὡς ὁ λόγος ἀλέξανδρος ἀχιλλέα, ὅτι ὁμήρου κήρυκος ἐς τὴν ἔπειτα μνήμην ἔτυχε. καὶ μέντοι καὶ ἦν ἀλεξάνδρῳ οὐχ ἥκιστα τούτου ἕνεκα εὐδαιμονιστέος ἀχιλλεὺς, ὅτι αὐτῷ γε ἀλεξάνδρῳ οὐ κατὰ τὴν ἄλλην ἐπιτυχίαν τὸ χωρίον τοῦτο ἐκλιπὲς ξυνέβη, οὐδὲ ἐξηνέχθη ἐς ἀνθρώπους τὰ ἀλεξάνδρου ἔργα ἐπαξίως. οὔτ' οὖν καταλογάδην, οὔτε τις ἐν μέτρῳ ἐποίησεν, ἀλλ' οὐδὲ ἐν μέλει ἤθη ἀλέξανδρος, ἐν ὅτῳ ἱέρων τε καὶ γέλων καὶ θήρων, καὶ πολλοὶ ἄλλοι οὐδέν τι ἀλεξάνδρῳ ἐπεοικότες, ὥς τε πολὺ μεῖον γιγνώσκε-



χωρίον

i. f. ἤθη

τοῦ τὰ ἀλεξάνδρου, ἢ τὰ φαυλότατα τῶν πάλαι ἔργων. ὁπότε γε ἡ τῶν μυρίων σὺν κύρῳ ἄνοδος ἐπὶ βασιλέα ἀρταξέρξην, καὶ τὰ κλεάρχου καὶ τῶν ἅμα αὐτῷ ἁλόντων παθήματα, καὶ ἡ κατάβασις αὐτῶν ἐκείνων, ἣν ξενοφῶν αὐτὸς κατήγαγε, πολύ τι ἐπιφανέστερα ἐς ἀνθρώπους ξενοφῶντος ἕνεκά ἐστιν, ἢ ἀλέξανδρός τε, καὶ τὰ ἀλεξάνδρου ἔργα. καίτοι ἀλέξανδρος, οὔτε ξὺν ἄλλῳ ἐστράτευσεν. οὔτε φεύγων μέγα βασιλέα τοὺς τῇ καθόδῳ τῇ ἐπὶ θάλασσαν ἐμποδὼν γιγνομένους ἐκράτησεν. ἀλλ' οὐκ ἔστιν ὅστις ἄλλος εἷς ἀνὴρ τοσαῦτα ἢ τηλικαῦτα ἔργα κατὰ πλῆθος, ἢ μέγεθος ἐν ἕλλησιν ἢ βαρβάροις ἀπεδείξατο. ἔνθεν καὶ αὐτὸς ὁρμηθῆναί φημι ἐς τήνδε τὴν ξυγγραφὴν, οὐκ ἀπαξιώσας ἐμαυτὸν φανερὰ καταστῆσαι ἐς ἀνθρώπους τὰ ἀλεξάνδρου ἔργα. ὅστις δὲ ὢν ταῦτα ὑπὲρ ἐμαυτοῦ γιγνώσκω, τὸ μὲν ὄνομα, οὐδὲν δέομαι ἀναγράψαι. οὐδὲ γὰρ οὐδὲ ἄγνωστον ἐς ἀνθρώπους ἐστὶν, οὐδὲ πατρίδα ἥτις μοι ἐστὶν, οὐδὲ γένος τὸ ἐμὸν, οὐδὲ εἰ δή τινα ἀρχὴν ἐν τῇ ἐμαυτοῦ

ἦρξα.



ἦρξα, ἀλλ' ἐκεῖνο ἀναγράφω, ὅτι ἐμοὶ πατρίς τε καὶ γένος καὶ ἀρχαί, οἵδε οἱ λόγοι εἰσί τε καὶ ἀπὸ νέου ἔτι ἐγένοντο. καὶ ἐπὶ τῷδε οὐκ ἀπαξιῶ ἐμαυτὸν τῶν πρώτων ἐν τῇ φωνῇ τῇ ἑλλάδι, εἴπερ οὖν καὶ ἀλέξανδρος τῶν ἐν τοῖς ὅπλοις. ἐξ ἰλίου δὲ ἐς ἀρίσβην ἧκεν, οὗ πᾶσα ἡ δύναμις αὐτῷ διαβεβηκυῖα, τὸν ἑλλήσποντον ἐστρατοπεδεύκει· καὶ τῇ ὑστεραίᾳ, ἐς περκώτην. τῇ δὲ ἄλλῃ λάμψακον παραμείψας, πρὸς τῷ πρακτίῳ ποταμῷ ἐστρατοπέδευσεν, ὃς ῥέων ἐκ τῶν ὀρῶν τῶν ἰδαίων, ἐκδιδοῖ ἐς θάλασσαν τὴν μεταξὺ τοῦ ἑλλησπόντου τε καὶ τοῦ εὐξείνου πόντου. ἔνθεν δὲ ἐς ἑρμωτὸν ἀφίκετο, κολωνὰς πόλιν παραμείψας. σκοποὶ δὲ αὐτῷ ἐπέμποντο πρὸ τοῦ στρατεύματος· καὶ τούτων ἡγεμὼν ἦν ἀμύντας ὁ ἀρραβαίου, ἔχων τῶν ἑταίρων τὴν ἴλην τὴν ἐξ ἀπολλωνίας, ἧς ἰλάρχης ἦν σωκράτης ὁ σάθωνος, καὶ τῶν προδρόμων καλουμένων, ἴλας τέσσαρας. κατὰ δὲ τὴν πάροδον πρίαπον πόλιν ἐνδοθεῖσαν πρὸς τῶν ἐνοικούντων, τοὺς παραληψομένους ἀπέστειλε σὺν πανηγόρῳ τῷ λυκαγόρου ἑνὶ τῶν

 ἑται

ἑταίρων. περσῶν δὲ στρατηγοὶ ἦσαν, ἀρσάμης καὶ ῥεομίτρης, καὶ πετήνης, καὶ νιφάτης, καὶ ξὺν τούτοις μιθριδάτης ὁ λυδίας καὶ ἰωνίας σατράπης, καὶ ἀρσίτης ὁ τῆς πρὸς ἑλλησπόντῳ φρυγίας ὕπαρχος. οὗτοι δὲ πρὸς ζελέᾳ πόλει κατεστρατοπεδευκότες, ἦσαν ξὺν τῇ ἵππῳ τε τῇ βαρβαρικῇ, καὶ τοῖς ἕλλησι τοῖς μισθοφόροις, βουλευομένοις δὲ αὐτοῖς ὑπὲρ τῶν παρόντων, ἐπειδὴ ἀλέξανδρος διαβεβηκὼς ἠγγέλλετο, μέμνων ὁ ῥόδιος παρῄνει, μὴ διακινδυνεύειν πρὸς τοὺς μακεδόνας, τῷ τε πεζῷ πολὺ περιόντας σφῶν, καὶ αὐτοῦ ἀλεξάνδρου παρόντος· αὐτοῖς δὲ ἀπόντος δαρείου, προϊόντας δὲ τόν τε χιλὸν ἀφανίζειν καταπατοῦντας τῇ ἵππῳ, καὶ τὸν ἐν τῇ γῇ καρπὸν ἐμπιπράναι, μηδὲ τῶν πόλεων αὐτῶν φειδομένους. οὐ γὰρ μενεῖν ἐν τῇ χώρᾳ ἀλέξανδρον ἀπορίᾳ τῶν ἐπιτηδείων. ἀρσίτην δὲ λέγεται εἰπεῖν ἐν τῷ συλλόγῳ τῶν περσῶν, ὅτι οὐκ ἂν περιίδοι μίαν οἰκίαν ἐμπρησθεῖσαν τῶν ὑποτεταγμένων ἀνθρώπων, καὶ τοὺς πέρσας ἀρσίτῃ προσθέσθαι, ὅτι καὶ ὑποπτεύειν τι

αὐτοῖς



αὐτοῖς ἦν ἐς τὸν μέμνονα τριβὰς ἐμποιεῖν ἑκόντα τῷ πολέμῳ τῆς ἐκ βασιλέως τιμῆς οὕνεκα. ἐν τούτῳ δὲ ἀλέξανδρος προὐχώρει ἐπὶ τὸν γρανικὸν ποταμὸν συντεταγμένῳ τῷ στρατῷ, διπλῆν μὲν τὴν φάλαγγα τῶν ὁπλιτῶν τάξας· τοὺς δὲ ἱππέας κατὰ τὰ κέρατα ἄγων, τὰ σκευοφόρα δὲ κατόπιν ἐπιτάξας ἕπεσθαι, τοὺς δὲ προκατασκεψομένους τὰ τῶν πολεμίων, ἦγεν αὐτῷ ἡγέλοχος, ἱππέας μὲν ἔχων τοὺς σαρισσοφόρους, τῶν δὲ ψιλῶν ἐς πεντακοσίους· καὶ ἀλέξανδρός τε οὐ πολὺ ἀπεῖχε τοῦ ποταμοῦ τοῦ γρανικοῦ, καὶ οἱ ἀπὸ τῶν σκοπῶν σπουδῇ ἐλαύνοντες, ἀπήγγελλον ἐπὶ τῷ γρανικῷ πέραν, τοὺς πέρσας ἐφεστάναι ὡς ἐς μάχην τεταγμένους. ἔνθα δὴ ἀλέξανδρος μὲν τὴν στρατιὰν πᾶσαν συνέταττεν ὡς μαχουμένους. παρμενίων δὲ προσελθὼν, λέγει ἀλεξάνδρῳ τάδε. ἐμοὶ δοκεῖ βασιλεῦ, ἀγαθὸν εἶναι ἐν τῷ παρόντι καταστρατοπεδεῦσαι ἐπὶ τοῦ ποταμοῦ τῇ ὄχθῃ, ὡς ἔχομεν. τοὺς γὰρ πολεμίους οὐ δοκῶ τολμήσειν πολὺ τῶν πεζῶν λειπομένους, πλησίον ἡμῶν αὐλισθῆναι, καὶ ταύτῃ

παρέ

διαβαλεῖν

παρέξειν ἑωθινὸν εὐπετῶς τῷ στρατῷ διαβαλεῖν τὸν πόρον. ὑποφθήσομεν γὰρ αὐτοὶ περάσαντες, πρὶν ἐκείνους ἐς τάξιν καθίστασθαι. νῦν δὲ οὐκ ἀκινδύνως μοι δοκοῦμεν ἐπιχειρήσειν τῷ ἔργῳ, ὅτι οὐχ οἷόν τε ἐν μετώπῳ διὰ τοῦ ποταμοῦ ἄγειν τὸν στρατόν. πολλὰ μὲν γὰρ αὐτοῦ ὁρᾶται βαθέα. αἱ δὲ ὄχθαι αὗται, ὁρᾷς ὅτι ὑπερύψηλοι καὶ κρημνώδεις εἰσὶν αἱ αὐτῶν. ἀτάκτως τε οὖν καὶ κατὰ κέρας, ᾗπερ ἀσθενέστατον, ἐκβαίνουσιν, ἐπικείσονται ἐς φάλαγγα συντεταγμένοι τῶν πολεμίων οἱ ἱππεῖς. καὶ τὸ πρῶτον σφάλμα ἔς τε τὰ παρόντα χαλεπὸν, καὶ ἐς τὴν ὑπὲρ παντὸς τοῦ πολέμου κρίσιν σφαλερόν. ἀλέξανδρος δὲ, ταῦτα μὲν ἔφη ὦ παρμενίων γιγνώσκω, αἰσχύνομαι δὲ εἰ τὸν μὲν ἑλλήσποντον διέβην εὐπετῶς, τοῦτον δὲ σμικρὸν ῥεῦμα, οὕτω τῷ ὀνόματι τὸν γρανικὸν ἐκφαυλίσας εἴρξει ἡμᾶς τὸ μὴ οὐ διαβῆναι, ὡς ἔχομεν, καὶ τοῦτο οὔτε πρὸς μακεδόνων τῆς δόξης, οὔτε πρὸς τῆς ἐμῆς ἐς τοὺς κινδύνους ὀξύτητος ποιοῦμαι, ἀναθαρρήσειν τε δοκῶ τοὺς πέρσας, ἀξιομά-

κατὰ κέρας

χους



χους μακεδόσιν ὄντας, ὅτι οὐδὲν ἄξιον τοῦ σφῶν δέους ἐν τῷ παραυτίκα ἔπαθον. ταῦτα εἰπὼν, παρμενίωνα μὲν, ἐπὶ τὸ εὐώνυμον κέρας πέμπει ἡγησόμενον, αὐτὸς δὲ ἐπὶ τὸ δεξιὸν παρῆγε. προετάχθησαν δὲ αὐτῷ τοῦ μὲν δεξιοῦ, φιλώτας ὁ παρμενίωνος, ἔχων τοὺς ἑταίρους τοὺς ἱππέας, καὶ τοὺς τοξότας, καὶ τοὺς ἀγριᾶνας τοὺς ἀκοντιστάς. ἀμύντας δὲ ὁ ἀρραβαίου, τούς τε σαρισσοφόρους ἱππέας ἔχων, φιλώτᾳ ἐπετάχθη, καὶ τοὺς παίονας, καὶ τὴν ἴλην τὴν σωκράτους. ἐχόμενοι δὲ τούτων, ἐτάχθησαν οἱ ὑπασπισταὶ τῶν ἑταίρων, ὧν ἡγεῖτο νικάνωρ ὁ παρμενίωνος. ἐπὶ δὲ τούτοις, ἡ περδίκκου τοῦ ὀρόντου φάλαγξ. ἐπὶ δὲ, ἡ κοίνου τοῦ πολεμοκράτους. ἐπὶ δὲ, ἡ κρατεροῦ τοῦ ἀλεξάνδρου. ἐπὶ δὲ, ἡ ἀμύντου τοῦ ἀνδρομένους. ἐπὶ δὲ, ὧν φίλιππος ὁ ἀμύντου ἦρχε. τοῦ δὲ εὐωνύμου, πρῶτοι μὲν οἱ θετταλοὶ ἱππεῖς ἐτάχθησαν, ὧν ἡγεῖτο κάλας ὁ ἁρπάλου. ἐπὶ δὲ τούτοις, οἱ ξύμμαχοι ἱππεῖς, ὧν ἦρχε φίλιππος ὁ μενελάου. ἐπὶ δὲ τούτοις, οἱ θρᾷκες

Dextrum cornu

Sinistrum cornu

ὧν

ὧν ἦρχον ἀγάθων· ἐχόμενοι δὲ τούτων, πεζοί, ἥ τε κρατεροῦ φάλαγξ καὶ ἡ μελεάγρου, καὶ ἡ φιλίππου, ἔς τε ἐπὶ τὸ μέσον τῆς ξυμπάσης τάξεως. περσῶν δὲ ἱππεῖς μὲν ἦσαν ἐς δρυσμυρίους, ξένοι δὲ πεζοὶ μισθοφόροι ὀλίγον ἀπολείποντες δισμυρίων· ἐτάχθησαν δὲ τὴν μὲν ἵππον παρατείναντες τῷ ποταμῷ, κατὰ τὴν ὄχθην ἐπὶ φάλαγγα μακράν, τοὺς δὲ πεζοὺς κατόπιν τῶν ἱππέων· καὶ γὰρ ὑπερδέξια ἦν τὰ ὑπὲρ τὴν ὄχθην χωρία. ᾗ δὲ ἀλέξανδρον αὐτὸν καθεώρων (δῆλος γὰρ ἦν, τῶν τε ὅπλων τῇ λαμπρότητι, καὶ τῶν ἀμφ' αὐτὸν τῇ σὺν ἐκπλήξει θεραπείᾳ) κατὰ τὸ εὐώνυμον μὲν σφῶν ἐπέχοντα, ταύτῃ πυκνὰς ἐπέταξαν τῇ ὄχθῃ τὰς ἴλας τῶν ἱππέων. χρόνον μὲν δὴ ἀμφότερα τὰ στρατεύματα, ἐπ' ἄκρου τοῦ ποταμοῦ ἐφεστῶτα, ὑπὸ τοῦ τὸ μέλλον ὀκνεῖν, ἡσυχίαν ἦγον· καὶ σιγὴ ἦν πολλὴ ἀφ' ἑκατέρων· οἱ γὰρ πέρσαι προσέμενον τοὺς μακεδόνας ὁπότε ἐσβήσονται ἐς τὸν πόρον, ὡς ἐπικεισόμενοι ἐκβαίνουσιν· ἀλέξανδρος δὲ ἀναπηδήσας ἐπὶ τὸν ἵππον, καὶ τοῖς ἀμφ' αὐτὸν ἐγκελευσά-

μενος



μενος ἕπεσθαί τε καὶ ἄνδρας ἀγαθοὺς γίνεσθαι, τοὺς μὲν προδρόμους ἱππέας, καὶ μὴν καὶ τοὺς παίονας, προεμβαλεῖν εἰς τὸν ποταμὸν ἔχοντα ἀμύνταν τὸν ἀρραβαίου καὶ τῶν πεζῶν μίαν τάξιν, καὶ πρὸ τούτων τὴν σωκράτους ἴλην πτολεμαῖον τὸν φιλίππου ἄγοντα, ᾗ δὴ καὶ ἐτύγχανε τὴν ἡγεμονίαν τοῦ ἱππικοῦ παντὸς ἔχουσα ἐκείνῃ τῇ ἡμέρᾳ, αὐτὸς δὲ ἄγων τὸ δεξιὸν κέρας ὑπὸ σαλπίγγων τε καὶ ἐνυαλίῳ ἀλαλάζοντας, ἐμβαίνει ἐς τὸν πόρον, λοξὴν ἀεὶ παρατείνων τὴν τάξιν, ᾗ παρεῖλκε τὸ ῥεῦμα, ἵνα δὴ μὴ ἐκβαίνοντι αὐτῷ, οἱ πέρσαι κατὰ κέρας προστύπτοιεν, ἀλλὰ καὶ αὐτὸς ὡς ἀνυστὸν τῇ φάλαγγι προσμίξῃ αὐτοῖς. οἱ δὲ πέρσαι ᾗ πρῶτοι οἱ ἀμφὶ ἀμύνταν καὶ σωκράτην προσέσχον τῇ ὄχθῃ, ταύτῃ καὶ αὐτοὶ ἄνωθεν ἔβαλλον· οἱ μὲν αὐτῶν, ἀπὸ τῆς ὄχθης ἐξ ὑπερδεξίου ἐς τὸν ποταμὸν ἐσακοντίζοντες· οἱ δέ, κατὰ τὰ χθαμαλώτερα αὐτῆς ἔς τε ἐπὶ τὸ ὕδωρ καταβαίνοντες. καὶ ἦν τῶν τε ἵππων ὠθισμὸς· τῶν μὲν ἐκβαίνειν ἐκ τοῦ ποταμοῦ, τῶν δ' εἴργειν τὴν ἔκβασιν· καὶ παλτῶν ἀπὸ

μὲν

ἢ. προσπίπτοιεν

μὲν τῶν περσῶν, πολλὴ ἄφεσις. οἱ μακεδό-
νες δὲ ξὺν τοῖς δόρασιν ἐμάχοντο, ἀλλὰ τῷ,
τε πλήθει πολὺ ἐλαττούμενοι μακεδόνες,
ἐκακοπάθουν ἐν τῇ πρώτῃ προσβολῇ· καὶ
αὐτοὶ ἐξ ἀβεβαίου τε καὶ ἅμα κάτωθεν ἐκ
τοῦ ποταμοῦ ἀμυνόμενοι. οἱ δὲ πέρσαι, ἐξ
ὑπερδεξίου τῆς ὄχθης, ἄλλως τε καὶ τὸ κρά- ὑπερδεξίῳ
τιστον τῆς περσικῆς ἵππου ταύτῃ ἐπετέτα-
κτο, οἵ τε μέμνονος παῖδες, καὶ αὐτὸς μέμ-
νων μετὰ τούτων ἐκινδύνευον. καὶ οἱ μὲν
πρῶτοι τῶν μακεδόνων ξυμμίξαντες τοῖς
πέρσαις, κατεκόπησαν πρὸς αὐτῶν, ἄν-
δρες ἀγαθοὶ γενόμενοι, ὅσοι γε μὴ πρὸς
ἀλέξανδρον πελάζοντα ἀπέκλιναν αὐ-
τῶν· ἀλέξανδρος γὰρ ἤδη πλησίον ἦν, ἅμα
οἱ ἄγων τὸ κέρας τὸ δεξιόν· καὶ ἐμβάλλει ἐς
τοὺς πέρσας πρῶτος, ἵνα τὸ πᾶν στῖφος τῆς
ἵππου, καὶ αὐτοὶ οἱ ἡγεμόνες τῶν περσῶν
τεταγμένοι ἦσαν· καὶ περὶ αὐτὸν ξυνειστή-
κει μάχη καρτερά, καὶ ἐν τούτῳ ἄλλαι ἐπ'
ἄλλαις τάξεων τοῖς μακεδόσι διέβαινον οὐ
χαλεπῶς ἤδη· καὶ ἦν μὲν ἀπὸ τῶν ἵππων
ἡ μάχη, πεζομαχίᾳ δὲ μᾶλλόν τι ἐῴκει. ξυ-
νεχό-

γρ. ὅσοι αὐτῶν



νεχόμενοι γὰρ ἵπποι τε ἵπποις, καὶ ἄνδρες
ἀνδράσιν, ἠγωνίζοντο, οἱ μὲν ἐξῶσαι εἰσά-
παν ἀπὸ τῆς ὄχθης, καὶ ἐς τὸ πεδίον βιάσα-
σθαι τοὺς πέρσας οἱ μακεδόνες. οἱ δὲ εἶρξαί
τε αὐτῶν τὴν ἔκβασιν οἱ πέρσαι, καὶ ἐς τὸν
ποταμὸν αὖθις ἀπώσασθαι· καὶ ἐκ τούτου
ἐπλεονέκτουν ἤδη οἱ σὺν ἀλεξάνδρῳ, τῇ τε
ἄλλῃ ῥώμῃ, καὶ ἐμπειρίᾳ, καὶ ὅτι ξυστοῖς κρα-
νείνοις πρὸς παλτὰ ἐμάχοντο· ἔνθα δὲ καὶ
ἀλεξάνδρῳ ξυντρίβεται τὸ δόρυ ἐν τῇ μά-
χῃ, ὁ δὲ, ἀρέτην ᾔτει δόρυ ἕτερον ἀναβολέα τῶν γρ. τὸν βασι-
βασιλικῶν· τῷ δὲ καὶ αὐτῷ πονουμένῳ συν- λικόν.
τετριμμένον τὸ δόρυ ἦν· ὁ δὲ τῷ ἡμίσει κε-
κλασμένου τοῦ δόρατος οὐκ ἀφανῶς ἐμάχε-
το, καὶ τοῦτο δείξας ἀλεξάνδρῳ, ἄλλον αἰτεῖν
ἐκέλευε. δημάρατος δὲ ἀνὴρ κορίνθιος τῶν
ἀμφ' αὐτὸν ἑταίρων, δίδωσιν αὐτῷ τὸ αὑτοῦ
δόρυ. καὶ ὃς ἀναλαβὼν, καὶ ἰδὼν μιθριδά-
την τὸν δαρείου γαμβρὸν πολὺ πρὸ τῶν ἄλ-
λων προϊππεύοντα, ἅμα οἱ ὥσπερ ἔμβο-
λον τῶν ἱππέων ἐξελαύνει, καὶ αὐτὸς πρὸ
τῶν ἄλλων, καὶ παίσας ἐς τὸ πρόσωπον τῷ
δόρατι, καταβάλλει τὸν μιθριδάτην· ἐν δὲ
τούτῳ,

∴ Suidas. ἀναβολεύς. ὁ
ἀνάγων ἐπὶ τὸν ἵππον

φύτῳ, ῥοισάκης μὲν ἐπελαύνει τῷ ἀλεξάν-
δρῳ, καὶ παίει ἀλεξάνδρου τὴν κεφαλὴν τῇ
κοπίδι, καὶ τοῦ μὲν κράνους τι ἀπέθραυσε,
τὴν πληγὴν δὲ ἔσχε τὸ κράνος· καὶ κατα-
βάλλει καὶ τοῦτον ἀλέξανδρος, παίσας τῷ
ξυστῷ διὰ τοῦ θώρακος ἐς τὸ στέρνον· μιθρι-
δάτης δὲ ἀνετέτατο μὲν ἤδη ἐπ' ἀλέξαν-
δρον ὄπισθεν τὴν κοπίδα· ὑποφθάσας δὲ
αὐτὸν κλεῖτος ὁ δρωπίδου παίει κατὰ τοῦ
ὤμου, καὶ ἀποκόπτει τὸν ὦμον τοῦ μιθριδά-
του ξὺν τῇ κοπίδι· καὶ ἐν τούτῳ ἐπεκβαίνον-
τες ἀεὶ τῶν ἱππέων ὅσοις προὐχώρει κατὰ τὸν
ποταμὸν, προσεγίγνοντο τοῖς ἀμφ' ἀλέξαν-
δρον· καὶ οἱ πέρσαι παιόμενοί τε παντα-
χόθεν ἤδη ἐς τὰ πρόσωπα αὐτοί τε καὶ ἵπ-
ποι τοῖς ξυστοῖς, καὶ πρὸς τῶν ἱππέων ἐξω-
θούμενοι, πολλὰ δὲ καὶ πρὸς τῶν ψιλῶν ἀ-
ναμεμιγμένων τοῖς ἱππεῦσι βλαπτόμενοι,
ἐγκλίνουσι ταύτῃ πρῶτον, ᾗ ἀλέξανδρος
προεκινδύνευεν. ὡς δὲ τὸ μέσον ἐνδεδώ-
κει αὐτοῖς, παρερρήγνυτο δὴ καὶ τὰ ἐφ' ἑκά-
τερα τῆς ἵππου, καὶ ἦν δὴ φυγὴ καρτερά·
τῶν μὲν δὴ ἱππέων τῶν περσῶν, ἀπέθα-
νον



νον ἐς χιλίους. οὐ γὰρ πολλὴ ἡ δίωξις ἐγένε-
το, ὅτι ἐξετράπη ἀλέξανδρος ἐπὶ τοὺς ξέ-
νους τοὺς μισθοφόρους, ὧν τὸ στῖφος, ᾗ τὸ πρῶ-
τον ἐτάχθη, ἐκπλήξει μᾶλλόν τι τοῦ παρα-
λόγου, ἢ λογισμῷ βεβαίῳ ἔμενε. καὶ τού-
τοις τήν τε φάλαγγα ἐπαγαγὼν, καὶ τοὺς
ἱππέας πάντῃ προσπεσεῖν κελεύσας ἐν μέ-
σῳ, δι' ὀλίγου κατακόπτει αὐτούς· ὥστε διέ-
φυγε μὲν οὐδείς, ὅτι μὴ διέλαθέ τις ἐν τοῖς
νεκροῖς, ἐζωγρήθησαν δὲ ἀμφὶ τοὺς δισχιλί-
ους, ἔπεσον δὲ καὶ οἱ ἡγεμόνες τῶν περ-
σῶν, νιφάτης τε καὶ πετήνης, καὶ μιθρι-
δάτης ὁ λυδίας σατράπης, καὶ ὁ τῶν καπ-
παδοκῶν ὕπαρχος μιθροβουζάνης καὶ μι-
θριδάτης ὁ τοῦ δαρείου γαμβρὸς, καὶ ἀρ-
βουπάλης ὁ δαρείου τοῦ ἀρταξέρξου παῖς,
καὶ φαρνάκης, ἀδελφὸς οὗτος τῆς δαρείου
γυναικὸς, καὶ ὁ τῶν ξένων ἡγεμὼν ὠμάρης·
ἀρσίτης δὲ ἐκ μὲν τῆς μάχης φεύγει ἐς φρυ-
γίαν, ἐκεῖ δὲ ἀποθνήσκει αὐτὸς πρὸς αὐτοῦ
ὡς ὁ λόγος, ὅτι αἴτιος ἔδοξε πέρσαις γε-
νέσθαι τοῦ ἐν τῷ τότε πταίσματος· μακεδό-
νων δὲ τῶν μὲν ἑταίρων ἀμφὶ τοὺς εἴκοσι καὶ
b πέντε

πεσόντες τῇ πρώτῃ προσβολῇ ἀπέθανον· καὶ τούτων χαλκαῖ εἰκόνες ἐν δίῳ ἑστᾶσιν, ἀλεξάνδρου κελεύσαντος λύσιππον ποιῆσαι, ὅσπερ καὶ ἀλέξανδρον μόνος προκριθεὶς ἐποίει, τῶν δὲ ἄλλων ἱππέων, ὑπὲρ τοὺς ἑξήκοντα, πεζοὶ δὲ ἐς τοὺς τριάκοντα· καὶ τούτους τῇ ὑστεραίᾳ ἔθαψεν ἀλέξανδρος, ξὺν τοῖς ὅπλοις τε καὶ ἄλλῳ κόσμῳ· γονεῦσι δὲ αὐτῶν καὶ παισὶ, τῶν τε κατὰ τὴν χώραν ἀτέλειαν ἔδωκε, καὶ ὅσαι ἄλλαι ἢ τῷ σώματι λειτουργίαι, ἢ κατὰ τὰς κτήσεις ἑκάστων εἰσφοραὶ, καὶ τῶν τετρωμένων δὲ πολλὴν πρόνοιαν ἔσχεν, ἐπελθών τε αὐτὸς ἑκάστους καὶ τὰ τραύματα ἰδὼν, καὶ ὅπως τις ἐτρώθη ἐρόμενος, καὶ ὅτι πράττων, εἰπεῖν τε καὶ ἀλαζονεύσασθαί οἱ παρασχών· ὁ δὲ, καὶ τῶν περσῶν τοὺς ἡγεμόνας ἔθαψεν. ἔνθα δὲ καὶ τοὺς μισθοφόρους ἕλληνας, οἳ ξὺν τοῖς πολεμίοις στρατεύοντες ἀπέθανον· ὅσους δὲ αὐτῶν αἰχμαλώτους ἔλαβε, τούτους δὲ δήσας ἐν πέδαις, ἐς μακεδονίαν ἔπεμψεν ἐργάζεσθαι, ὅτι παρὰ τὰ κοινῇ δόξαντα τοῖς ἕλλησιν, ἕλληνες ὄντες, ἐναντία τῇ ἑλλάδι





ὑπὲρ τῶν βαρβάρων ἐμάχοντο· ἀποπέμπει δὲ καὶ εἰς ἀθήνας τριακοσίας πανοπλίας περσικὰς, ἀνάθημα εἶναι τῇ ἀθηνᾷ ἐν τῇ πόλει, καὶ ἐπίγραμμα ἐπιγραφῆναι ἐκέλευσε τόδε. ἀλέξανδρος φιλίππου καὶ οἱ ἕλληνες, πλὴν λακεδαιμονίων ἀπὸ τῶν βαρβάρων τῶν τὴν ἀσίαν κατοικούντων, καταστήσας δὲ κάλαν σατραπεύειν ἧς ἀρσίτης ἦρχε, καὶ τοὺς φόρους τοὺς αὐτοὺς ἀποφέρειν τάξας, οὕσπερ δαρείῳ ἔφερον· ὅσοι μὲν τῶν βαρβάρων κατιόντες ἐκ τῶν ὀρῶν, ἐνεχείριζον σφᾶς, τούτους μὲν ἀπαλλάττεσθαι ἐπὶ τὰ αὐτῶν ἑκάστους ἐκέλευε, ζελείτας δὲ ἀφῆκε τῆς αἰτίας, ὅτι πρὸς βίαν ἔγνω συστρατεῦσαι τοῖς βαρβάροις, δασκύλιον δὲ παραληψόμενον παρμενίωνα ἐκπέμπει· καὶ παραλαμβάνει δασκύλιον παρμενίων, ἐκλιπόντων τῶν φρουρῶν, αὐτὸς δὲ ἐπὶ σάρδεων προὐχώρει, καὶ ἀπέχοντος αὐτοῦ ὅσον ἑβδομήκοντα σταδίους σάρδεων, ἧκον παρ' αὐτὸν, μιθρήνης τε ὁ φρούραρχος τῆς ἀκροπόλεως τῆς ἐν σάρδεσι, καὶ σαρδιανῶν οἱ δυνατώτατοι, ἐνδιδόντες οἱ μὲν τὴν

πόλιν, ὁ δὲ μιθρήνης, τὴν ἄκραν, καὶ τὰ χρήματα. ἀλέξανδρος δὲ αὐτὸς μὲν κατεστρατοπέδευσεν ἐπὶ τοῦ ἕρμου ποταμοῦ. ἀπέχει δὲ ὁ ἕρμος ἀπὸ σάρδεων, σταδίους εἴκοσιν· ἀμύνταν δὲ τὸν ἀνδρομένους τὴν ἄκραν παραληψόμενον ἐκπέμπει ἐς σάρδεις, καὶ μιθρήνην μὲν ἐν τιμῇ ἅμα οἱ ἦγε, σαρδιανοὺς δὲ καὶ τοὺς ἄλλους λυδοὺς, τοῖς νόμοις τε τοῖς πάλαι λυδῶν χρῆσθαι ἔδωκε, καὶ ἐλευθέρους εἶναι ἀφῆκεν· ἀνῆλθε δὲ αὐτὸς εἰς τὴν ἄκραν, ἵνα τὸ φρούριον ἦν τῶν περσῶν· καὶ ἔδοξεν αὐτῷ ὀχυρὸν τὸ χωρίον· ὑπερύψηλόν τε γὰρ ἦν, καὶ ἀπότομον πάντη, καὶ τριπλῷ τείχει πεφραγμένον· αὐτὸς δὲ ἐπὶ τῇ ἄκρᾳ ναόν τε οἰκοδομῆσαι διὸς ὀλυμπίου ἐπενόει, καὶ βωμὸν ἱδρύσασθαι· σκοποῦντι δὲ αὐτῷ τῆς ἄκρας ὅπερ ἐπιτηδειότατον χωρίον, ὥρα ἔτους ἐξαίφνης χειμὼν ἐπιγίγνεται, καὶ βρονταὶ σκληραὶ, καὶ ὕδωρ ἐξ οὐρανοῦ πίπτει οὗ τὰ τῶν λυδῶν βασίλεια· καὶ ἐντεῦθεν ἀλεξάνδρῳ ἔδοξεν ἐκ θεοῦ σημανθῆναι, ἵνα χρὴ οἰκοδομεῖσθαι τῷ διὶ τὸν νεὼν, καὶ οὕτως ἐκέλευσε·



λευσε· κατέλιπε δὲ τῆς μὲν ἄκρας τῶν σάρδεων ἐπιμελητὴν, παυσανίαν τὸν ἑταῖρον· τῶν δὲ φόρων τῆς συντάξεώς τε καὶ ἀποφορᾶς, νικίαν· ἄσανδρον δὲ τὸν φιλώτου, λυδίας καὶ τῆς ἄλλης τῆς μιθριδάτου ἀρχῆς, δοὺς αὐτῷ ἱππέας τε καὶ ψιλοὺς, ὅσοι ἱκανοὶ πρὸς τὰ παρόντα ἐδόκουν· κάλαν δὲ καὶ ἀλέξανδρον τὸν ἀερόπου, ἐπὶ τὴν χώραν τὴν μέμνονος ἐκπέμπει, ἄγοντας τούς τε πελοποννησίους, καὶ τῶν ἄλλων ξυμμάχων τοὺς πολλοὺς, πλὴν ἀργείων. οὗτοι δὲ ἐν σάρδεσι κατελείφθησαν τὴν ἄκραν φυλάττειν· ἐν τούτῳ δὲ, ὡς τὰ ὑπὲρ τῆς ἱππομαχίας ἐξηγγέλθη, οἵ τε τὴν ἔφεσον φρουροῦντες μισθοφόροι ᾤχοντο φεύγοντες, δύο τριήρεις τῶν ἐφεσίων λαβόντες, καὶ ξὺν αὐτοῖς ἀμύντας ὁ ἀντιόχου, ὃς ἔφυγεν ἐκ μακεδονίας ἀλέξανδρον. παθὼν μὲν οὐδὲν πρὸς ἀλεξάνδρου, δυσνοίᾳ δὲ τῇ πρὸς ἀλέξανδρον, καὶ αὐτὸς ἀπαξιώσας τι παθεῖν πρὸς αὐτοῦ ἄχαρι. τετάρτῃ δὲ ἡμέρᾳ ἐς ἔφεσον ἀφικόμενος, τούς τε φυγάδας, ὅσοι δι' αὐτὸν ἐξέπεσον τῆς πόλεως, κατήγαγε· καὶ

τὴν ὀλιγαρχίαν καταλύσας, δημοκρατίαν κατέστησε· τοὺς δὲ φόρους, ὅσους τοῖς βαρβάροις ἀπέφερον, τῇ ἀρτέμιδι ξυντελεῖν ἐκέλευσεν. ὁ δὲ δῆμος ὁ τῶν ἐφεσίων, ὡς ἀφῃρέθη αὐτοῖς ὁ ἀπὸ τῶν ὀλίγων φόβος, τούς τε μέμνονα ἐπαγομένους, καὶ τοὺς τὸ ἱερὸν συλήσαντας τῆς ἀρτέμιδος, καὶ τοὺς τὴν εἰκόνα τὴν φιλίππου τὴν ἐν τῷ ἱερῷ καταβαλόντας, καὶ τὸν τάφον ἐκ τῆς ἀγορᾶς ἀνορύξαντας τὸν ἡροπύθου τοῦ ἐλευθερώσαντος τὴν πόλιν, ὥρμησαν ἀποκτεῖναι· καὶ σύρφακα μὲν, καὶ τὸν παῖδα αὐτοῦ πελάγοντα, καὶ τοὺς τῶν ἀδελφῶν τοῦ σύρφακος παῖδας ἐκ τοῦ ἱεροῦ ἐξαγαγόντες, κατέλευσαν· τοὺς δὲ ἄλλους διεκώλυσεν ἀλέξανδρος προσωτέρω ἐπιζητεῖν καὶ τιμωρεῖσθαι, γνοὺς ὅτι ὁμοῦ τοῖς αἰτίοις, καὶ οὐ ξὺν δίκῃ τινὰς, τοὺς μὲν, κατ' ἔχθραν, τοὺς δὲ κατὰ ἁρπαγὴν χρημάτων ἀποκτενεῖ ξυγχωρηθὲν αὐτῷ ὁ δῆμος, καὶ εἰ δή τῳ ἄλλῳ, καὶ τοῖς ἐν ἐφέσῳ πραχθεῖσιν, ἀλέξανδρος ἐν τῷ τότε εὐδοκίμει. ἐν τούτῳ δὲ ἐκ μαγνησίας τε, καὶ τραλλέων, παρ' αὐτὸν ἧκον, ἐνδι-





δόντες τὰς πόλεις· καὶ ὃς πέμπει παρμενίωνα δοὺς αὐτῷ δισχιλίους καὶ πεντακοσίους πεζοὺς τῶν ξένων, καὶ μακεδόνας παραπλησίους, ἱππέας δὲ τῶν ἑταίρων, ἐς διακοσίους· ἀλκίμαχον δὲ τὸν ἀγαθοκλέους, ἐπὶ τὰς αἰολίδας τε πόλεις ξὺν δυνάμει οὐκ ἐλάττονι ἐξέπεμψε, καὶ ὅσαι ἰωνικαὶ ὑπὸ τοῖς βαρβάροις ἔτι ἦσαν· καὶ τὰς μὲν ὀλιγαρχίας πανταχοῦ καταλύειν ἐκέλευσε, δημοκρατίας δὲ ἐγκαθιστάναι, καὶ τοὺς νόμους τοὺς σφῶν ἑκάστοις ἀποδοῦναι· καὶ τοὺς φόρους ἀνεῖναι, ὅσους τοῖς βαρβάροις ἀπέφερον, αὐτὸς δὲ ἐπιμένων ἐν ἐφέσῳ, θυσίαν τε ἔθυσε τῇ ἀρτέμιδι, καὶ πομπὴν ἔπεμψε ξὺν τῇ στρατιᾷ πάσῃ ὡπλισμένῃ τε, καὶ ὡς ἐς μάχην ξυντεταγμένῃ. τῇ δὲ ὑστεραίᾳ ἀναλαβὼν τῶν τε πεζῶν τοὺς λοιποὺς, καὶ τοὺς τοξότας, καὶ τοὺς ἀγριᾶνας, καὶ τοὺς θρᾷκας ἱππέας, καὶ τῶν ἑταίρων τήν τε βασιλικὴν ἴλην, καὶ πρὸς ταύτῃ τρεῖς ἄλλας, ἐπὶ μιλήτου ἐστέλλετο, καὶ τὴν μὲν ἔξω καλουμένην πόλιν ἐξ ἐφόδου ἔλαβεν, ἐκλιπούσης τῆς φυλακῆς· ἐνταῦθα δὲ καταστρατοπε-

δελάσας, ἔγνω ἀποτειχίζειν τὴν εἰσῶ πόλιν. ἡγησίστρατος γὰρ ὅτῳ ἡ φρουρὰ ἡ μιλησίων ἐκ βασιλέως ἐπετέτραπτο, πρόσθεν γράμματα παρ' ἀλέξανδρον ἔπεμπεν, ἐνδιδοὺς τὴν μίλητον· τότε δὲ ἀναθαρρήσας ἐπὶ τῷ περσῶν στρατῷ οὐ μακρὰν ὄντι, διασώζειν τοῖς πέρσαις ἐπενόει τὴν πόλιν. νικάνωρ δὲ τὸ ἑλληνικὸν ναυτικὸν ἄγων, ὑποφθάνει τοὺς πέρσας, τρισὶν ἡμέραις πρότερος καταπλεύσας, ἢ τοὺς πέρσας μιλήτῳ προσχεῖν, καὶ ὁρμίζεται ναυσὶν ἑξήκοντα καὶ ἑκατὸν ἐν τῇ νήσῳ τῇ λάδῃ. κεῖται δὲ αὕτη ἐπὶ τῇ μιλήτῳ. αἱ δὲ τῶν περσῶν νῆες ὑστερήσασαι, ἐπειδὴ ἔμαθον οἱ ναύαρχοι τοὺς ἀμφὶ νικάνορα τὴν ἐν τῇ λάδῃ προκαταγωγήν, πρὸς τῇ μυκάλῃ τῷ ὄρει ὡρμίσθησαν· τὴν γὰρ λάδην τὴν νῆσον προκατειλήφει ἀλέξανδρος, οὐ τῶν νεῶν μόνον τῇ ἐγκαθορμίσει, ἀλλὰ καὶ τοὺς θρᾷκας, καὶ τῶν ἄλλων ξένων ἐς τετρακισχιλίους διαβιβάσας ἐς αὐτήν. ἦσαν δὲ τῶν βαρβάρων αἱ νῆες, ἀμφὶ τὰς τετρακοσίας· παρμενίων μὲν δὴ καὶ ὣς παρῄνει ἀλεξάνδρῳ ναυμαχεῖν, τά

Lada insula

τε

ἀλλὰ κρατήσειν τῷ ναυτικῷ τοὺς ἕλληνας ἐπελπίζων, καί τι καὶ θεῖον ἀνέπειθεν αὐτόν, ὅτι ἀετὸς ὤφθη καθήμενος ἐπὶ τοῦ αἰγιαλοῦ κατὰ πρύμναν τῶν ἀλεξάνδρου νεῶν· καὶ δὴ νικήσαντος μὲν, μεγάλα ὠφεληθήσεσθαι ἐς τὰ ἄλλα, νικηθεῖσι δέ, οὐ παρὰ μέγα ἔσεσθαι τὸ πταῖσμα· καὶ ὣς γὰρ θαλασσοκρατεῖν τοὺς πέρσας, καὶ αὐτὸς δὲ ἔφη ἐπιβῆναι ἐθέλειν τῶν νεῶν καὶ τοῦ κινδύνου μετέχειν. ἀλέξανδρος δὲ τῇ τε γνώμῃ ἁμαρτάνειν ἔφη παρμενίωνα, καὶ τοῦ σημείου τῇ οὐ κατὰ τὸ εἰκὸς ξυμβλήσει· ὀλίγαις τε γὰρ ναυσὶ πρὸς πολλῷ πλείους, ξὺν οὐδενὶ λογισμῷ ναυμαχήσειν· καὶ οὐ μεμελετηκότι τῷ σφῶν ναυτικῷ προήσκημένον τὸ τῶν κυπρίων τε, καὶ φοινίκων, τήν τε ἐμπειρίαν τῶν μακεδόνων, καὶ τὴν τόλμαν, ἐν ἀβεβαίῳ χωρίῳ οὐκ ἐθέλειν παραδοῦναι τοῖς βαρβάροις, καὶ ἡττηθεῖσι τῇ ναυμαχίᾳ, οὐ μικρὰν τὴν βλάβην ἔσεσθαι, ἐς τοῦ πολέμου τὴν πρώτην δόξαν· τά τε ἄλλα, καὶ τοὺς ἕλληνας νεωτεριεῖν πρὸ τοῦ ναυτικοῦ πταίσματος τὴν ἐπαγγελίαν ἐπαρθέντας.

ἴσ. πρὸς ἠσκημένον

∴ πρὸς

θέντας. ταῦτα μὲν τῷ λογισμῷ ξυνθεὶς, οὐκ ἐν καιρῷ ἀπέφαινε ναυμαχεῖν· τὸ θεῖον δὲ αὐτὸς ἄλλῃ ἐξηγεῖσθαι. εἶναι μὲν γὰρ πρὸς αὐτῷ τὸν ἀετὸν, ἀλλ' ὅτι ἐπὶ γῆς καθήμενος ἐφαίνετο, δοκεῖν οἱ μᾶλλόν τι σημαίνειν, ὅτι ἐκ τῆς γῆς κρατήσει τοῦ περσῶν ναυτικοῦ. καὶ ἐν τούτῳ γλαύκιππος ἀνὴρ τῶν δοκίμων ἐν μιλήτῳ ἐκπεμφθεὶς παρὰ ἀλέξανδρον παρὰ τοῦ δήμου τε καὶ τῶν ξένων τῶν μισθοφόρων, οἷς μᾶλλόν τι ἐπιτέτραπτο ἡ πόλις, τάτε τείχη ἔφη ἐθέλειν τοὺς μιλησίους καὶ τοὺς λιμένας παρέχειν κοινοὺς ἀλεξάνδρῳ, καὶ πέρσαις· καὶ τὴν πολιορκίαν ἐπὶ τούτοις λύειν ἠξίου. ἀλέξανδρος δὲ, γλαυκίππῳ μὲν προστάσσει ἀπαλλάττεσθαι κατὰ τάχος εἰς τὴν πόλιν, καὶ μιλησίοις ἀπαγγέλλειν παρασκευάζεσθαι, ὡς μαχουμένους ἕωθεν. αὐτὸς δὲ ἐπιστήσας τῷ τείχει μηχανὰς, καὶ τὰ μὲν καταβαλὼν δι' ὀλίγου τῶν τειχῶν, τὰ δὲ κατασείσας ἐπὶ πολὺ, προσῆγε τὴν στρατιὰν, ὡς ἐπιβησομένους, ᾗ κατερήριπτο, ἢ ἐσεσάλευτο τὸ τεῖχος, ἐφομαρτούντων καὶ μονονοὺ θεωμένων τῶν περσῶν ἀπὸ τῆς

μυκάλης,



μυκάλης, πολιορκουμένους τοὺς φίλους σφῶν καὶ ξυμμάχους. ἐν τούτῳ δὲ καὶ οἱ ἀμφὶ νικάνορα ἀπὸ τῆς λάδης τὴν ὁρμὴν τῶν ξὺν ἀλεξάνδρῳ κατιδόντες, ἐς τὸν λιμένα ἐπέπλεον τῶν μιλησίων, παρὰ γῆν τὴν εἰρεσίαν ποιούμενοι· καὶ κατὰ τὸ στόμα τοῦ λιμένος, ἧπερ τὸ στενώτατον ἦν, ἀντιπρώρους βύζην τὰς τριήρεις ὁρμίσαντες, ἀποκεκλείκεσαν, τῷ μὲν περσικῷ ναυτικῷ τὸν λιμένα, τοῖς μιλησίοις δὲ τὴν ἐκ τῶν περσῶν ὠφέλειαν. ἔνθα οἱ μιλήσιοί τε, καὶ οἱ μισθοφόροι πανταχόθεν ἤδη προσκειμένων σφίσι τῶν μακεδόνων, οἱ μὲν αὐτῶν ῥιπτοῦντες σφᾶς ἐς τὴν θάλασσαν ἐπὶ τῶν ἀσπίδων ὑπτίων, ἐς νησίδα τινὰ ἀνώνυμον τῇ πόλει ἐπικειμένην διενήχοντο, οἱ δὲ ἐς κελήτια ἐμβαίνοντες, ἐπειγόμενοι ὑποφθάσαι τὰς τριήρεις τῶν μακεδόνων, ἐγκατελήφθησαν ἐν τῷ στόματι τοῦ λιμένος πρὸς τῶν τριήρων· οἱ δὲ πολλοὶ ἐν αὐτῇ τῇ πόλει ἀπώλοντο. ἀλέξανδρος δὲ ἐχομένης ἤδη τῆς πόλεως, ἐπὶ τοὺς ἐς τὴν νῆσον καταπεφευγότας ἐπέπλει αὐτὸς, καὶ βαθρας φέρειν ἐπὶ τὰς

πρώρας

βύζην
πυκνῶς

βάκας

.: ℞. hesychi. βα
κοα. βάθρα

πρῴρας τῶν τριήρων κελεύσας, ὡς κατὰ τὰ ἀπόρρωγα τῆς νήσου, καθάπερ πρὸς τεῖχος ἐκ τῶν νεῶν τὴν ἀπόβασιν ποιησόμενος. ὡς δὲ διακινδυνεύειν ἐθέλοντας τοὺς ἐν τῇ νήσῳ ἑώρα, οἶκτος λαμβάνει αὐτὸν τῶν ἀνδρῶν, ὅτι γενναῖοί τε, καὶ πιστοὶ αὐτῷ ἐφαίνοντο· καὶ σπένδεται πρὸς αὐτοὺς ἐπὶ τοῖσδε, ὡς αὐτῷ ξυστρατεύειν. ἦσαν δὲ οὗτοι μισθοφόροι ἕλληνες ἐς τριακοσίους. αὐτοὺς δὲ μιλησίους, ὅσοι μὴ ἐν τῇ καταλήψει τῆς πόλεως ἔπεσον, ἀφῆκε, καὶ ἐλευθέρους εἶναι ἔδωκεν. οἱ δὲ βάρβαροι ἀπὸ τῆς μυκάλης ὁρμώμενοι, ταῖς μὲν ἡμέραις ἐπέπλεον τῷ ἑλληνικῷ ναυτικῷ, προκαλεῖσθαι ἐς ναυμαχίαν ἐλπίζοντες, τὰς δὲ νύκτας, πρὸς τῇ μυκάλῃ οὐκ ἐν καλῷ ὡρμίζοντο, ὅτι ὑδρεύεσθαι ἀπὸ τοῦ μαιάνδρου ποταμοῦ τῶν εἰσβολῶν διὰ μακροῦ ἠναγκάζοντο. ἀλέξανδρος δὲ, ταῖς μὲν ναυσὶ τὸν λιμένα ἐφύλαττε τῶν μιλησίων, ὡς μὴ βιάσαιντο οἱ βάρβαροι τὸν ἔσπλουν· ἐκπέμπει δὲ ἐς τὴν μυκάλην φιλώταν, ἄγοντα τούς τε ἱππέας, καὶ τῶν πεζῶν τάξεις τρεῖς, παραγγείλας εἴργειν τῆς ἀποβάσεως

βάσεως



βάσεως αὐτούς. οἱ δὲ ὕδατός τε σπάνει, καὶ τῶν ἄλλων ἐπιτηδείων, οὐδὲν ἄλλο ὅτι μὴ πολιορκούμενοι ἐν ταῖς ναυσίν, ἐς σάμον ἀπέπλευσαν· ἐκεῖθεν δὲ ἐπισιτισάμενοι, αὖθις ἐπέπλεον τῇ μιλήτῳ, καὶ τὰς μὲν πολλὰς τῶν νεῶν, πρὸ τοῦ λιμένος ἐν μετεώρῳ παρέταξαν, ὅπη ἐκκαλέσαιντο ἐς τὸ πέλαγος τοὺς μακεδόνας· πέντε δὲ αὐτῶν εἰσέπλευσαν εἰς τὸν μεταξὺ τῆς τε ἄλλης νήσου, καὶ τοῦ στρατοπέδου λιμένα, ἐλπίζοντες κενὰς καταλήψεσθαι τὰς ἀλεξάνδρου ναῦς· ὅτι τοὺς ναύτας ἀποσκεδάννυσθαι ἐπὶ πολὺ ἀπὸ τῶν νεῶν, τοὺς μὲν ἐπὶ φρυγανισμῷ, τοὺς δὲ ἐπὶ ξυγκομιδῇ τῶν ἐπιτηδείων, τοὺς δὲ καὶ εἰς προνομὰς τεταγμένους πεπυσμένοι ἦσαν, ἀλλὰ μέρος μέν τι ἀπῆν τῶν ναυτῶν· ἐκ δὲ τῶν παρόντων ξυμπληρώσας ἀλέξανδρος δέκα ναῦς, ὡς προσπλεούσας τὰς πέντε τῶν περσῶν κατεῖδε, πέμπει ἐπ᾽ αὐτὰς κατὰ σπουδὴν ἐμβάλλειν ἀντιπρῴρους κελεύσας. οἱ δὲ ἐν ταῖς πέντε ναυσὶ τῶν περσῶν, ὡς παρ᾽ ἐλπίδα ἀναγομένους τοὺς μακεδόνας ἐπὶ σφᾶς εἶ-

δον,

δευ, ὑποστρέψαντες ἐκ πολλοῦ ἔφυγον πρὸς τὸ ἄλλο ναυτικόν· καὶ ἡ μὲν ἰασσέων ναῦς ἁλίσκεται αὐτοῖς ἀνδράσιν ἐν τῇ φυγῇ, οὐ ταχυναυτοῦσα, αἱ δὲ τέσσαρες ἔφθασαν καταφυγεῖν εἰς τὰς οἰκείας τριήρεις. οὕτω μὲν δὴ ἀπέπλευσαν ἄπρακτοι ἐκ μιλήτου οἱ πέρσαι. ἀλέξανδρος δὲ καταλῦσαι ἔγνω τὸ ναυτικὸν χρημάτων τε ἐν τῷ τότε ἀπορίᾳ, καὶ ἅμα οὐκ ἀξιόμαχον ὁρῶν τὸ αὑτοῦ ναυτικὸν τῷ περσικῷ, οὔκουν οὐδὲ θέλων μέρει τινὶ τῆς στρατιᾶς κινδυνεύειν· ἄλλως τε ἐπενόει κατέχων ἤδη τῷ πεζῷ τὴν ἀσίαν, ὅτι οὔτε ναυτικοῦ ἔτι δέοιτο, τάς τε παραλίους πόλεις λαβὼν, καταλύσει τὸ περσῶν ναυτικόν, οὔτε ὁπόθεν τὰς ὑπηρεσίας συμπληρώσουσιν, οὔτε ὅποι τῆς ἀσίας προσέξουσιν ἔχοντας· καὶ τὸν αἰετὸν ταύτῃ συνέβαλλεν, ὅτι ἐσήμαινεν αὐτῷ ἐκ τῆς γῆς κρατήσειν τῶν νεῶν. ταῦτα δὲ διαπραξάμενος, ἐπὶ καρίας ἐστέλλετο, ὅτι ἐν ἁλικαρνασσῷ συνεστηκέναι οὐ φαύλην δύναμιν τῶν τε καὶ βαρβάρων καὶ ξένων ἐξηγγέλλετο, ὅσαι δὲ ἐν μέσῳ πόλεις μιλήτου

τε καὶ



τε καὶ ἁλικαρνασσοῦ, ταύτας ἐξ ἐφόδου λαβὼν, κατεστρατοπέδευε πρὸς ἁλικαρνασσῷ, ἀπέχων τῆς πόλεως ἐς πέντε μάλιστα σταδίους, ὡς ἐπὶ χρονίῳ πολιορκίᾳ. ἥ τε γὰρ φύσις τοῦ χωρίου ὀχυρὸν ἐποίει αὐτό, καὶ ὅπῃ τι ἐνδεῖν ὡς πρὸς ἀσφάλειαν ἐφαίνετο, ξύμπαντα ταῦτα μέμνων τε αὐτὸς παρὼν ἤδη, ἀποδεδειγμένος πρὸς δαρείου τῆς τε κάτω ἀσίας, καὶ τοῦ ναυτικοῦ παντὸς ἡγεμών, ἐκ πολλοῦ παρεσκευάκει. καὶ στρατιῶται πολλοὶ μὲν ξένοι ἐν τῇ πόλει ἐγκατελείφθησαν· πολλοὶ δὲ καὶ περσῶν αὐτῶν· αἵ τε τριήρεις ἐφώρμουν τῷ λιμένι, ὡς καὶ ἀπὸ τῶν ναυτῶν πολλὴν ὠφέλειαν γίγνεσθαι ἐς τὰ ἔργα. τῇ μὲν δὴ πρώτῃ ἡμέρᾳ προσάγοντος ἀλεξάνδρου τῷ τείχει, κατὰ τὰς ἐπὶ μύλασσα φερούσας πύλας, ἐκδρομή τε γίγνεται ἐκ τῆς πόλεως καὶ ἀκροβολισμός· καὶ τούτους οὐ χαλεπῶς ἀνέστειλάν τε οἱ παρ' ἀλεξάνδρου ἀντεκδραμόντες, καὶ ἐς τὴν πόλιν κατέκλεισαν. οὐ πολλαῖς δὲ ὕστερον ἡμέραις, ἀλέξανδρος ἀναλαβὼν τούς τε ὑπασπιστὰς, καὶ τὴν τῶν ἑταίρων ἵππον, καὶ τὴν ἀμύντου τε

καὶ

∴ καί τι · in co · fer



καὶ περδίκκου καὶ μελεάγρου τάξιν τὴν πεζικὴν, καὶ πρὸς τούτοις τοὺς τοξότας καὶ τοὺς ἀγριᾶνας, περιῆλθε τῆς πόλεως, ἐς τὸ πρὸς μύνδον μέρος, τό τε τεῖχος κατοψόμενος, εἰ ταύτῃ ἐπιμαχώτερον τυγχάνει ὂν ἐς τὴν προσβολὴν, καὶ ἅμα εἰ τὴν μύνδον ἐξ ἐπιδρομῆς δύναιτο λαθὼν κατασχεῖν. ἔσεσθαι γὰρ οὐ σμικρὰν τὴν ὠφέλειαν, ἐς τὴν τῆς ἁλικαρνασσοῦ πολιορκίαν τὴν μύνδον οἰκείαν γενομένην, καί τι ἐνεδίδοτο αὐτῷ ἐκ τῶν μυνδίων, εἰ λάθοι νυκτὸς προσελθών. αὐτὸς μὲν δὴ κατὰ τὰ συγκείμενα ἀμφὶ μέσας νύκτας, προσῆλθε τῷ τείχει. ὡς δὲ οὐδὲν ἐνεδίδοτο ἀπὸ τῶν ἔνδον, αἵ τε μηχαναὶ, καὶ αἱ κλίμακες αὐτῷ, οὐ παρῆσαν, οἷα δὴ οὐκ ἐπὶ πολιορκίαν σταλέντι, ἀλλ' ὡς ἐπὶ προδοσίᾳ ἐνδιδομένης τῆς πόλεως, προσήγαγε, καὶ ὡς τῶν μακεδόνων τὴν φάλαγγα ὑπορύττειν κελεύσας τὸ τεῖχος. καὶ ἕνα γε πύργον κατέβαλον οἱ μακεδόνες, οὐ μέντοι ἐγύμνωσέ γε τὸ τεῖχος πεσὸν, καὶ οἱ ἐκ τῆς πόλεως ἅμα εὐρώστως ἀμυνόμενοι, καὶ ἐκ τῆς ἁλικαρνασσοῦ ἤδη κατὰ θάλασ-

σαν

/. πεσὸν . ut referatur ad πύργον



σαν πολλοὶ παραβεβοηθηκότες, ἄπορον ἐποίησαν τῷ ἀλεξάνδρῳ, τὴν αὐτοσχέδιόν τε, καὶ ἐξ ἐπιδρομῆς κατάληψιν τῆς μύνδου. οὕτω μὲν δὴ ἐπανέρχεται ἀλέξανδρος οὐδὲν πράξας, ὧν ἕνεκα ὡρμήθη, καὶ τῇ πολιορκίᾳ τῆς ἁλικαρνασσοῦ, αὖθις προσεῖχε. καὶ τὰ πρῶτα μὲν τὴν τάφρον ἣ πρὸ τῆς πόλεως ὀρώρυκτο αὐτοῖς, πλάτος μὲν τριάκοντα μάλιστα πήχεων, τὸ δὲ βάθος ἐς πεντεκαίδεκα, ἐχώννυε τοῦ ῥᾳδίαν εἶναι τὴν προσαγωγὴν τῶν τε πύργων, ἀφ' ὧν ἔμελλε τοὺς ἀκροβολισμοὺς ἐς τοὺς προμαχομένους τοῦ τείχους ποιεῖσθαι, καὶ τῶν ἄλλων μηχανῶν αἷς κατασείειν ἐπενόει τὸ τεῖχος. καὶ ἥ τε τάφρος αὐτῷ ἐχώσθη οὐ χαλεπῶς, καὶ οἱ πύργοι προσήγοντο ἤδη. οἱ δὲ ἐκ τῆς ἁλικαρνασσοῦ νυκτὸς ἐκδραμόντες, ὡς ἐμπρῆσαι τούς τε πύργους, καὶ ὅσαι ἄλλαι μηχαναὶ προσηγμέναι, ἢ οὐ πόρρω τοῦ προσάγεσθαι ἦσαν, ὑπὸ τῶν φυλάκων τε τῶν μακεδόνων, καὶ ὅσοι ἐν αὐτῷ τῷ ἔργῳ ἐξεγερθέντες παρεβοήθησαν, οὐ χαλεπῶς κατεκλείσθησαν ἐς τὰ τείχη αὖθις. καὶ ἀπέθα-

c νον

νου αὐτῶν, ἄλλοι τε ὡς ἑβδομήκοντα καὶ ἑκατόν, καὶ νεοπτόλεμος ὁ ἀρραβαίου τοῦ ἀμύντου ἀδελφός, τῶν παρὰ δαρεῖον αὐτομολησάντων· τῶν δὲ ἀλεξάνδρου στρατιωτῶν, ἀπέθανον μὲν, ὡς ἑκκαίδεκα. τραυματίαι δὲ ἐγένοντο ὡς τριακόσιοι. ὅτι ἐν νυκτὶ γενομένης τῆς ἐκδρομῆς, ἀφυλακτότεροι ὡς τὸ τιτρώσκεσθαι ἦσαν. οὐ πολλαῖς δὲ ἡμέραις ὕστερον δύο τῶν μακεδόνων ὁπλῖται ἐκ τῆς ὕστερον περδίκκου τάξεως ξυσκηνοῦντες καὶ ἅμα ξυμπίνοντες, αὐτόν τε καὶ τὰ αὐτοῦ ἑκάτερος ἐπὶ μεγάλῳ τῷ λόγῳ ἦγεν. ἔνθα δὴ φιλοτιμία τε ὡς ἐμπίπτει αὐτοῖς, καί τι καὶ ὁ οἶνος ὑπεθέρμαινεν, ὥστε ὁπλισάμενοι αὐτοὶ ἐπὶ σφῶν, προσβάλλουσι τῷ τείχει κατὰ τὴν ἄκραν τὴν πρὸς μύλασα μάλιστα τετραμμένην, ὡς ἐπίδειξιν τῆς σφῶν ῥώμης, μᾶλλόν τι ἢ πρὸς πολεμίους μετὰ κινδύνου τὸν ἀγῶνα ποιησάμενοι, καὶ τούτους κατιδόντες τινὲς τῶν ἐκ τῆς πόλεως δύο τε ὄντας, καὶ οὐ ξὺν λογισμῷ προσφερομένους τῷ τείχει ἐπεκθέουσιν. οἱ δὲ τοὺς μὲν ἐγγὺς πελάσαντας ἀπέκτειναν· πρὸς δὲ

τοὺς



τοὺς ἀφεστηκότας ἠκροβολίζοντο, πλεονεκτούμενοι τῷ τε πλήθει καὶ τοῦ χωρίου τῇ χαλεπότητι, ὅτι ἐξ ὑπερδεξίου τοῖς πολεμίοις ἡ ἐπιδρομή τε καὶ ὁ ἀκροβολισμὸς ἐγίγνετο, καὶ ἐν τούτῳ ἀντεκθέουσί τινες καὶ ἄλλοι τῶν τοῦ περδίκκου στρατιωτῶν, καὶ ἀπὸ τῆς ἁλικαρνασσοῦ ἄλλοι. καὶ ξυμπίπτει μάχη καρτερὰ πρὸς τῷ τείχει, καὶ κατακλείονται αὖθις πρὸς τῶν μακεδόνων εἴσω τῶν πυλῶν οἱ ἐπεκδραμόντες. παρ' ὀλίγον δὲ ἦλθε καὶ ἁλῶναι ἡ πόλις· τά τε γὰρ τείχη ἐν τῷ τότε, οὐκ ἐν ἀκριβεῖ φυλακῇ ἦν, καὶ δύο πύργοι καὶ μεσοπύργιον ἐς ἔδαφος καταπεπτωκότες, οὐ χαλεπὴν ἂν τῷ στρατεύματι εἰ ἅπαντος προσήψαντο τοῦ ἔργου, τὴν ὡς ἐπὶ τὸ τεῖχος πάροδον παρέσχε, καὶ ὁ τρίτος πύργος κατασεσεισμένος, οὐδὲ οὗτος χαλεπῶς ἂν ἐξερρίφη ὑπορυσσόμενος, ἀλλὰ ἔφθασαν γὰρ ἀντὶ τοῦ πεπτωκότος τείχους, ἔσωθεν πλίνθινον μηνοειδὲς ἀντοικοδομησάμενοι, οὐ χαλεπῶς ἀπὸ πολυχειρίας· καὶ τούτῳ ἐπῆγε τῇ ὑστεραίᾳ τὰς μηχανὰς ἀλέξανδρος, καὶ ἐκδρομὴ αὖθις γίνεται

e 2 τῶν

τῶν ἐκ τῆς πόλεως, ὡς τῷ ἐμπρῆσαι τὰς μηχανάς. καὶ μέρος μέν τι πλησίον τοῦ τείχους γέρρων, καὶ εἷς τῶν πύργων τῶν ξυλίνων κατεκαύθη· τὰ δὲ ἄλλα διεφύλαξαν οἱ περὶ Φιλώταν τε καὶ ἑλλάνικον, οἷς ἡ φυλακὴ αὐτῶν ἐπετέτραπτο. ὡς δὲ καὶ ἀλέξανδρος ἐπεφάνη ἐν τῇ ἐκδρομῇ, τάς τε δᾷδας ὅσας ἔχοντες ἐκβεβοηθήκεσαν ἀφέντες, καὶ τὰ ὅπλα οἱ πολλοὶ αὐτῶν ῥίψαντες, εἴσω τοῦ τείχους ἔφυγον. καί τοι τά γε πρῶτα τῇ φύσει τε τοῦ χωρίου ὑπερδεξίου ὄντος, ἐπεκράτουν, καὶ οὐ κατὰ μέτωπον μόνον ἠκροβολίζοντο ἐς τοὺς προμαχομένους τῶν μηχανῶν, ἀλλὰ καὶ ἐκ τῶν πύργων, οἱ δὴ ἑκατέρωθεν τοῦ ἐρηρειμμένου τείχους αὐτοὶ ὑπολελειμμένοι ἐκ πλαγίου τε καὶ μόνον οὐ κατὰ νώτου, παρεῖχον ἀκροβολίζεσθαι ἐς τοὺς τῷ ἀντῳκοδομημένῳ τείχει προσάγοντας.

Οὐ πολλαῖς δὲ ὕστερον ἡμέραις ἐπάγοντος αὖθις ἀλεξάνδρου τὰς μηχανὰς τῷ πλινθίνῳ τῷ ἐντὸς τείχει καὶ αὐτῷ ἐφεστηκότος τῷ ἔργῳ, ἐκδρομὴ γίνεται πανδημεὶ ἐκ τῆς πόλεως τῶν μὲν κατὰ τὸ ἐρηρειμμένον τεῖ-

χος,



χος, ᾗ αὐτὸς ἀλέξανδρος ἐπιτέτακτο. τῶν δὲ κατὰ τὸ τρίπυλον, ᾗ οὐδὲ πάνυ τι προσδεχομένοις τοῖς μακεδόσιν ἦν· καὶ οἱ μὲν δᾷδάς τε ταῖς μηχαναῖς ἐνέβαλλον, καὶ ὅσα ἄλλα ἐς τὸ ἐξάψαι τε φλόγα καὶ ὡς μέγα προκαλέσασθαι· τῶν δὲ ἀμφ' ἀλέξανδρον αὐτῶν τε ἐμβαλόντων ἐς αὐτοὺς ἐρρωμένως, καὶ ταῖς μηχαναῖς ἀπὸ τῶν πύργων, λίθων τε μεγάλων ἀφιεμένων, καὶ βελῶν ἐξακοντιζομένων, οὐ χαλεπῶς ἀπεστράφησάν τε καὶ ἔφυγον ἐς τὴν πόλιν, καὶ φόνος ταύτῃ οὐκ ὀλίγος ἐγένετο, ὅσῳ πλείονές τε καὶ ξὺν μείζονι τῇ τόλμῃ ἐξέδραμον· οἱ μὲν γὰρ εἰς χεῖρας ἐλθόντες τοῖς μακεδόσιν, ἀπέθανον· οἱ δὲ, ἀμφὶ τῷ τείχει τῷ καταπεπτωκότι, στενοτέρας τε ἢ κατὰ τὸ πλῆθος αὐτῶν τῆς παρόδου οὔσης, καὶ τῶν κατερηριμμένων τοῦ τείχους, χαλεπὴν τὴν ὑπέρβασιν αὐτοῖς παρεχόντων· τοῖς δὲ, κατὰ τὸ τρίπυλον ἐκδραμοῦσιν ἀπήντα πτολεμαῖος ὁ σωματοφύλαξ ὁ βασιλικός. τήν τε ἀδδαίου καὶ τιμάνδρου ἅμα οἱ τάξιν ἄγων· καὶ ἔστιν οὓς τῶν ψιλῶν, καὶ οὗτοι οὐδὲ αὐτοὶ χαλεπῶς ἐτρέ-

 ψαντο,

ψαντο τοὺς ἐκ τῆς πόλεως. ξυνέβη δὲ καὶ τούτοις ἐν τῇ ἀποχωρήσει κατὰ στενὴν γέφυραν τὴν ἐπὶ τῆς τάφρου πεποιημένην φεύγουσι, τήν τε γέφυραν αὐτὴν ὑπὸ πλήθους ξυντρῖψαι, καὶ πολλοὺς αὐτῶν ἐς τὴν τάφρον ἐμπεσόντας, τοὺς μὲν ὑπὸ σφῶν καταπατηθέντας, διαφθαρῆναι· τοὺς δὲ, καὶ ἄνωθεν ὑπὸ τῶν μακεδόνων βαλλομένους. ὁ πλεῖστος δὲ φόνος περὶ ταῖς πύλαις αὐταῖς ξυνέβη· ὅτι ἡ σύγκλεισις τῶν πυλῶν, φοβερά τε, καὶ πρὸ τοῦ καιροῦ γενομένη, δεισάντων μὴ συνεισπέσοιεν τοῖς φεύγουσιν αὐτῶν ἐχόμενοι οἱ μακεδόνες, πολλοὺς καὶ τῶν φίλων τῆς ἐσόδου ἀπέκλεισαν, οὓς πρὸς αὐτοῖς τείχεσιν οἱ μακεδόνες διέφθειραν. καὶ παρ' ὀλίγον ἦλθεν ἁλῶναι ἡ πόλις, εἰ μὴ ἀλέξανδρος ἀνεκαλέσατο τὸ στράτευμα, ἔτι διασῶσαι ἐθέλων τὴν ἁλικαρνασσόν, εἴ τι φίλιον ἐνδοθείη ἐκ τῶν ἁλικαρνασσέων. ἀπέθανον δὲ τῶν μὲν ἐκ τῆς πόλεως, ἐς χιλίους, τῶν δὲ ξὺν ἀλεξάνδρῳ, ἀμφὶ τοὺς τεσσαράκοντα, καὶ ἐν τούτοις πτολεμαῖός τε ὁ σωματοφύλαξ, καὶ κλέαρχος ὁ τοξάρχης,

ἄρχης, καὶ ἀδδαῖος χιλιάρχης. οὗτος καὶ ἄλλοι τῶν οὐκ ἠμελημένων μακεδόνων. ἔνθα δὴ ξυνελθόντες οἱ ἡγεμόνες τῶν περσῶν, ὀροντοβάτης τε, καὶ μέμνων, καὶ ἐκ τῶν παρόντων γνόντες, σφᾶς τε οὐ δυναμένους ἐπὶ πολὺ ἀντέχειν τῇ πολιορκίᾳ, καὶ τοῦ τείχους, τὸ μέν τι καταπεπτωκὸς ἤδη ὁρῶντες, τὸ δὲ κατασεσεισμένον, πολλοὺς δὲ τῶν στρατιωτῶν ἐν ταῖς ἐκδρομαῖς, τοὺς μὲν διεφθαρμένους, τοὺς δὲ, καὶ ὑπὸ τοῦ τετρῶσθαι ἀπομάχους ὄντας, ταῦτα ἐν νῷ λαβόντες, ἀμφὶ δευτέραν φυλακὴν τῆς νυκτὸς, τόν τε ξύλινον πύργον ὃν αὐτοὶ ἀντῳκοδόμησαν ταῖς μηχαναῖς τῶν πολεμίων ἐμπιπρᾶσι, καὶ τὰς στοὰς ἐν αἷς τὰ βέλη αὐτοῖς ἀπέκειτο. ἐνέβαλλον δὲ καὶ ταῖς οἰκίαις πῦρ ταῖς πλησίον τοῦ τείχους. τῶν δὲ, καὶ προσῆψεν ἡ φλὸξ, ἀπό τε τῶν στοῶν τοῦ πύργου πολλὴ ἐπενεχθεῖσα, καί τι καὶ τοῦ ἀνέμου ταύτῃ ἐπιφέροντος· αὐτῶν δὲ οἱ μὲν, ἐς τὴν ἄκραν τὴν ἐν τῇ νήσῳ ἀπεχώρησαν, οἱ δὲ ἐς τὴν σαλμακίδα ἄκραν οὕτω καλουμένην. ἀλεξάνδρῳ δὲ ὡς ἐξηγγέλθη ταῦτα πρός τινων αὐτομολησάντων, ἐκ

τοῦ ἔργου, καὶ τὸ πῦρ πολὺ καθεώρα αὐτός, καίτοι ἀμφὶ μέσας που νύκτας ἦν τὸ γιγνόμενον. ὁ δὲ, καὶ ὡς ἐξαγαγὼν τοὺς μακεδόνας, τοὺς μὲν ἔτι ἐμπιπρῶντας τὴν πόλιν ἔκτεινεν, ὅσοι δὲ ἐν ταῖς οἰκίαις καταλαμβάνοιντο τῶν ἁλικαρνασέων, τούτους δὲ σώζειν παρήγγειλεν. ἤδη τε ἕως ὑπέφαινε, καὶ κατιδὼν τὰς ἄκρας, ἃς οἵ τε πέρσαι, καὶ οἱ μισθοφόροι κατειλήφασι, ταύτας μὲν ἀπέγνω πολιορκεῖν, τριβήν τε ἐπινοῶν οὐκ ὀλίγην ἔσεσθαί οἱ ἀμφ' αὐτὰς τῇ φύσει τῶν χωρίων, καὶ οὐ παρὰ μέγα εἶναι ἐξελόντι οἱ τὴν πόλιν ἤδη πᾶσαν. θάψας δὲ τοὺς ἀποθανόντας ἐν τῇ νυκτὶ, τὰς μὲν μηχανὰς ἐς τράλλεις ἀπαγαγεῖν ἐκέλευσε τοὺς ἐπ' αὐταῖς τεταγμένους, αὐτὸς δὲ τὴν πόλιν ἐς ἔδαφος κατασκάψας, αὐτῆς τε ταύτης, καὶ τῆς ἄλλης καρίας φυλακὴν ἐγκαταλιπὼν ξένους μὲν πεζοὺς, τρισχιλίους, ἱππέας δὲ ἐς διακοσίους καὶ πτολεμαῖον ἡγεμόνα αὐτῶν, ὡς ἐπὶ φρυγίας ἐστέλλετο. τῆς δὲ καρίας ξυμπάσης σατραπεύειν ἔταξεν ἄδαν, θυγατέρα μὲν ἑκατόμνω, γυναῖκα δὲ ἰδρι-

έως,



έως, ὃς καὶ ἀδελφὸς αὐτῇ ὢν, κατὰ νόμον τῶν καρῶν ξυνῴκει. καὶ ὁ μὲν ἰδριεὺς τελευτῶν, ταύτῃ ἐπέτρεψε τὰ πράγματα. νενομισμένου ἐν τῇ ἀσίᾳ, ἔτι ἀπὸ σεμιράμεως, καὶ γυναῖκας ἄρχειν ἀνδρῶν. πιξώδαρος δὲ, τὴν μὲν ἐκβάλλει τῆς ἀρχῆς, αὐτὸς δὲ κατεῖχε τὰ πράγματα. ὀροντοβάτης δὲ τὴν καρῶν ἀρχὴν ἐκ βασιλέως πεμφθεὶς εἶχε, γαμβρὸς ὢν πιξωδάρου. ἄδα δὲ ἄλινδα μόνον κατεῖχε χωρίον τῆς καρίας ἐν τοῖς ὀχυρώτατον, καὶ ἐσβαλόντι ἀλεξάνδρῳ, ἐς καρίαν ἀπήντα, τά τε ἄλινδα ἐνδιδοῦσα, καὶ παῖδα οἱ τιθεμένη ἀλέξανδρον. καὶ ἀλέξανδρος τά τε ἄλινδα αὐτῇ ἐπέτρεψε, καὶ τὸ ὄνομα τοῦ παιδὸς οὐκ ἀπηξίωσε. καὶ ἐπειδὴ ἁλικαρνασσόν τε ἐξεῖλε καὶ τῆς ἄλλης καρίας ἐπεκράτησεν, αὐτῇ ἄρχειν ἁπάσης ἔδωκε. τῶν μακεδόνων δὲ τῶν συστρατευομένων ἀλεξάνδρῳ, ἦσαν οἳ νεωστὶ πρὸ τῆς στρατιᾶς γεγαμηκότες, καὶ τούτων ἔγνω οὐκ ἀμελητέα εἶναι ὁ ἀλέξανδρος, ἀλλ' ἐκπέμπει γὰρ αὐτοὺς ἐκ καρίας, διαχειμάσοντας ἐν μακεδονίᾳ ἅμα ταῖς γυναιξὶν,

ἐπι-

ἐπιτάξας αὐτοῖς πτολεμαῖον τὸν σελεύκου
ἕνα τῶν σωματοφυλάκων τῶν βασιλικῶν,
καὶ τὸν στρατηγὸν κοῖνόν τε τὸν πολεμοκρά-
τους, καὶ μελέαγρον τὸν νεοπτολέμου, ὅτι καὶ
αὐτοὶ τῶν νεογάμων ἦσαν, προστάξας. ἐπει-
δὰν αὐτοί τε ἐπανίωσι, καὶ τοὺς μετ' αὐτῶν
ἐκπεμφθέντας ἐπαναγάγωσι, καταλέ-
ξαι ἱππέας τε καὶ πεζοὺς ἐκ τῆς χώρας ὅ-
σους πλείστους, καὶ ἐπὶ τῷ ἔργῳ τούτῳ εἴπερ τι-
νὶ ἄλλῳ εὐδοκίμησε παρὰ μακεδόσιν ἀλέ-
ξανδρος. ἔπεμψε δὲ καὶ κλέανδρον τὸν πο-
λεμοκράτους ἐπὶ ξυλλογῇ στρατιωτῶν εἰς
πελοπόννησον. παρμενίωνα δὲ πέμπει ἐπὶ
σάρδεων, δοὺς αὐτῷ τῶν τε ἑταίρων ἱππαρ-
χίαν, καὶ τοὺς θετταλοὺς ἱππέας καὶ τοὺς ἄλ-
λους ξυμμάχους, καὶ τὰς ἁμάξας ἄγειν,
καὶ κελεύει προϊέναι ἀπὸ σάρδεων ἐπὶ φρυ-
γίαν, αὐτὸς δὲ ἐπὶ λυκίας τε καὶ παμφυ-
λίας ᾔει, ὡς τῆς παραλίου κρατήσας, ἀχρεῖον
καταστῆσαι τοῖς πολεμίοις τὸ ναυτικόν. καὶ
πρῶτον μὲν ἐν παρόδῳ ὕπαρνα χωρίον ὀ-
χυρὸν φυλακὴν ἔχον ξένους μισθοφόρους, ἐξ
ἐφόδου ἔλαβεν. οἱ δ' ἐκ τῆς ἄκρας ξένοι
ὑπό-

Curtij Ini-
tium



ὑπόσπονδοι ἐξῆλθον. ἔπειτα ἐμβαλὼν ἐς
λυκίαν, τελμισεῖς μὲν ὁμολογίᾳ προσηγά-
γετο· περάσας δὲ τὸν ξάνθον ποταμὸν, πί-
ναρα, καὶ ξάνθον τὴν πόλιν, καὶ πάταρα
ἐνδοθέντα ἔλαβεν, καὶ ἄλλα ἐλάττω πολίσ-
ματα, ἐς τριάκοντα. ταῦτα καταπράξας
ἐν ἀκμῇ ἤδη τοῦ χειμῶνος, ἐς τὴν μυλιάδα
καλουμένην χώραν ἐσβάλλει, ἣ ἐστὶ μὲν τῆς
μεγάλης φρυγίας, ξυνετέλει δὲ ἐς τὴν λυ-
κίαν. τότε οὕτως ἐκ βασιλέως μεγάλου τε-
ταγμένον, καὶ ἐνταῦθα φασηλιτῶν πρέσ-
βεις ἧκον περὶ φιλίας τε καὶ χρυσῷ στεφάνῳ
στεφανῶσαι ἀλέξανδρον, καὶ ὑπὲρ τῶν αὐτῶν
ἐπικηρυκευόμενοι, ἐπρεσβεύοντο λυκίων τῶν
κάτω οἱ πολλοί. ἀλέξανδρος δὲ φασηλίτας
τε καὶ λυκίους παραδοῦναι τὰς πόλεις τοῖς
ἐπὶ τοῦτο στελλομένοις ἐκέλευσε, καὶ παρεδό-
θησαν ξύμπασαι. αὐτὸς δὲ ὀλίγον ὕστερον ἐς
τὴν φασηλίδα παραγενόμενος, συνεξαιρεῖ
αὐτοῖς φρούριον ὀχυρὸν ἐπιτετειχισμένον
τῇ χώρᾳ πρὸς πισιδῶν, ὅθεν ὁρμώμενοι οἱ
βάρβαροι, πολλὰ ἔβλαπτον τῶν φασηλιτῶν
τοὺς τὴν γῆν ἐργαζομένους. ἐπὶ δὲ αὐτῷ περὶ
τὴν

τὴν φασηλίδα ὄντι, ἐξαγγέλλεται ἀλέξανδρον αὐτῷ τὸν ἀερόπου ἐπιβουλεύειν, τά, τε ἄλλα τῶν ἑταίρων ὄντα, καὶ ἐν τῷ τότε θεσσαλῶν τῆς ἵππου ἄρχοντα. ἦν μὲν δὴ ὁ ἀλέξανδρος οὗτος, ἀδελφὸς ἡρομένους τε καὶ ἀρραβαίου, τῶν ξυνεπιλαβόντων τῆς σφαγῆς τῆς φιλίππου· καὶ τότε αἰτίαν σχόντα αὐτὸν, ἀλέξανδρος ἀφῆκεν, ὅτι ἐν πρώτοις τε ἀφίκετο τῶν φίλων παρ' αὐτὸν, ἐπειδὴ φίλιππος ἐτελεύτησε, καὶ τὸν θώρακα συνενδὺς, συνηκολούθησεν αὐτῷ ἐς τὰ βασίλεια· ὕστερον δὲ καὶ ἐν τιμῇ ἀμφ' αὐτὸν εἶχε, στρατηγόν τε ἐπὶ θρᾴκης στείλας. καὶ ἐπειδὴ κάλας ὁ τῶν θετταλῶν ἵππαρχος ἐπὶ σατραπείᾳ ἐξεπέμφθη, αὐτὸν ἀπέδειξεν ἄρχειν τῆς θεσσαλικῆς ἵππου, τὰ δὲ τῆς ἐπιβουλῆς ἐξηγγέλθη ὧδε. δαρεῖος ἐπειδὴ ἀμύντας αὐτομολήσας παρ' αὐτὸν, λόγους τέ τινας καὶ γράμματα παρὰ τοῦ ἀλεξάνδρου τούτου ἐκόμισε, καταπέμπει ἐπὶ θάλασσαν, ἀσισίνην ἄνδρα πέρσην, τῶν ἀμφ' αὐτῶν πιστὸν, πρόφασιν μὲν παρὰ ἀτιζύην τὸν φρυγίας σατράπην, τῇ



∴ γρ. αὐτὸν πιστὸν



δὲ ἀληθείᾳ τῷ ἀλεξάνδρῳ τούτῳ συνεσόμενον, καὶ πίστεις δώσοντα εἰ ἀποκτείνειε βασιλέα ἀλέξανδρον, αὐτὸν βασιλέα καταστήσειν τῆς μακεδονίας, καὶ χρυσίου τάλαντα πρὸς τῇ βασιλείᾳ ἐπιδώσειν χίλια. ὁ δὲ ἀσισίνης ἁλοὺς πρὸς παρμενίωνος τοῦτ' εἶπεν ἀνακρινόμενος, ὧν ἕνεκα ἀπεστάλη, καὶ τοῦτον αὐτίκα ἐν φυλακῇ πέμπει παρμενίων παρ' ἀλέξανδρον, καὶ πυνθάνεται ταῦτα παρ' αὐτοῦ ἀλέξανδρος. συναγαγὼν δὲ τοὺς φίλους βουλὴν προὐτίθει, ὅτι χρὴ ὑπὲρ ἀλεξάνδρου γνῶναι. καὶ ἐδόκει τοῖς ἑταίροις μήτε πάλαι εὖ βεβουλεῦσθαι τὸ κράτιστον τοῦ ἱππικοῦ ἀνδρὶ οὐ πιστῷ ἐπιτρέψας, νῦν τε χρῆναι αὐτὸν ἤδη ὡς τάχος ἐκποδὼν ποιεῖσθαι, πρὶν καὶ ἐπιτηδειότερον γενόμενον τοῖς θετταλοῖς, ξὺν αὐτοῖς τι νεωτερίσαι, καίτι καὶ θεῖον ἐφόβει αὐτός. ἔτι γὰρ πολιορκοῦντος αὐτοῦ ἀλεξάνδρου ἁλικαρνασσὸν, ἀναπαύεσθαι μὲν ἐν μεσημβρίᾳ· χελιδόνα δὲ πέτεσθαι ὑπὲρ κεφαλῆς τρύζουσαν μεγάλως καὶ τῆς εὐνῆς ἄλλῃ καὶ ἄλλῃ καθίζειν θορυβωδέστερον, ἢ κατὰ

τὸ εἰωθὸς ἄδουσαν· τὸν δὲ ἀπὸ καμάτου ἐγερ-
θῆναι μὲν ἀδυνάτως ἔχειν ἐκ τοῦ ὕπνου,
ἐνοχλούμενον δὲ πρὸς τῆς φωνῆς, τῇ χειρὶ οὐ
βαρέως ἀποσοβῆσαι τὴν χελιδόνα, τὴν δὲ
τοσούτου ἄρα δεῆσαι ἀποφυγεῖν πληγεῖ-
σαν, ὥς τε ἐπὶ τῆς κεφαλῆς τοῦ ἀλεξάν-
δρου καθημένην, μὴ πρόσθεν ἀνεῖναι, πρὶν
παντελῶς ἐξεγερθῆναι ἀλέξανδρον. καὶ
ἀλέξανδρος οὐ φαῦλον ποιησάμενος τὸ τῆς
χελιδόνος, ἀνεκοίνωσεν ἀριστάνδρῳ τῷ τελ-
μισσεῖ μάντει· ἀρίστανδρον δὲ ἐκ τῶν φί-
λων σημαίνεσθαι ἐπιβουλὴν αὐτῷ εἰπεῖν,
σημαίνεσθαι δὲ, καὶ ὅτι καταφανὴς ἔσται. τὴν
γὰρ χελιδόνα, σύντροφόν τε εἶναι ὄρνιθα,
καὶ εὔνουν ἀνθρώποις, καὶ λάλον μᾶλλον,
ἢ ἄλλην ὄρνιθα. ταῦτά τε οὖν καὶ τὰ ἀπὸ τοῦ
πέρσου ξυνθεὶς, πέμπει ὡς παρμενίωνα,
ἀμφοτερὸν τὸν ἀλεξάνδρου μὲν παῖδα, ἀ-
δελφὸν δὲ κρατεροῦ, καὶ ξυμπέμπει αὐ-
τῷ τῶν περγαίων τινὰς τὴν ὁδὸν ἡγησομέ-
νους. καὶ ὁ ἀμφοτερὸς στολὴν ἐνδὺς ἐπιχώ-
ριον, καὶ ὡς μὴ γνώριμος εἶναι κατὰ τὴν
ὁδὸν, λανθάνει ἀφικόμενος παρὰ παρμε

νίωνα.



νίωνα, καὶ γράμματα μὲν οὐ κομίζει πα-
ρὰ ἀλεξάνδρου. οὐ γὰρ ἔδοξε γράφειν ὑ-
πὲρ οὐδενὸς τοιούτου ἐς τὸ ἐμφανές· τὰ δὲ
ἀπὸ γλώσσης οἱ ἐντεταλμένα ἐξήγγειλε. καὶ
οὕτω ξυλλαμβάνεται ὁ ἀλέξανδρος οὗ-
τος, καὶ ἐν φυλακῇ ἦν. ἀλέξανδρος δὲ ἄ-
ρας ἐκ φασηλίδος, μέρος μέν τι τῆς στρα-
τιᾶς διὰ τῶν ὀρῶν πέμπει ἐπὶ πέργης, ᾗ ὡ-
δοποιήκεσαν αὐτῷ οἱ θρᾶκες, χαλεπὴν
ἄλλως καὶ οὐ μακρὰν οὖσαν τὴν πάροδον·
αὐτὸς δὲ παρὰ τὴν θάλασσαν διὰ τοῦ αἰ-
γιαλοῦ ἦγε τοὺς ἀμφ' αὐτόν. ἔστι δὲ ταύτῃ ἡ
ὁδὸς οὐκ ἄλλως, ὅτι μὴ τῶν ἀπ' ἄρκτου ἀνέ-
μων πνεόντων, εἰ δὲ νότοι κατέχοιεν, ἀπό-
ρως ἔχει διὰ τοῦ αἰγιαλοῦ ὁδοιπορεῖν. τότε
δ' ἐκ νότων σκληρῶν, βορέαι ἐπιπνεύσαντες
τοῦ (οὐκ ἄνευ τοῦ θείου ὡς αὐτός τε καὶ οἱ
ἀμφ' αὐτὸν ἐξηγοῦντο) εὐμαρῆ καὶ ταχεῖ-
αν τὴν πάροδον παρέσχον. ἐκ πέργης δὲ
ὡς προῄει, ἐντυγχάνουσιν αὐτῷ κατὰ τὴν
ὁδὸν πρέσβεις ἀσπενδίων αὐτοκράτορες,
τὴν μὲν πόλιν ἐνδιδόντες, φρουρὰν δὲ μὴ
εἰσάγειν δεόμενοι. καὶ περὶ μὲν τῆς φρουρᾶς

πρα-

πράξαντες, ἀπῆλθον ὅσα ἠξίουν. πεντήκοντα δὲ τάλαντα κελεύει τῇ στρατιᾷ δοῦναι αὐτοὺς ἐς μισθόν, καὶ τοὺς ἵππους οὓς δασμὸν βασιλεῖ ἔτρεφον. οἱ δὲ, ὑπέρ τε τοῦ ἀργυρίου καὶ τοὺς ἵππους παραδώσειν ξυνθέμενοι ἀπῆλθον. ἀλέξανδρος δὲ ἐπὶ σίδης ᾔει, εἰσὶ δὲ οἱ σιδῆται κυμαῖοι ἐκ κύμης τῆς αἰολίδος, καὶ οὗτοι λέγουσιν ὑπὲρ σφῶν τόνδε τὸν λόγον, ὅτι ὡς κατῆράν τε ἐς τὴν γῆν ἐκείνην οἱ πρῶτοι ἐκ κύμης σταλέντες, καὶ ἐπὶ οἰκισμῷ ἐξέβησαν, αὐτίκα τὴν μὲν ἑλλάδα γλῶσσαν ἐξελάθοντο, εὐθὺς δὲ βάρβαρον φωνὴν ἵεσαν, οὐδὲ τῶν προσχώρων βαρβάρων, ἀλλὰ ἰδίαν σφῶν, οὔπω πρόσθεν οὖσαν τὴν φωνήν, καὶ ἐκ τότε οὐ κατὰ τοὺς ἄλλους προσχώρους σιδῆται ἐβαρβάριζον. καταλιπὼν δὲ φρουρὰν ἐν σίδῃ, προῄει ἐπὶ σύλλιον, χωρίον ὀχυρὸν, καὶ φρουρὰν ἔχον ξένων μισθοφόρων, καὶ αὐτῶν τῶν ἐπιχωρίων βαρβάρων· ἀλλ' οὔτε τὸ σύλλιον ἐξ ἐφόδου αὐτοσχεδίου ἠδυνήθη λαβεῖν· ἔπειτα ἠγγέλθη αὐτῷ κατὰ τὴν ὁδὸν τοὺς ἀσπενδίους, ὅτι οὐδὲν τῶν συγκειμένων

πρᾶξαι



πρᾶξαι ἐθέλοιεν· ὅτι τοὺς ἵππους παραδοῦναι τοῖς πεμφθεῖσιν, ὅτι ἀπαριθμῆσαι τὰ χρήματα, καὶ τὰ ἐκ τῆς χώρας, ὅτι ἀνασκευασάμενοι ἐς τὴν πόλιν, τάς τε πύλας ἀποκεκλείκασι τοῖς παρ' ἀλεξάνδρου, καὶ τὰ τείχη ὅποι πεπονηκότα ἦν, ἐπισκευάζουσι. ταῦτα πυθόμενος ἐπὶ ἀσπένδου ἀνεζεύγνυεν· ᾤκισται δὲ τῆς ἀσπένδου τὰ μὲν πολλὰ, ἐπὶ ἄκρᾳ ὀχυρᾷ καὶ ἀποτόμῳ, καὶ παρ' αὐτὴν τὴν ἄκραν ὁ εὐρυμέδων ποταμὸς ῥεῖ. ἦσαν δὲ αὐτοῖς καὶ περὶ τῇ ἄκρᾳ ἐν τῷ χθαμαλῷ, οὐκ ὀλίγαι οἰκήσεις, καὶ τεῖχος περιεβέβλητο αὐταῖς οὐ μέγα. τὸ μὲν δὴ τεῖχος εὐθὺς ὡς προσάγοντα ἀλέξανδρον ἔγνωσαν, ἐκλείπουσιν ὅσοι ἐνῴκουν, καὶ τὰς οἰκίας ὅσας ἐν τῷ χθαμαλῷ ᾠκισμένας, οὐκ ἐδόκουν διαφυλάξαι ἂν δύνασθαι· αὐτοὶ δὲ ἐς τὴν ἄκραν ξυμφεύγουσιν. ἀλέξανδρος δὲ ὡς ἀφίκετο ξὺν τῇ δυνάμει, εἴσω τοῦ ἐρήμου τείχους παρελθὼν, κατεστρατοπέδευσεν ἐν ταῖς οἰκίαις ταῖς καταλελειμμέναις πρὸς τῶν ἀσπενδίων. οἱ δὲ ἀσπένδιοι, ὡς εἶδον αὐτόν τε ἀλέξανδρον



παρ'

παρ᾽ ἐλπίδα ἥκοντα, καὶ τὸ στρατόπεδον ἐν κύκλῳ σφῶν πάντη, πέμψαντες πρέσβεις, ἐδέοντο ἐφ᾽ οἷσπερ πρότερον ξυμβῆναι. καὶ ἀλέξανδρος τό, τε χωρίον ὀχυρὸν ἰδών, καὶ αὐτὸς οὐκ ἐπὶ χρόνιον πολιορκίαν παρεσκευασμένος, ἐπὶ τοῖς αὐτοῖς μὲν, οὐδὲ ὡς ξυνέβη πρὸς αὐτούς· ὁμήρους δὲ δοῦναι σφῶν τοὺς δυνατωτάτους ἐκέλευσε καὶ τοὺς ἵππους, οὓς πρόσθεν ὡμολόγησαν· καὶ ἑκατὸν τάλαντα, ἀντὶ τῶν πεντήκοντα, καὶ πείθεσθαι τῷ σατράπῃ τῷ ἀλεξάνδρου ταχθέντι· καὶ φόρους ἀποφέρειν ὅσα ἔτη μακεδόσι, καὶ ὑπὲρ τῆς χώρας διακριθῆναι ἣν προσχώρων τῶν ὄντων, βίᾳ κατέχειν ἐν αἰτίᾳ ἦσαν. ὡς δὲ πάντα οἱ ἐπεχώρησαν, ἀνέζευξεν ἐς πέργην, κἀκεῖθεν ἐπὶ φρυγίαν ὥρμητο. ἦν δὲ αὐτῷ ἡ πορεία, παρὰ τελμισσὸν πόλιν. οἱ δὲ ἄνθρωποι οὗτοι, τὸ μὲν γένος πισίδαι βάρβαροι, χωρίον δὲ οἰκοῦσιν ὑπέρυψηλον, καὶ πάντη ἀπότομον· καὶ ἡ ὁδὸς παρὰ τὴν πόλιν, χαλεπή. καθήκει γὰρ ἐκ τῆς πόλεως ὄρος ἔστε ἐπὶ τὴν ὁδόν, καὶ τοῦτο μὲν αὐτοῦ ἐν τῇ ὁδῷ ἀποπαύ-

ται·



ται· ἀντίπορον δὲ αὐτῷ ὄρος ἄλλον οὐδὲν οὐ μεῖον ἀπότομον, καὶ ταῦτα τὰ ὄρη ὥσπερ πύλας ποιεῖ ἐπὶ τῇ ὁδῷ, καὶ ἔστιν ὀλίγῃ φυλακῇ κατέχοντας τὰ ὄρη ταῦτα, ἄπορον ποιεῖν τὴν πάροδον· καὶ τότε οἱ τελμισσεῖς πανδημεὶ ἐκβεβοηθηκότες, ἀμφότερα τὰ ὄρη κατεῖχον. ταῦτα δὲ ἰδὼν ἀλέξανδρος, στρατοπεδεύεσθαι αὐτοῦ, ὅπως εἶχον ἐκέλευε τοὺς μακεδόνας, γνοὺς ὅτι οὐ μενοῦσι πανδημεὶ οἱ τελμισσεῖς, αὐλιζομένους σφᾶς ἰδόντες, ἀλλ᾽ ἀποχωρήσουσιν ἐς τὴν πόλιν πλησίον οὖσαν οἱ πολλοὶ αὐτῶν, ὅσον φυλακὴν καταλιπόντες ἐπὶ τοῖς ὄρεσι· καὶ ξυνέβη, ὅπως εἴκαζεν. οἱ μὲν γὰρ πολλοὶ αὐτῶν ἀπῆλθον, αἱ φυλακαὶ δὲ ἐγκατέμειναν· καὶ ἐπὶ τούτους εὐθὺς ἀναλαβὼν τούς τε τοξότας, καὶ τὰς τῶν ἀκοντιστῶν τάξεις, καὶ τῶν ὁπλιτῶν ὅσοι κουφότεροι ἐπήγαγεν, οἱ δὲ οὐκ ἔμειναν βαλλόμενοι, ἀλλὰ ἔλιπον τὸ χωρίον. ἀλέξανδρος δὲ ὑπερβαλὼν τὰ στενὰ, πρὸς τῇ πόλει κατεστρατοπέδευσε. καὶ ἐνταῦθα ἀφικνοῦνται παρ᾽ αὐτὸν σελγέων



πρέσ

∴ ἀπέγνω



πρέσβεις. οἱ δὲ εἰσὶ καὶ αὐτοὶ πισίδαι βάρ-
βαροι, καὶ πόλιν μεγάλην οἰκοῦσι, καὶ αὐ-
τοὶ μάχιμοί εἰσιν· ὅτι δὲ πολέμιοι τοῖς τελ-
μισσεῦσιν ἐκ παλαιοῦ ἐτύγχανον, ὑπὲρ φι-
λίας πρὸς ἀλέξανδρον πεπρεσβευμένοι
ἦσαν, καὶ πρὸς τούτους σπένδεται ἀλέξαν-
δρος, καὶ ἐκ τούτου πιστοῖς ἐς ἅπαντα ἐχρῆ-
το· τὴν τελμισσὸν δὲ ἐπέγνω ἑλεῖν ἂν ἐν
ὀλίγῳ χρόνῳ, ἀλλ' ἐπὶ σαλαγασσοῦ ἐστέλλετο.
ἦν δὲ καὶ αὕτη οὐ μικρὰ πόλις· πισίδαι καὶ
ταύτην ᾤκουν· καὶ ἐδόκουν πάντων πισι-
δῶν μαχίμων ὄντων, αὐτοὶ εἶναι οἱ μαχιμώ-
τατοι. καὶ τότε τὸν λόφον τὸν πρὸ τῆς πό-
λεως, ὅτι καὶ οὗτος οὐ μείων τοῦ τείχους ὀχυ-
ρὸς ἐς τὸ ἀπομάχεσθαι ἦν, κατειληφότες
προσέμενον. ἀλέξανδρος δὲ, τὴν μὲν φά-
λαγγα τῶν μακεδόνων τάττει ὧδε· ἐπὶ μὲν τοῦ
δεξιοῦ κέρως, ἵνα καὶ αὐτὸς ἐπετέτακτο, τοὺς
ὑπασπιστὰς εἶχεν· ἐχομένους δὲ τούτων τοὺς
πεζεταίρους, ἔς τε ἐπὶ τὸ εὐώνυμον παρα-
τείνας, ὡς ἑκάστοις τῶν στρατηγῶν ἡ ἡγεμο-
νία τῆς τάξεως ἐν τῇ τότε ἡμέρᾳ ἦν· ἐπὶ δὲ
τοῦ εὐωνύμου ἐπέταξεν ἡγεμόνα, ἀμύνταν
τὸν

~~sagata~~ Salagassos v. pisidas in codice scripto p duplex ss.

∴ π. ἐχομένως



τὸν ἀρραβαίου. προετάχθησαν δὲ αὐτῷ, τοῦ
μὲν δεξιοῦ κέρως, οἵ τε τοξόται, καὶ οἱ ἀγριᾶ-
νες· τοῦ δὲ εὐωνύμου, οἱ ἀκοντισταὶ οἱ θρᾷ-
κες, ὧν ἡγεῖτο σιτάλκης. οἱ γὰρ ἱππεῖς αὐ-
τῷ οὐκ ὠφέλιμοι ἐν τῇ δυσχωρίᾳ ἦσαν. τοῖς
πισίδαις δὲ καὶ τελμισσεῖς προσβεβοηθη-
κότες ξυνετάξαντο. ἤδη δὲ οἱ ἀμφ' ἀλέξαν-
δρον προσβεβληκότες τῷ ὄρει, ὅπερ κα-
τεῖχον οἱ πισίδαι, κατ' αὐτὸ τὸ ἀποτομώ-
τατον τῆς ἀνόδου ἦσαν. καὶ ἐν τούτῳ ἐπιτί-
θενται αὐτοῖς οἱ βάρβαροι λόχοις κατὰ κέ-
ρας ἑκάτερον, ᾗ σφίσι μὲν εὐπροσοδώτα-
τον ἦν, τοῖς πολεμίοις δὲ χαλεπωτάτη ἡ
πρόσβασις· καὶ τοὺς μὲν τοξότας, οἷα δὴ οὔ-
τε ἀκριβῶς ὡπλισμένους καὶ πρώτους πε-
λάσαντας ἐτρέψαντο· οἱ δὲ ἀγριᾶνες ἔμει-
ναν. ἐγγὺς γὰρ ἤδη καὶ ἡ φάλαγξ τῶν μακε-
δόνων προσῆγε, καὶ πρὸ αὐτῆς ἀλέξανδρος
ἐφαίνετο. ὡς δὲ ἐν χερσὶν ἡ μάχη ἐγένετο,
γυμνοί τε οἱ βάρβαροι ὄντες ὁπλίταις
προσεφέροντο, καὶ πάντῃ κατατιτρωσκό-
μενοι ἔπιπτον· ἐνταῦθα δὴ ἐγκλίνουσι, καὶ
ἀπέθανον μὲν αὐτῶν, ἐς πεντακοσίους.

κοῦφοι γὰρ ὄντες καὶ ἔμπειροι τῶν χωρίων, οὐ χαλεπῶς ἀπεχώρουν· καὶ οἱ μακεδόνες διὰ βαρύτητα τῶν ὅπλων, καὶ ἀπειρίαν τῶν ὁδῶν, οὐ θαρραλέοι ἐς τὸ διώκειν ἦσαν. ἀλέξανδρος δὲ ἐχόμενος τῶν φευγόντων, τὴν πόλιν αὐτῶν αἱρεῖ κατὰ κράτος. τῶν δὲ ξὺν αὐτῷ, κλέανδρός τε ὁ στρατηγὸς ἀποθνήσκει, καὶ τῶν ἄλλων ἀμφὶ τοὺς εἴκοσιν. ἀλέξανδρος δὲ ἐπὶ τοὺς ἄλλους πισιδίους ἦγε, καὶ τὰ μέν τινα τῶν φρουρίων βίᾳ ἐξεῖλε, τὰ δὲ ὁμολογίᾳ προσηγάγετο. ἐντεῦθεν δὲ ᾔει ἐπὶ φρυγίας παρὰ τὴν λίμνην, ᾗ ὄνομα ἀσκανία, ἐν ᾗ ἅλες πήγνυνται αὐτόματοι. καὶ τούτοις χρῶνται οἱ ἐπιχώριοι, οὐδὲ θαλάσσης τι ἐπὶ τούτῳ δέονται· καὶ ἀφικνεῖται ἐς κελαινὰς πεμπταῖος. ἐν δὲ ταῖς κελαιναῖς, ἄκρα ἦν πάντῃ ἀπότομος· καὶ ταύτην φυλακῇ κατεῖχον ἐκ τοῦ σατράπου τῆς φρυγίας, κᾶρες μὲν χίλιοι, ἕλληνες δὲ μισθοφόροι ἑκατόν· καὶ οὗτοι πρεσβεύονται παρ' ἀλέξανδρον, ἐπαγγελλόμενοι εἰ μὴ ἀφίκοιτο σφίσι βοήθεια ἐν ἡμέρᾳ ᾗ ξυνέκειτο, φράσαντες τὴν ἡμέραν, ὅτι

παρα



παραδώσουσι τὸ χωρίον· καὶ ἔδοξε ταῦτα ἀλεξάνδρῳ ὠφελιμώτατα, ἢ πολιορκεῖν. ἄπορον πάντῃ προσφέρεσθαι τὴν ἄκραν· πρὸς μὲν δὴ ταῖς κελαιναῖς φυλακὴν καταλείπει στρατιώτας ἐς χιλίους, καὶ πεντακοσίους, μείνας δὲ αὐτοῦ ἡμέρας δέκα, καὶ σατράπην ἀποδείξας φρυγίας ἀντίγονον τὸν φιλίππου, ἐπὶ δὲ τοὺς συμμάχους ἀντ' ἐκείνου στρατηγὸν βάλακρον τὸν ἀμύντου ἐπιτάξας, αὐτὸς ἐπὶ γορδίου ἐστέλλετο, καὶ παρμενίωνι ἐπέστειλεν ἄγοντα, ἅμα οἷ τὴν δύναμιν ἐκεῖσε ἀπαντᾶν· καὶ ἀπήντα ξὺν τῇ δυνάμει παρμενίων, καὶ οἱ νεόγαμοι οἱ ἐπὶ μακεδονίας σταλέντες, ἐς γόρδιον ἧκον, καὶ ξὺν αὐτοῖς ἄλλη στρατιὰ καταλεχθεῖσα, ἣν ἦγε πτολεμαῖός τε ὁ σελεύκου, καὶ κοῖνος ὁ πολεμοκράτους, καὶ μελέαγρος ὁ νεοπτολέμου, πεζοὶ μὲν μακεδόνες ἐς χιλίους, ἱππεῖς δὲ ἐς τριακοσίους, καὶ θεσσαλῶν ἱππεῖς διακόσιοι, ἠλείων δὲ ἑκατὸν καὶ πεντήκοντα, ὧν ἡγεῖτο ἀλκίας ὁ ἠλεῖος. τὸ δὲ γόρδιον, ἔστι μὲν τῆς φρυγίας τῆς ἐφ' ἑλλησπόντου, κεῖται δὲ ἐπὶ τοῦ σαγγαρίου ποταμοῦ·



τοῦ

τοῦ δὲ σαγγαρίου αἱ μὲν πηγαὶ, ἐκ φρυγίας εἰσίν· αὐτὸς δὲ διὰ τῆς τῶν θρακῶν τῶν βιθυνῶν χώρας ἐξίησιν εἰς τὸν εὔξεινον πόντον. ἐνταῦθα καὶ ἀθηναίων πρεσβεία παρ᾽ ἀλέξανδρον ἀφίκετο, δεόμενοι ἀλεξάνδρου ἀφεῖναι σφίσι τοὺς αἰχμαλώτους, οἱ ἐπὶ γρανικῷ ποταμῷ ἐλήφθησαν ἀθηναίων, ξυστρατευόμενοι τοῖς πέρσαις· καὶ τότε ἐν μακεδονίᾳ ξὺν τοῖς δισχιλίοις δεδεμένοι ἦσαν, καὶ ὑπὲρ αὐτῶν ἄπρακτοι ἐν τῷ τότε ἀπῆλθον. οὐ γὰρ ἐδόκει ἀσφαλὲς εἶναι ἀλεξάνδρῳ, ἔτι συνεστῶτος τοῦ πρὸς τὸν πέρσην πολέμου, ἀνεῖναί τι τοῦ φόβου τοῖς ἕλλησιν, ὅσοι ἐναντία τῇ ἑλλάδι στρατεύεσθαι ὑπὲρ τῶν βαρβάρων οὐκ ἀπηξίωσαν. ἀλλ᾽ ἀποκρίνεται, ἐπειδὰν τὰ παρόντα καλῶς γένηται, τότε ἥκειν ὑπὲρ τῶν αὐτῶν πρεσβευομένους.

# ΑΡΡΙΑΝΟΥ ΑΛΕΞΑΝΔΡΟΥ ΑΝΑΒΑΣΕΩΣ

## ΙΣΤΟΡΙΩΝ ΔΕΥΤΕΡΑ.

ΕΚ ΔΕ ΤΟΥΤΟΥ μέμνων τοῦ τε ναυτικοῦ παντὸς ἡγεμὼν ἐκ βασιλέως δαρείου καθεστηκὼς, καὶ τῆς παραλίου ξυμπάσης, ὡς ἐς μακεδονίαν τε καὶ τὴν ἑλλάδα ἀποστρέψων τὸν πόλεμον, χίον μὲν λαμβάνει, προδοσίᾳ ἐνδοθεῖσαν· ἔνθεν δὲ ἐπὶ λέσβου πλεύσας, ὡς οὐ προσεῖχον αὐτῷ μυτιληναῖοι, τὰς ἄλλας πόλεις τῆς λέσβου προσηγάγετο. ταύτας δὲ παραστησάμενος καὶ προσχὼν τῇ μυτιλήνῃ, τὴν μὲν πόλιν, χάρακι διπλῷ ἐκ θαλάσσης εἰς θάλασσαν ἀπετείχισε, στρατόπεδα δὲ πέντε ἐποικοδομησάμενος, τῆς γῆς ἐκράτει οὐ χαλεπῶς· καὶ μέρος μέν τι τῶν νεῶν, τὸν λιμένα αὐτῶν ἐφύλασσε, τὰς δὲ

δὲ ἐπὶ τὴν ἄκραν τῆς λέσβου τὸ σίγριον, ἵνα
ἡ προσβολὴ μάλιστα, ἐπὶ ταῖς ἀπό τε χίου
γεραιστοῦ καὶ μαλαίας ὁλκάσιν ἀποκλεί-
σας, τὸν παράπλουν ἐν φυλακῇ εἶχεν, ὡς μή
τινα ὠφέλειαν κατὰ θάλατταν γίγνεσθαι μι-
τυληναίοις· καὶ ἐν τούτῳ αὐτὸς μὲν νόσῳ
τελευτᾷ· καὶ εἴπερ τι ἄλλο καὶ τοῦτο ἐν τῷ
τότε ἔβλαψε τὰ βασιλέως πράγματα. αὐ-
τοφραδάτης δὲ καὶ φαρνάβαζος ὁ ἀρτα-
βάζου ὅτῳ καὶ ἐπέτρεψε τελευτῶν ὁ μέ-
μνων τὴν αὐτοῦ ἀρχὴν, ἔς τε δαρεῖον ὅτι
ὑπὲρ αὐτῆς γνῶναι ἀδελφιδῷ αὐτοῦ ὄν-
τι, ἔτοι τῇ πολιορκίᾳ οὐκ εὐρώστως προσέ-
κειντο· καὶ οἱ μιτυληναῖοι τῆς τε γῆς εἰργό-
μενοι, καὶ ἀπὸ θαλάττης πολλαῖς ναυσὶν
ἐφορμούσαις φρουρούμενοι, πέμψαντες πα-
ρὰ τὸν φαρνάβαζον, ὁμολογίας ἐποιήσαν-
το. τοὺς μὲν ξένους τοὺς παρ᾽ ἀλεξάνδρου
σφίσι κατὰ συμμαχίαν ἥκοντας ἀπελθεῖν,
μιτυληναίους δὲ καθελεῖν μὲν τὰς πρὸς
ἀλέξανδρον σφίσι γενομένας στήλας, ξυμ-
μάχους δὲ εἶναι δαρείου κατὰ τὴν εἰρήνην
τὴν ἐπ᾽ ἀνταλκίδου γενομένην, πρὸς βασι-
λέα

.·. γρ. ἀρρώστως



λέα δαρεῖον, τοὺς φυγάδας δὲ αὐτῶν κα-
τιέναι ἐπὶ τοῖς ἡμίσεσι τῶν τότε ὄντων, ὅτε
ἔφυγον. ἐπὶ τούτοις μὲν δὴ ἡ ξύμβασις
τοῖς μιτυληναίοις πρὸς τοὺς πέρσας ξυνέ-
βη. φαρνάβαζος δὲ καὶ αὐτοφραδάτης,
ὡς παρῆλθον ἅπαξ εἴσω τῆς πόλεως, φρου-
ράν τε ἐς αὐτὴν εἰσήγαγον, καὶ φρούραρ-
χον ἐπ᾽ αὐτῇ λυκομήδην ῥόδιον· καὶ τύ-
ραννον ἐγκατέστησαν τῇ πόλει διογένην
ἕνα τῶν φυγάδων, χρήματά τε εἰσέπρα-
ξαν τοὺς μιτυληναίους, τὰ μὲν βίᾳ ἀφε-
λόμενοι τοὺς ἔχοντας, τὰ δὲ ἐς τὸ κοινὸν
ἐπιβαλλόντες. ταῦτα δὲ διαπραξάμε-
νοι, φαρνάβαζος μὲν ἔπλει ἐπὶ λυκίας
ἄγων τοὺς ξένους τοὺς μισθοφόρους· αὐ-
τοφραδάτης δὲ ἐπὶ τὰς ἄλλας νήσους,
καὶ ἐν τούτῳ καταπέμπει δαρεῖος θυ-
μώνδαν τὸν μέντορος, αὐτὸν μὲν τοὺς ξέ-
νους παρὰ φαρναβάζου ἐροῦντα ἄρχειν,
ὅσων μέμνων ἦρχε. καὶ παραδοὺς τούτῳ
τοὺς ξένους φαρνάβαζος, ἔπλει παρ᾽ αὐ-
τοφραδάτην ἐπὶ τὰς ναῦς· ὡς δὲ ὁμοῦ ἐγέ-
νοντο, δέκα μὲν ναῦς στέλλουσιν ἐπὶ τὰς
κυκλά-

.·. γρ. ἁροῦντα

Κυκλάδας νήσους, Δατάμην ἄνδρα Πέρ-
σην ἄγοντα, αὐτοὶ δὲ ναυσὶν ἑκατὸν ἐπὶ Τέ-
νεδον ἔπλευσαν, κατακομισθέντες δὲ τῆς
Τενέδου, ἐς τὸν βόρειον καλούμενον λιμέ-
να πέμπουσι παρὰ τοὺς Τενεδίους, καὶ κε-
λεύουσι τὰς στήλας τὰς πρὸς Ἀλέξανδρον,
καὶ τοὺς Ἕλληνας γενομένας σφίσι, ταύτας
καθελεῖν, πρὸς Δαρεῖον δὲ ἄγειν τὴν εἰρή-
νην, ἣν ἐπὶ Ἀνταλκίδου Δαρείῳ συνέθεντο.
Τενεδίοις δέ, τὰ μὲν τῆς εὐνοίας ἐς Ἀλέξαν
δρόν τε καὶ τοὺς Ἕλληνας ἐποίει μᾶλλον, ἐν
δὲ τῷ παρόντι, ἄπορον ἄλλως ἐδόκει, ὅτι μὴ
προσχωρήσαντας τοῖς Πέρσαις σώζεσθαι·
ἐπεὶ οὐδὲ Ἡγελόχῳ οὔπω προστέτακτο, παρ'
Ἀλεξάνδρου αὖθις συναγαγεῖν δύναμιν
ναυτικήν, τοσαύτη ξυνηγμένη ἦν, ὡς δι' ὀλί
γου προσδοκᾶν ἔσεσθαι ἂν σφίσι παρ' αὐ-
τοῦ τινα ὠφέλειαν. Οὕτω μὲν δὴ οἱ ἀμφὶ
Φαρνάβαζον τοὺς Τενεδίους φόβῳ μᾶλλον,
ἢ ἐθέλοντας παρεστήσαντο. ἐν δὲ τούτῳ Πρω
τέας ὁ Ἀνδρονίκου ἐτύγχανε μὲν ξυναγα-
γὼν ἐξ ἐγείας τε, καὶ Πελοποννήσου ναῦς
μακρὰς ὑπὸ Ἀντιπάτρου τεταγμένος, ὡς
εἶναί

εὐβοί



εἶναί τινα ταῖς τε νήσοις φυλακήν, καὶ αὐ-
τῇ τῇ Ἑλλάδι, εἰ καθάπερ ἐξηγγέλλετο ἐπι-
πλέοιεν οἱ βάρβαροι, πυθόμενος δὲ Δα-
τάμην περὶ Σίφνον ὁρμοῦντα δέκα ναυσίν,
αὐτὸς ἔχων πεντεκαίδεκα, νυκτὸς ἀνάγε-
ται ἀπὸ Χαλκίδος τῆς ἐπὶ τῷ Εὐρίπῳ, καὶ
προσχὼν ἕωθεν Κύθνῳ τῇ νήσῳ, τὴν μὲν ἡ-
μέραν αὐτοῦ αὐλίζεται, ὡς σαφέστερόν τε
διαπυθέσθαι τὰ περὶ τῶν δέκα νεῶν, καὶ
ἅμα ἐν νυκτὶ φοβερώτερον προσπεσεῖν
τοῖς Φοίνιξιν. ὡς δὲ ἔμαθε σαφῶς τὸν Δατά
μην ξὺν ταῖς ναυσὶν ἐν Σίφνῳ ὁρμοῦντα,
ἐπιπλεύσας ἔτι νυκτὸς ὑπὸ αὐτὴν τὴν
ἕω καὶ ἀπροσδοκήτοις ἐπιπεσών, ὀκτὼ μὲν
ναῦς αὐτοῖς ἀνδράσιν ἔλαβε. Δατάμης δέ,
μετὰ δυοῖν τριήροιν, ἐν τῇ πρώτῃ προσμί-
ξει τῶν ἅμα Πρωτέᾳ νεῶν ὑπεκφυγὼν ἀ-
πεσώθη πρὸς τὸ ἄλλο ναυτικόν. Ἀλέξαν
δρος δέ, ὡς ἐς Γόρδιον παρῆλθε, πόθος
λαμβάνει αὐτὸν ἀνελθόντα ἐς τὴν ἄκραν,
ἵνα καὶ τὰ βασίλεια ἦν τοῦ Γορδίου καὶ τοῦ
παιδὸς αὐτοῦ Μίδου, τὴν ἅμαξαν ἰδεῖν τοῦ
Γορδίου, καὶ τοῦ ζυγοῦ τῆς ἁμάξης τὸν δεσ-
μόν.

Siphnus

Cythnus

κόν. λόγος δὲ περὶ τῆς ἁμάξης ἐκείνης, παρὰ τοῖς προσχώροις πολὺς κατεῖχε· γόρδιον εἶναι τῶν πάλαι φρυγῶν ἄνδρα πένητα, καὶ ὀλίγην εἶναι αὐτῷ γῆν ἐργάζεσθαι, καὶ ζεύγη βοῶν δύο, καὶ τῷ μὲν ἀροτριᾶν, τῷ δὲ ἁμαξεύειν τὸν γόρδιον, καί ποτε ἀροῦντος αὐτοῦ ἐπιστῆναι ἐπὶ τὸν ζυγὸν ἀετὸν, καὶ ἐπιμεῖναι ἔς τε ἐπὶ βουλυτὸν καθήμενον· τὸν δὲ ἐκπλαγέντα τῇ ὄψει, ἰέναι κοινώσοντα ὑπὲρ τοῦ θείου παρὰ τοὺς τελμισέας τοὺς μάντεις. εἶναι γὰρ τοὺς τελμισέας σοφοὺς τὰ θεῖα ἐξηγεῖσθαι, καὶ σφίσιν ἀπὸ γένους δεδόσθαι αὐτοῖς, καὶ γυναιξὶ, καὶ παισὶ τὴν μαντείαν· προσάγοντα δὲ κώμῃ τινὶ τῶν τελμισέων, ἐντυχεῖν παρθένῳ ὑδρευομένῃ, καὶ πρὸς ταύτην εἰπεῖν, ὅπως οἱ τὸ τοῦ ἀετοῦ ἔχει· τὴν δὲ, εἶναι γὰρ καὶ αὐτὴν τοῦ μαντικοῦ γένους, θύειν κελεῦσαι τῷ διὶ τῷ βασιλεῖ, ἐπανελθόντα ἐς τὸν τόπον αὐτόν. καὶ δεηθῆναι γὰρ αὐτῆς γόρδιον, τὴν θυσίαν ξυνεπισπωμένην οἱ αὐτὴν ἐξηγήσασθαι, θῦσαί τε, ὅπως ἐκείνη ὑπετίθετο τὸν γόρδιον καὶ ξυγγίγνεσθαι

ἐπὶ



ἐπὶ γάμῳ τῇ παιδὶ, καὶ γενέσθαι αὐτοῖν παῖδα μίδαν ὄνομα, ἤδη τε ἄνδρα εἶναι τὸν μίδαν καλὸν, καὶ γενναῖον· καὶ ἐν τούτῳ στάσει πιέζεσθαι ἐν σφίσι τοὺς φρύγας, καὶ γενέσθαι αὐτοῖς χρησμὸν, ὅτι ἅμαξα ἄξει αὐτοῖς βασιλέα, καὶ ὅτι οὗτος αὐτοῖς καταπαύσει τὴν στάσιν. ἔτι δὲ περὶ αὐτῶν τούτων βουλευομένοις, ἐλθεῖν τὸν μίδαν ὁμοῦ τῷ πατρὶ καὶ τῇ μητρὶ, καὶ ἐπιστῆναι τῇ ἐκκλησίᾳ αὐτῇ ἁμάξῃ, τοὺς δὲ ξυμβαλόντας τὸ μαντεῖον, τοῦτον ἐκεῖνον γνῶναι ὄντα, ὅν τινα ὁ θεὸς αὐτοῖς ἔφραζεν ὅ, τι ἄξει ἡ ἅμαξα, καὶ καταστήσειν μὲν αὐτοὺς βασιλέα τὸν μίδαν, μίδαν δὲ αὐτοῖς τὴν στάσιν καταπαῦσαι, καὶ τὴν ἅμαξαν τοῦ πατρὸς ἐν τῇ ἄκρᾳ ἀναθεῖναι χαριστήρια τῷ διὶ τῷ βασιλεῖ, ἐπὶ τῇ τοῦ ἀετοῦ πομπῇ· πρὸς δὲ δὴ τούτοις, καὶ τόδε περὶ τῆς ἁμάξης ἐμυθεύετο· ὅς τις λύσειε τοῦ ζυγοῦ τῆς ἁμάξης τὸν δεσμὸν, τοῦτον χρῆναι ἄρξαι τῆς ἀσίας. ἦν δὲ ὁ δεσμὸς ἐκ φλοιοῦ κρανέας· καὶ τούτου, οὔτε τέλος, οὔτε ἀρχὴ ἐφαίνετο. ἀλέξανδρος δὲ ὡς ἀπόρως μὲν εἶχεν ἐξευρεῖν λύσιν τοῦ

δεσμοῦ

∴ καταστῆσαι

δεσμοῦ, ἄλυτον δὲ περιιδεῖν οὐκ ἤθελε μή τινα καὶ τοῦτο ἐς τοὺς πολλοὺς κίνησιν ἐργάσηται, οἱ μὲν λέγουσιν ὅτι παίσας τῷ ξίφει, διέκοψε τὸν δεσμὸν, καὶ λελύσθαι ἔφη.

ἀριστόβουλος δὲ λέγει, ἐξελόντα τὸν ἕστορα τοῦ ῥυμοῦ, ὃς ἦν τύλος διαβεβλημένος διὰ τοῦ ῥυμοῦ διαμπὰξ, ξυνέχων τὸν δεσμὸν, ἐξελκύσαι ἔξω τοῦ ῥυμοῦ τὸν ζυγόν. ὅπως μὲν δὴ ἐπράχθη τὰ ἀμφὶ τῷ δεσμῷ τούτῳ ἀλεξάνδρῳ, οὐκ ἔχω ἰσχυρίσασθαι. ἀπηλλάγη δ' οὖν ἀπὸ τῆς ἁμάξης αὐτός τε καὶ οἱ ἀμφ' αὐτὸν, ὡς τοῦ λογίου τοῦ ἐπὶ τῇ λύσει τοῦ δεσμοῦ ξυμβεβηκότος. καὶ γὰρ καὶ τῆς νυκτὸς ἐκείνης, βρονταί τε, καὶ σέλας ἐξ οὐρανοῦ ἐπεσήμηναν. καὶ ἐπὶ τούτοις ἔθυε τῇ ὑστεραίᾳ ἀλέξανδρος τοῖς φήνασι θεοῖς τά τε σημεῖα, καὶ τοῦ δεσμοῦ τὴν λύσιν. αὐτὸς δὲ τῇ ὑστεραίᾳ ἐπ' ἀγκύρας τῆς γαλατικῆς ἐστέλλετο. κἀκεῖ αὐτῷ πρεσβεία ἀφικνεῖται παφλαγόνων, τό, τε ἔθνος ἐνδιδόντων, καὶ ἐς ὁμολογίαν ξυμβαινόντων, ἐς δὲ τὴν χώραν ξὺν τῇ δυνάμει μὴ ἐσβαλεῖν ἐδέοντο. τούτοις μὲν δὴ προστάσσει ἀλέξανδρος

Aristobulus tradit clauū ab eo ex temone ꝑ quē clauus ipse temonetus uinculū cotinebat reuulsum. atq: ita temoni detractum. /



ξανδρος ὑπακούειν, κάλᾳ τῷ σατράπῃ τῆς φρυγίας. αὐτὸς δὲ ἐπὶ τῆς καππαδοκίας ἐλάσας, ξύμπασαν τὴν ἐντὸς ἅλυος ποταμοῦ προσηγάγετο, καὶ ἔτι ὑπὲρ τὸν ἅλυν πολλήν. καταστήσας δὲ καππαδόκων σαβίκταν σατράπην, αὐτὸς προῆγεν ἐπὶ τὰς πύλας τὰς κιλικίας. καὶ ἀφικόμενος ἐπὶ τὸ κύρου τοῦ ξὺν ξενοφῶντι στρατόπεδον, ὡς κατεχομένας τὰς πύλας φυλακαῖς ἰσχυραῖς εἶδε, παρμενίωνα μὲν αὐτοῦ καταλείπει σὺν ταῖς τάξεσι τῶν πεζῶν, ὅσοι βαρύτερον ὡπλισμένοι ἦσαν. αὐτὸς δὲ ἀμφὶ πρώτην φυλακὴν ἀναλαβὼν τούς τε ὑπασπιστὰς καὶ τοὺς τοξότας καὶ τοὺς ἀγριᾶνας, προῆγε τῆς νυκτὸς ἐπὶ τὰς πύλας, ὡς οὐ προσδεχομένοις τοῖς φύλαξιν ἐπιπεσεῖν. καὶ προσάγων μὲν, οὐκ ἔλαθεν· ἐς ἴσον δὲ αὐτῷ κατέστη ἡ τόλμα. οἱ γὰρ φύλακες αἰσθόμενοι ἀλέξανδρον αὐτὸν προσάγοντα, λιπόντες τὴν φυλακὴν, ᾤχοντο φεύγοντες. τῇ δὲ ὑστεραίᾳ ἅμα τῇ ἕῳ, ξὺν τῇ δυνάμει πάσῃ ὑπερβαλὼν τὰς πύλας, κατέβαινεν ἐς τὴν κιλικίαν, καὶ ἐνταῦθα

Cilicia portae

ταῦτα ἀγγέλλεται αὐτῷ ἀρσάμης, ὅτι πρό-
σθεν μὲν ἐπενόει διασώζειν πέρσαις τὴν
ταρσόν. ὡς δὲ ὑπερβεβληκότα ἤδη τὰς
πύλας ἐπύθετο ἀλέξανδρον, ἐκλιπεῖν ἐν
νῷ ἔχει τὴν πόλιν. δεδιέναι οὖν τοὺς ταρ-
σεῖς, μὴ ἐφ᾽ ἁρπαγὴν τραπεὶς, οὕτω τὴν
ἀπόλειψιν τῆς ταρσοῦ ποιήσηται. ταῦτα
ἀκούσας, δρόμῳ ἦγεν ἐπὶ τὴν ταρσὸν, τάς
τε ἱππέας, καὶ τῶν ψιλῶν ὅσοι κουφό-
τατοι, ὥς τε ὁ ἀρσάμης μαθὼν αὐτοῦ τὴν
ὁρμὴν, σπουδῇ φεύγει ἐκ τῆς ταρσοῦ, πα-
ρὰ βασιλέα δαρεῖον, οὐδὲν βλάψας τὴν
πόλιν. ἀλέξανδρος δὲ ὡς μὲν ἀριστοβού-
λῳ λέλεκται, ὑπὸ καμάτου ἐνόσησεν· οἱ
δὲ, εἰς τὸν κύδνον τὸν ποταμὸν λέγουσι
ῥίψαντα νήξασθαι ἐπιθυμήσαντα τοῦ ὕ-
δατος, ἱδροῦντα καὶ καύματι ἐχόμε-
νον. ὁ δὲ κύδνος ῥεῖ διὰ μέσης τῆς πό-
λεως. οἷα δὲ ἐκ τοῦ ταύρου ὄρους τῶν
πηγῶν οἱ ἀνισχουσῶν καὶ διὰ χώρου κα-
θαροῦ ῥέων, ψυχρός τέ ἐστι, καὶ τὸ ὕδωρ κα-
θαρός. σπασμῷ τε οὖν ἔχεσθαι ἀλέξανδρον,
καὶ θέρμαις ἰσχυραῖς, καὶ ἀγρυπνίᾳ ξυ-
νεχεῖ,



νεχεῖ, καὶ τοὺς μὲν ἄλλους ἰατροὺς, οὐκ
οἴεσθαι εἶναι βιώσιμον. φίλιππον δὲ ἀκαρ-
νᾶνα ἰατρὸν ξυνόντα ἀλεξάνδρῳ, καὶ τά
τε ἀμφὶ ἰατρικὴν ἐς τὰ μάλιστα πιστευό-
μενον, καὶ τἆλλα οὐκ ἀδόκιμον ἐν τῷ στρα-
τῷ ὄντα, καθῆραι ἐθέλειν ἀλέξανδρον
φαρμάκῳ, καὶ τὸν κελεύειν καθῆραι. τὸν
μὲν δὴ παρασκευάζειν τὴν κύλικα· ἐν
τούτῳ δὲ ἀλεξάνδρῳ δοθῆναι ἐπιστολὴν
παρὰ παρμενίωνος, φυλάξασθαι φίλιπ-
πον· ἀκούειν γὰρ διαφθάρθαι ὑπὸ δα-
ρείου χρήμασιν, ὥστε φαρμάκῳ ἀποκτεῖ-
ναι ἀλέξανδρον· τὸν δὲ ἀναγνόντα τὴν
ἐπιστολὴν, καὶ ἔτι μετὰ χεῖρας ἔχοντα, αὐ-
τὸν μὲν λαβεῖν τὴν κύλικα ἐν ᾗ ἦν τὸ φάρ-
μακον, τὴν ἐπιστολὴν δὲ, τῷ φιλίππῳ δοῦ-
ναι ἀναγνῶναι· καὶ ὁμοῦ τόν τε ἀλέξανδρον
πίνειν, καὶ τὸν φίλιππον ἀναγινώσκειν τὰ
παρὰ τοῦ παρμενίωνος. φίλιππον δὲ εὐθὺς
ἔνδηλον γενέσθαι, ὅτι καλῶς οἱ ἔχει τὰ τοῦ
φαρμάκου. οὐ γὰρ ἐκπλαγῆναι πρὸς τὴν ἐπι-
στολὴν, ἀλλὰ τοσόνδε μόνον παρακαλέσαι
ἀλέξανδρον, ἐπὶ ὧν τὰ ἄλλα οἱ πείθεσθαι, ὅσα

 ἀγγέ-

ἀγγέλοιτο. σωθήσεσθαι γὰρ πειθόμενον· καὶ τὸν μὲν, καθαρθῆναί τε καὶ ῥαΐσαι αὐτῷ τὸ νόσημα· φιλίππῳ δὲ ἐπιδεῖξαι, ὅτι πιστὸς ἦν αὐτῷ φίλος· καὶ τοῖς ἄλλοις δὲ τοῖς ἀμφ' αὐτὸν, ὅτι αὐτοῖς τε τοῖς φίλοις βέβαιος ἐς τὸ ἀνύποπτον τυγχάνει ὢν, καὶ πρὸς τὸ ἀποθανεῖν ἐρρωμένος. ἐκ δὲ τούτου παρμενίωνα μὲν πέμπει ἐπὶ τὰς ἄλλας πύλας, αἳ δὴ ὁρίζουσι τὴν κιλίκων τε καὶ ἀσσυρίων χώραν προκαταλαβεῖν, καὶ φυλάσσειν τὴν πάροδον, δοὺς αὐτῷ τῶν τε ξυμμάχων τοὺς πεζοὺς, καὶ τοὺς ἕλληνας τοὺς μισθοφόρους, καὶ τοὺς θρᾷκας, ὧν σιτάλκης ἡγεῖτο, καὶ τοὺς ἱππέας τοὺς θετταλούς· αὐτὸς δὲ ὕστερος ἄρας ἐκ ταρσοῦ, τῇ μὲν πρώτῃ ἐς ἀγχίαλον πόλιν ἀφικνεῖται. ταύτην δὲ σαρδανάπαλον κτίσαι τὸν ἀσσύριον λόγος· καὶ τῷ περιβόλῳ δὲ καὶ τοῖς θεμελίοις τῶν τειχῶν δήλη ἐστὶ, μεγάλη τε πόλις κτισθεῖσα, καὶ ἐπὶ μέγα ἐλθοῦσα δυνάμεως. καὶ τὸ μνῆμα τοῦ σαρδαναπάλου, ἐγγὺς ἦν τειχῶν τῆς ἀγχιάλου, καὶ αὐτὸς ἐφεστήκει ἐπ' αὐτῷ σαρδανάπαλος, συμ-

βεβληκὼς

Pylae in cilicia duplices



βεβληκὼς τὰς χεῖρας ἀλλήλαις, ὡς μάλιστα ἐς κρότον συμβάλλονται. καὶ ἐπίγραμμα ἐπεγέγραπτο αὐτῷ, ἀσσύρια γράμματα. οἱ μὲν ἀσσύριοι, καὶ μέτρον ἔφασκον εἶναι τῷ ἐπιγράμματι. ὁ δὲ νοῦς ἦν αὐτῷ, ὃν ἔφραζε τὰ ἔπη, ὅτι σαρδανάπαλος ὁ ἀνακυνδαράξου παῖς, ἀγχίαλον καὶ ταρσὸν, ἐν ἡμέρᾳ μιᾷ ἐδείματο. σὺ δὲ ὦ ξένε, ἔσθιε, καὶ πῖνε, καὶ παῖζε, ὡς τἆλλα τὰ ἀνθρώπινα οὐκ ὄντα τούτου ἄξια· τὸν ψόφον αἰνισσόμενος, ὅνπερ αἱ χεῖρες ἐπὶ τῷ κρότῳ ποιοῦσι. καὶ τὸ παῖζε ῥᾳδιουργότερον ἐγγεγράφθαι ἔφασαν τῷ ἀσσυρίῳ ὀνόματι. ἐκ δὲ τῆς ἀγχιάλου, ἐς σόλους ἀφίκετο, καὶ φρουρὰν ἐπήγαγεν ἐς σόλους, καὶ ἐπέβαλεν αὐτοῖς τάλαντα διακόσια ἀργυρίου ζημίαν, ὅτι πρὸς τοὺς πέρσας μᾶλλόν τι τὸν νοῦν εἶχον. ἔνθεν δὲ ἀναλαβὼν τῶν μὲν πεζῶν τῶν μακεδόνων τρεῖς τάξεις, τοὺς τοξότας δὲ πάντας καὶ τοὺς ἀγριᾶνας ἐξελαύνει ἐπὶ τοὺς τὰ ὄρη κατέχοντας κίλικας. καὶ ἐν ἑπτὰ ταῖς πάσαις ἡμέραις, τοὺς μὲν βίᾳ ἑλὼν, τοὺς δὲ ὁμολογίᾳ παραστησάμε-

 νος,

κῳ, ἐπανήκει δὲ ἐς σόλους· καὶ ἐνταῦθα μανθάνει πτολεμαῖον καὶ ἄσανδρον, ὅτι ἐκράτησαν ὀροντοβάτου τοῦ πέρσου, ὃς τήν τε ἄκραν τῆς ἁλικαρνασσοῦ ἐφύλασσε καὶ σύνδον, καὶ καῦνον, καὶ θήραν, καὶ καλλίπολιν κατεῖχε, προσῆκτο δὲ καὶ κῶ, καὶ τριόπιον. τοῦτον ἡττῆσθαι ἔγραφον μάχῃ μεγάλῃ, καὶ ἀποθανεῖν μὲν τῶν ἀμφ' αὐτὸν, πεζοὺς ἐς ἑπτακοσίους, καὶ ἱππέας ἐς πεντήκοντα, ἁλῶναι δὲ οὐκ ἐλάττους τῶν χιλίων. ἀλέξανδρος δὲ ἐν σόλοις θύσας τῷ ἀσκληπιῷ, καὶ πομπεύσας αὐτός τε καὶ ἡ στρατιὰ πᾶσα, καὶ λαμπάδα ἐπιτελέσας, καὶ ἀγῶνα διαθεὶς γυμνικὸν καὶ μουσικὸν, σολεῦσι μὲν δημοκρατεῖσθαι ἔδωκεν. αὐτὸς δὲ ἀναζεύξας ἐς ταρσὸν, τοὺς μὲν ἱππέας ἀπέστειλε, φιλώτᾳ δοὺς ἄγειν διὰ τοῦ ἀληΐου πεδίου ἐπὶ τὸν ποταμὸν τὸν πύραμον· αὐτὸς δὲ σὺν τοῖς πεζοῖς καὶ τῇ ἴλῃ τῇ βασιλικῇ, ἐς μάγαρσον ἧκε, καί τι ἀθηνᾷ τῇ μαγαρσίδι ἔθυσεν. ἐντεῦθεν δὲ ἐς μαλλὸν ἀφίκετο, καὶ ἀμφιλόχῳ ὅσον ἥρωϊ ἐνήγισε, καὶ στασιάζοντας καταλαβὼν,

τὴν

ι. ἴασον



τὴν στάσιν αὐτοῖς κατέπαυσε, καὶ τοὺς φόρους οὓς βασιλεῖ δαρείῳ ἀπέφερον ἀνῆκεν, ὅτι ἀργείων μὲν, μαλλοὶ ἄποικοι ἦσαν, αὐτὸς δὲ ἀπ' ἄργους τῶν ἡρακλειδῶν εἶναι ἠξίου. ἔτι δὲ ἐν μαλλῷ ὄντι αὐτῷ, ἀγγέλλεται δαρεῖον ἐν σώχοις ξὺν τῇ πάσῃ δυνάμει στρατοπεδεύειν. ὁ δὲ χῶρος οὗτος ἐστὶ μὲν τῆς ἀσσυρίας γῆς, ἀπέχει δὲ τῶν πυλῶν τῶν ἀσσυρίων, ἐς δύο μάλιστα σταθμοὺς, ἔνθα δὴ ξυναγαγὼν τοὺς ἑταίρους, φράζει αὐτοῖς τὰ ἐξηγγελμένα, ὑπὲρ δαρείου τε καὶ τῆς στρατιᾶς τῆς δαρείου, οἱ δὲ αὐτόθεν, ὡς εἶχον ἄγειν ἐκέλευον. ὁ δὲ τότε μὲν ἐπαινέσας αὐτοὺς, διέλυσε τὸν σύλλογον, τῇ δὲ ὑστεραίᾳ προῆγεν, ὡς ἐπὶ δαρεῖόν τε καὶ τοὺς πέρσας· δευτεραῖος δὲ ὑπερβαλὼν τὰς πύλας, ἐστρατοπέδευσε πρὸς μυριάνδρῳ πόλει· καὶ τῆς νυκτὸς χειμὼν ἐπιγίγνεται σκληρὸς, καὶ ὕδωρ τε ἐξ οὐρανοῦ καὶ πνεῦμα βίαιον, τοῦτο κατέσχεν ἐν τῷ στρατοπέδῳ ἀλέξανδρον. δαρεῖος δὲ τέως μὲν ξὺν τῇ στρατιᾷ διέτριβεν, ἐπιλεξάμενος τῆς ἀσσυρίας τὸ πεδίον πάντῃ ἀναπεπταμένον,

Sylae Assy-ria

Transgredi-tur portas assyrias Alex.

 καὶ

καὶ τῷ τε πλήθει τῆς στρατιᾶς ἐπιτήδειον, καὶ ἐνιππάσασθαι τῇ ἵππῳ ξύμφορον· καὶ ταύτῃ τὸ χωρίον ξυνεβούλευεν αὐτῷ, μὴ ἀπολείπειν ἀμύντας ὁ τοῦ ἀντιόχου, ὁ παρ' ἀλεξάνδρου αὐτόμολος. εἶναι γὰρ τὴν εὐρυχωρίαν πρὸς τοῦ πλήθος τε καὶ τῆς σκευῆς τῶν περσῶν, καὶ ἔμενε δαρεῖος. ὡς δὲ ἀλεξάνδρῳ πολλὴ μὲν ἐν ταρσῷ τριβὴ ὑπὸ τῇ νόσῳ ἐγίγνετο, οὐκ ὀλίγη δὲ ἐν σόλοις, ἵνα ἔθυέ τε καὶ ἐπόμπευε, καὶ ἐπὶ τοὺς ὀρεινοὺς κίλικας διέτριψεν, ἐξελάσας, ταύτῃ ἔσφηλε δαρεῖον τῆς γνώμης· καὶ αὐτός τε ὅ τι περ ἥδιστον ἦν δοξασθὲν, ἐς τοῦτο οὐκ ἀκουσίως ὑπήχθη· καὶ ὑπὸ τῶν καθ' ἡδονὴν ξυνόντων τε καὶ ξυνεσομένων ἐπὶ κακῷ τοῖς ἀεὶ βασιλεύουσιν ἐπαιρόμενος, ἔγνω μηκέτι ἀλέξανδρον ἐθέλειν προϊέναι τοῦ πρόσω. ἀλλ' ὀκνεῖν γὰρ πυνθανόμενον, ὅτι αὐτὸς προσάγοι, καταπατήσειν τε τῇ ἵππῳ τὴν μακεδόνων τὴν στρατιὰν, ἄλλος ἄλλοθεν αὐτὸν ἐπαίροντες ἔλεγον. καίτοιγε ἀμύντας ἥξειν τε ἀλέξανδρον ἰσχυρίζετο, ὅπου ἂν πύθηται δαρεῖον ὄντα, καὶ αὐτοῦ

προσ



προσμένειν ἐκέλευεν, ἀλλὰ τὰ χείρω μᾶλλον ὅτι καὶ ἐν τῷ παραυτίκα ἥδιω ἀκοῦσαι ἦν, ἔπειθε. καί τι καὶ δαιμόνιον τυχὸν ἦγεν αὐτὸν εἰς ἐκεῖνον τὸν χῶρον, οὗ μήτε ἐκ τῆς ἵππου πολλὴ ὠφέλεια αὐτῷ ἐγένετο, μήτε ἐκ τοῦ πλήθους αὐτοῦ, τῶν τε ἀνθρώπων καὶ τῶν ἀκοντίων τε καὶ τοξευμάτων· μὴ δὲ τὴν λαμπρότητα αὐτῆς τῆς στρατιᾶς ἐπιδεῖξαι ἐδυνήθη, ἀλλὰ ἀλεξάνδρῳ τε καὶ τοῖς ἀμφ' αὐτὸν, εὐμαρῶς τὴν νίκην παρέδωκεν. ἐχρῆν γὰρ ἤδη καὶ πέρσαις πρὸς μακεδόνων ἀφαιρεθῆναι τῆς ἀσίας τὴν ἀρχὴν. καθάπερ οὖν μῆδοι μὲν πρὸς περσῶν ἀφῃρέθησαν, πρὸς μήδων δὲ ἔτι πρόσθεν ἀσσύριοι. Ὑπερβαλὼν δὲ τὸ ὄρος δαρεῖος τὸ κατὰ τὰς πύλας τὰς ἀμανικὰς καλουμένας, ὡς ἐπὶ ἰσσὸν προῆγε, καὶ ἐγένετο κατόπιν ἀλεξάνδρου λαθὼν, τὴν δὲ ἰσσὸν κατασχὼν, ὅσους διὰ νόσον ὑπολελειμμένους αὐτοῦ τῶν μακεδόνων κατέλαβε, τούτους χαλεπῶς αἰκισάμενος ἀπέκτεινεν. ἐς δὲ τὴν ὑστεραίαν προὐχώρει ἐπὶ τὸν ποταμὸν τὸν πίναρον. καὶ ἀλέξανδρος ὡς ἤκουσεν ἐν

τῷ

Amanicae portae

Triplices erant igitur portae in Cilicia. Ciliciae · Assyriae · Amanicae

τοῦ ὄπισθεν αὐτοῦ ὄντα δαρεῖον, ἐπεὶ οὐ
πιστὸς αὐτῷ ὁ λόγος ἐφαίνετο, ἀναβιβά-
σας εἰς τριακόντορον τῶν ἑταίρων τινὰς, ἀ-
ποπέμπει ὀπίσω ἐπὶ ἰσσὸν κατασκεψομέ-
νους εἰ τὰ ὄντα ἐξαγγέλλεται· οἱ δὲ, ἀναπλεύ-
σαντες τῇ τριακοντόρῳ, ὅτι κολπώδης
ἦν ἡ ταύτῃ θάλασσα, μᾶλλόν τι εὐπετῶς
κατέμαθον αὐτοῦ στρατοπεδεύοντας τοὺς
πέρσας, καὶ ἀπαγγέλλουσι ἀλεξάνδρῳ ἐν
χερσὶν εἶναι δαρεῖον. ὁ δὲ συγκαλέσας
στρατηγούς τε καὶ ἰλάρχας καὶ τῶν ξυμμά-
χων τοὺς ἡγεμόνας, παρεκάλει θαῤῥεῖν μὲν
ἐκ τῶν ἤδη σφίσι καλῶς κεκινδυνευμέ-
νων, καὶ ὅτι πρὸς νενικηκόσιν αὐτοῖς ἔσται,
καὶ ὅτι ὁ θεὸς ὑπὲρ σφῶν στρατηγεῖ ἄμει-
νον, ἐπὶ νοῦν δαρείῳ ἀγαγὼν καθεῖρξαι
τὴν δύναμιν ἐκ τῆς εὐρυχωρίας ἐς τὰ στε-
νόπορα, ἵνα σφίσι μὲν ξύμμετρον τὸ χω-
ρίον ἀναπτύξαι τὴν φάλαγγα, τοῖς δὲ ἀ-
χρεῖον τὸ πλῆθος, ὅτι ἔσται τῇ μάχῃ· ὅτε τὰ
σώματα, οὔτε τὰς γνώμας παραπλησίοις·
μακεδόνας τε καὶ πέρσαις καὶ μήδοις, ἐκ
πάνυ πολλοῦ τρυφῶσιν, αὐτοὺς ἐν τοῖς πό-
νοις



νοις τοῖς πολεμικοῖς πάλαι ἤδη κατὰ κιν-
δύνων ἀσκουμένους. ἄλλως τε καὶ δούλοις
ἀνθρώποις ἐλευθέρους εἰς χεῖρας ἥξειν, ὅσοι
τε ἕλληνες οὐχ ὑπὲρ τῶν αὐτῶν μαχεῖσθαι, ἀλ-
λὰ τοὺς μὲν ξὺν δαρείῳ, ἐπὶ μισθῷ καὶ οὐδὲ
τούτῳ πολλῷ κινδυνεύοντας, τοὺς δὲ ξὺν
σφίσιν, ὑπὲρ τῆς ἑλλάδος ἑκόντας ἀμυ-
νομένους, βαρβάρων τε αὖ θρᾷκας, καὶ
παίονας, καὶ ἰλλυριοὺς, καὶ ἀγριάνας, τοὺς
εὐρωστοτάτους τε κατὰ τὴν εὐρώπην καὶ
μαχιμωτάτους, πρὸς τὰ ἀπονώτατά τε
καὶ μαλακώτατα τῆς ἀσίας γένη ἀντιτά-
ξεσθαι, ἐπὶ δὲ ἀλέξανδρον ἀντιστρατηγεῖν
δαρείῳ ταῦτα μὲν οὖν ἐς πλεονεξίαν τοῦ
ἀγῶνος ἐπεξῄει. τὰ δὲ ἆθλα, ὅτι μεγάλα
ἔσται σφίσι τοῦ κινδύνου ἐπεδείκνυεν. οὐ
γὰρ τοὺς σατράπας τοὺς δαρείου ἐν τῷ τότε
κρατήσειν, οὐδὲ τὴν ἵππον τὴν ἐπὶ γρανί-
κῳ ταχθεῖσαν, οὐδὲ τοὺς δισμυρίους ξένους
τοὺς μισθοφόρους, ἀλλὰ περσῶν τε ὅτι περ
ὄφελος καὶ μήδων, καὶ ὅσα ἄλλα ἔθνη πέρ-
σαις καὶ μήδοις ὑπήκοα ἐποικεῖ τὴν ἀσίαν, καὶ
αὐτὸν μέγαν βασιλέα παρόντα, καὶ ὡς οὐδὲν
ὑπο

ἀπαλλαγήσεσθαι σφίσιν ἐπὶ τῷδε τῷ ἀγῶνι, ὅτι μὴ κρατεῖν τῆς ἀσίας ξυμπάσης, καὶ πέρας τοῖς πολλοῖς πόνοις ἐπιθεῖναι· ἐπὶ τούτοις δὲ τῶν τε ἐς τὸν κοινὸν ξὺν λαμπρότητι ἤδη πεπραγμένων ὑπεμίμνησκε. καὶ εἰ δή τῳ ἰδίᾳ τι διαπρεπὲς ἐς κάλλος πεπολμημένον, ὀνομαστὶ ἕκαστον ἐπὶ τῷ ἔργῳ ἀνακαλῶν, καὶ τὸ αὐτοῦ οὐκ ἀκίνδυνον ἐν ταῖς μάχαις, ὡς ἀνεπαχθέστατα ἐπεξῄει. λέγεται δὲ καὶ ξενοφῶντος, καὶ τῶν ἅμα ξενοφῶντι μυρίων ἐς μνήμην ἐλθεῖν, ὡς οὐδέν τι, οὔτε κατὰ πλῆθος, οὔτε ἐπὶ τὴν ἄλλην ἀξίωσιν σφίσιν ἐοικότων, οὐδὲ ἱππέων αὐτοῖς παρόντων θεσσαλῶν, οὐδὲ βοιωτῶν ἢ πελοποννησίων, οὐδὲ μακεδόνων ἢ θρᾳκῶν, οὐδ' ὅση ἄλλη σφίσιν ἵππος ξυντέτακται, οὐδὲ τοξοτῶν, ἢ σφενδονητῶν, ὅτι μὴ κρητῶν, ἢ ῥοδίων ὀλίγων, καὶ τούτων ἐν τῷ κινδύνῳ ὑπὸ ξενοφῶντος αὐτοσχεδιασθέντων. οἱ δὲ βασιλέα τε ξὺν πάσῃ τῇ δυνάμει πρὸς βαβυλῶνι αὐτῇ ἐτρέψαντο, καὶ ἔθνη ὅσα κατιόντων ἐς τὸν εὔξεινον πόντον καθ' ὁδὸν σφίσιν ἐπεγένετο, νικῶντες

ἀπῆλ-



ἀπῆλθον· ὅσα τε ἄλλα ἐν τῷ τοιῷδε πρὸ τῶν κινδύνων ἐς παράκλησιν, ἀνδράσιν ἀγαθοῖς ἐξ ἀγαθοῦ ἡγεμόνος παραινεῖσθαι εἰκός. οἱ δὲ, ἄλλος ἄλλοθεν δεξιούμενοί τε τὸν βασιλέα, καὶ τῷ λόγῳ ἐπαίροντες, ἄγειν ἤδη ἐκέλευον. ὁ δὲ, τότε μὲν δειπνοποιεῖσθαι παραγγέλλει, προπέμπει δὲ ὡς ἐπὶ τὰς πύλας, τῶν ἱππέων ὀλίγους τινὰς, καὶ τῶν τοξοτῶν προκατασκεψόμενοι τὴν ὁδὸν τὴν ὀπίσω, ὡς ἐπὶ τὰς πύλας, καὶ αὐτὸς τῆς νυκτὸς ἀναλαβὼν τὴν στρατιὰν πᾶσαν ᾔει, ὡς κατασχεῖν αὖθις τὰς πύλας. ὡς δὲ ἀμφὶ μέσας νύκτας ἐκράτησεν αὖθις τῶν παρόδων, ἀνέπαυε τὴν στρατιὰν τὸ λοιπὸν τῆς νυκτὸς, αὐτοῦ ἐπὶ τῶν πετρῶν προφυλακὰς ἀκριβεῖς καταστησάμενος. ὑπὸ δὲ τὴν ἕω κατῄει ἀπὸ τῶν πυλῶν ἐπὶ τὴν ὁδὸν, καὶ ἕως μὲν πάντῃ στενόπορα ἦν τὰ χωρία ἐπὶ κέρως ἦγεν. ὡς δὲ διεχώρει ἐς πλάτος, ἀνέπτυσσεν ἀεὶ τὸ κέρας ἐς φάλαγγα ἄλλην, καὶ ἄλλην τῶν ὁπλιτῶν τάξιν παράγων, τῇ μὲν ὡς ἐπὶ τὸ ὄρος, ἐν ἀριστερᾷ δὲ ὡς ἐπὶ τὴν θάλασσαν. οἱ δὲ ἱππεῖς αὐτῷ τέως μὲν κα-

τόπιν

τὸ πρῶτον τῶν πεζῶν τεταγμένοι ἦσαν· ὡς δὲ ἐς τὴν εὐρυχωρίαν προῆλθον, συνέτασσεν ἤδη τὴν στρατιὰν ὡς ἐς μάχην, πρώτους μὲν ἐπὶ τοῦ δεξιοῦ κέρως πρὸς τῷ ὄρει τῶν πεζῶν τό, τε ἄγημα καὶ τοὺς ὑπασπιστὰς, ὧν ἡγεῖτο νικάνωρ ὁ παρμενίωνος· ἐχομένους δὲ τούτων, τὴν κοίνου τάξιν· ἐπὶ δὲ τούτοις, τὴν περδίκκου. οὗτοι μὲν ἐς τὸ ἐπὶ τὸ μέσον τῶν ὁπλιτῶν ἀπὸ τοῦ δεξιοῦ ἀρχομένῳ τεταγμένοι ἦσαν, ἐπὶ δὲ τοῦ εὐωνύμου, πρώτη μὲν ἀμύντου τάξις ἦν, ἐπὶ δὲ καὶ πτολεμαίου, ἐχομένη δὲ ταύτης, ἡ μελεάγρου. τοῦ δὲ εὐωνύμου τοῖς πεζοῖς μὲν, κρατερὸς ἐπιτέτακτο ἄρχειν, τοῦ δὲ ξύμπαντος εὐωνύμου, παρμενίων ἡγεῖτο. καὶ παρήγγελτο αὐτῷ μὴ ἀπολείπειν τὴν θάλασσαν, ὡς μὴ κυκλωθεῖεν ἐκ τῶν βαρβάρων, ὅτι πάντῃ ὑπερφαλαγγήσειν αὐτῶν διὰ πλῆθος ἔμελλον. δαρεῖος δὲ ἐπειδὴ ἐξηγγέλθη αὐτῷ προσάγων ἤδη ἀλέξανδρος, ὡς ἐς μάχην, τῶν μὲν ἱππέων διαβιβάζει πέραν τοῦ ποταμοῦ πινάρου, ἐς τρισμυρίους μάλιστα τὸν ἀριθμόν, καὶ μετὰ τού-

των



των τῶν ψιλῶν ἐς δισμυρίους, ὅπως τὴν λοιπὴν δύναμιν, καθ' ἡσυχίαν συντάξειε. καὶ πρώτους μὲν, τοῦ ὁπλιτικοῦ, τοὺς ἕλληνας τοὺς μισθοφόρους ἔταξεν ἐς τρισμυρίους, κατὰ τὴν φάλαγγα τῶν μακεδόνων· ἐπὶ δὲ τούτοις, τῶν καρδάκων καλουμένων ἔνθεν καὶ ἔνθεν ἐς ἑξακισμυρίους. ὁπλῖται δὲ ἦσαν καὶ οὗτοι. τοσοῦτον γὰρ ἐπὶ φάλαγγος ἁπλῆς ἐδέχετο τὸ χωρίον, ἵνα ἐτάσσοντο. ἐπέταξε δὲ καὶ τῷ ὄρει τῷ ἐν ἀριστερᾷ σφῶν κατὰ τὸ ἀλεξάνδρου δεξιὸν, ἐς δισμυρίους, καὶ τούτων ἔστιν οἳ κατὰ νώτου ἐγένοντο, τῆς ἀλεξάνδρου στρατιᾶς. τὸ γὰρ ὄρος ἵνα ἐπετάχθησαν, τῇ μὲν διεχώρει ἐς βάθος, καὶ κολπῶδές τι αὐτοῦ, ὥσπερ ἐν θαλάσσῃ ἐγίνετο· ἔπειτα ἐς ἐπικαμπὴν προϊὸν τοὺς ἐπὶ ταῖς ἀκρωρείαις τεταγμένους κατόπιν τοῦ δεξιοῦ κέρως τοῦ ἀλεξάνδρου ἐποίει, τὸ δὲ ἄλλο πλῆθος αὐτοῦ ψιλῶν τε καὶ ὁπλιτῶν κατὰ ἔθνη συντεταγμένον ἐς βάθος οὐκ ὠφέλιμον, ὄπισθεν ἦν τῶν ἑλλήνων τῶν μισθοφόρων, καὶ τοῦ ἐπὶ φάλαγγος τεταγμένου βαρβαρικοῦ. ἐλέγετο γὰρ ἡ πᾶσα ξὺν

δαρείῳ

Cardaces

Δαρείῳ στρατιά, μάλιστα ἐς ἑξήκοντα μυριάδας μαχίμους εἶναι. ἀλέξανδρος δέ, ὡς αὐτῷ πρόσω ἰόντι τὸ χωρίον διέσχεν ὀλίγον ἐς πλάτος, παρήγαγε τοὺς ἱππέας, τούς τε ἑταίρους καλουμένους, καὶ τοὺς θεσσαλοὺς, καὶ τοὺς μακεδόνας, καὶ τούτους μὲν ἐπὶ τῷ δεξιῷ κέρατι ἅμα οἷ ἔταξε. τοὺς δὲ ἐκ πελοποννήσου, καὶ τὸ ἄλλο τὸ συμμαχικὸν, ἐπὶ τὸ εὐώνυμον πέμπει ἐς παρμενίωνα. δαρεῖος δὲ, ὡς συντεταγμένη ἤδη ἦν αὐτῷ ἡ φάλαγξ, τοὺς ἱππέας οὕς τινας πρὸ τοῦ ποταμοῦ ἐπὶ τῷδε προτετάχει, ὅπως ἀσφαλῶς αὐτῷ ἡ ἔκταξις τῆς στρατιᾶς γένοιτο, ἀνεκάλεσεν ἀπὸ ξυνθήματος· καὶ τούτων τοὺς μὲν πολλοὺς ἐπὶ τῷ δεξιῷ κέρατι πρὸς τῇ θαλάσσῃ κατὰ παρμενίωνα ἔταξεν, ὅτι ταύτῃ μᾶλλόν τι ἱππάσιμα ἦν. μέρος δέ τι αὐτῶν, καὶ ἐπὶ τὸ εὐώνυμον πρὸς τὰ ὄρη παρήγαγεν. ὡς δὲ ἀχρεῖοι ἐνταῦθα διὰ στενότητα τῶν χωρίων ἐφαίνοντο, καὶ τούτων τοὺς πολλοὺς παριππεῦσαι ἐπὶ τὸ δεξιὸν κέρας σφῶν ἐκέλευσεν. αὐτὸς δὲ δαρεῖος τὸ μέσον τῆς πάσης τάξεως ἐπεῖχε, καθάπερ νόμος τοῖς

περσῶν

Carta 293

ut ante dixit



περσῶν βασιλεῦσι τετάχθαι· καὶ τὸν νοῦν τῆς τάξεως ταύτης, ξενοφῶν ὁ τοῦ γρύλλου ἀναγέγραφεν. ἐν τούτῳ δὲ ἀλέξανδρος κατιδὼν ὀλίγα πᾶσαν τὴν τῶν περσῶν ἵππον μετακεχωρηκυῖαν ἐπὶ τὸ εὐώνυμον τὸ ἑαυτοῦ, ὡς πρὸς τὴν θάλασσαν, αὐτῷ δὲ τοὺς πελοποννησίους μόνον, καὶ τοὺς ἄλλους τῶν ξυμμάχων ἱππέας ταύτῃ τεταγμένους, πέμπει κατὰ τάχος καὶ θεσσαλοὺς ἱππέας ἐπὶ τὸ εὐώνυμον, κελεύσας μὴ πρὸ τοῦ μετώπου τῆς πάσης τάξεως παριππεῦσαι, τοῦ μὴ καταφανεῖς τοῖς πολεμίοις γενέσθαι μεταχωροῦντας, ἀλλὰ κατόπιν τῆς φάλαγγος ἀφανῶς διελθεῖν. προέταξε δὲ τῶν μὲν ἱππέων κατὰ τὸ δεξιὸν τοὺς προδρόμους, ὧν ἡγεῖτο πρωτόμαχος, καὶ τοὺς παίονας, ὧν ἡγεῖτο ἀρίστων. τῶν δὲ πεζῶν, τοὺς τοξότας, ὧν ἦρχεν ἀντίοχος. τοὺς δὲ ἀγριᾶνας, ὧν ἦρχεν ἄτταλος, καὶ τῶν ἱππέων τινὰς, καὶ τῶν τοξοτῶν, ἐς ἐπικαμπὴν πρὸς τὸ ὄρος τὸ κατὰ νώτου ἔταξεν, ὥστε κατὰ τὸ δεξιὸν αὐτῷ τῆς φάλαγγος ἐς δύο κέρατα διέχουσαν τετάχθαι, τὸ μὲν ὡς πρὸς δα-

 ρεῖον

ῥεῖόν τε, καὶ τοὺς πέραν τοῦ ποταμοῦ τοὺς πάντας Πέρσας. τὸ δὲ ὡς πρὸς τοὺς ἐπὶ τῷ ὄρει κατὰ νώτου σφῶν τεταγμένους. τοῦ δὲ εὐωνύμου προὐτάχθησαν, τῶν μὲν πεζῶν, οἵ τε κρῆτες τοξόται, οἱ θρᾷκες, ὧν ἡγεῖτο σιτάλκης. πρὸ τούτων δὲ ἡ ἵππος, ἡ κατὰ τὸ εὐώνυμον. οἱ δὲ μισθοφόροι ξένοι, πᾶσιν ἐπετάχθησαν. ἐπεὶ δὲ οὔτε πυκνὴ αὐτῷ ἡ φάλαγξ ἐπὶ τὸ δεξιὸν τὸ ἑαυτοῦ ἐφαίνετο, πολύ τε ταύτῃ ὑπερφαλαγγήσειν οἱ πέρσαι ἐδόκουν ἐκ τοῦ μέσου, ἐκέλευσε δύο ἴλας τῶν ἑταίρων, τήν τε ἀνθεμουσίαν, ἧς ἰλάρχης ἦν περοίδας ὁ μενεσθέως, καὶ τὴν λαγαίαν καλουμένην, ἧς ἡγεῖτο παντόρδανος ὁ κλεάνδρου ἐπὶ τὸ δεξιὸν ἀφανῶς παρελθεῖν, καὶ τοὺς τοξότας δὲ καὶ μέρος τῶν ἀγριάνων καὶ τῶν ἑλλήνων μισθοφόρων, ἔστιν οὓς κατὰ τὸ δεξιὸν τὸ αὐτοῦ ἐπὶ μετώπου παραγαγὼν ἐξέτεινεν, ὑπὲρ τὸ τῶν περσῶν κέρας τὴν φάλαγγα. ἐπεὶ γὰρ οἱ ὑπὲρ τοῦ ὄρους τεταγμένοι οὔτε κατῄεσαν ἐκδρομῆς τε ἐπ' αὐτοὺς τῶν ἀγριάνων, καὶ τῶν τοξοτῶν ὀλίγων ἐπὶ πρόσταξιν ἀλεξάνδρου





δρου γενομένους, ῥᾳδίως ἀπὸ τῆς ὑπωρείας ἀνασταλέντες, ἐς τὸ ἄκρον ἀνέφυγον, ἔγνω καὶ τοῖς κατ' αὐτοὺς τεταγμένοις δυνατὸν ὂν, χρήσασθαι ἐς ἀναπλήρωσιν τῆς φάλαγγος, ἐκείνοις δὲ ἱππέας τριακοσίους ἐπιτάξαι ἐξήρκεσεν. οὕτω δὴ τεταγμένους, χρόνον μέν τινα προῆγεν ἀναπαύων, ὥς τε καὶ πάνυ ἔδοξε σχολαία γενέσθαι αὐτῷ ἡ πρόσοδος. τοὺς γὰρ βαρβάρους ὅπως τὰ πρῶτα ἐτάχθησαν, οὐκέτι ἀντεπῆγε δαρεῖος, ἀλλ' ἐπὶ τοῦ ποταμοῦ ταῖς ὄχθαις πολλαχῇ μὲν ἀποκρήμνοις οὔσαις, ἔπι δὲ ὅπου καὶ χάρακα παρατείνας αὐταῖς, ἵνα εὐφοδώτερα ἐφαίνετο, οὕτως ἔμενεν. καὶ ταύτῃ εὐθὺς δῆλος ἐγένετο τοῖς ἀμφ' ἀλέξανδρον τῇ γνώμῃ δεδουλωμένος. ὡς δὲ ὁμοῦ ἤδη ἦν τὰ στρατόπεδα. ἐνταῦθα παριππεύων πάντῃ ἀλέξανδρος, παρεκάλει ἄνδρας ἀγαθοὺς γίγνεσθαι. οὐ τῶν ἡγεμόνων μόνον τὰ ὀνόματα ξὺν τῷ πρέποντι κόσμῳ ἀνακαλῶν, ἀλλὰ καὶ ἰλάρχας, καὶ λοχαγοὺς ὀνομαστὶ καὶ τῶν ξένων τῶν μισθοφόρων, ὅσοι κατ' ἀξίωσιν,

ἤ τινα ἀρετὴν γνωσιμώτεροι ἦσαν. καὶ αὐτοῦ πανταχόθεν βοὴ ἐγένετο, μὴ διατείβειν, ἀλλὰ ἐσβάλλειν ἐς τοὺς πολεμίους. ἐς δὲ ἦγεν ἐν τάξει ἔτι, τὰ μὲν πρῶτα καίπερ ἐν ἀπόπτῳ ἤδη ἔχων τὴν δαρείου δύναμιν, βάδην τοῦ μὴ διασπασθῆναί τι ἐν τῇ ξυντονωτέρᾳ πορείᾳ κυμῆναν τῆς φάλαγγος. ὡς δὲ ἐντὸς βέλους ἐγίγνοντο, πρῶτοι δὴ οἱ κατ' ἀλέξανδρον, καὶ αὐτὸς ἀλέξανδρος ἐπὶ τοῦ δεξιοῦ τεταγμένος, δρόμῳ ἐς τὸν ποταμὸν ἐνέβαλον, ὡς τῇ τε ὀξύτητι τῆς ἐφόδου ἐκπλῆξαι τοὺς πέρσας, καὶ τοῦ θᾶσσον ἐς χεῖρας ἐλθόντας ὀλίγα πρὸς τῶν τοξοτῶν βλάπτεσθαι. καὶ ξυνέβη ὅπως εἴκασεν ἀλέξανδρος. εὐθὺς γὰρ ὡς ἐν χερσὶ ἡ μάχη ἐγένετο, τρέπονται τοῦ περσικοῦ στρατεύματος, οἱ κατὰ τὸ ἀριστερὸν κέρας ἐπιτεταγμένοι· καὶ ταύτῃ μὲν ἐνίκα λαμπρῶς ἀλέξανδρός τε, καὶ οἱ ἀμφ' αὐτόν. οἱ δὲ ἕλληνες οἱ μισθοφόροι, οἱ σὺν δαρείῳ, ᾗ διέσχε τῶν μακεδόνων ἡ φάλαγξ, ὡς ἐπὶ τὸ δεξιὸν κέρας παραρραγεῖσα, ὅτι ἀλέξανδρος μὲν σπουδῇ ἐς τὸν ποταμὸν ἐμβαλών, καὶ ἐν





χερσὶ τὴν μάχην ποιήσας, ἐξώθει ἤδη τοὺς ταύτῃ τεταγμένους τῶν περσῶν· οἱ δὲ κατὰ μέσον τῶν μακεδόνων, οὔτε τῇ ἴσῃ σπουδῇ ἥψαντο τοῦ ἔργου, καὶ πολλαχῇ κρημνώδεσι ταῖς ὄχθαις ἐντυγχάνοντες, τὸ μέτωπον τῆς φάλαγγος οὐ δυνατοὶ ἐγένοντο ἐν τῇ αὐτῇ τάξει διασώσασθαι, ταύτῃ ἐμβάλλουσιν οἱ ἕλληνες τοῖς μακεδόσιν, ᾗ μάλιστα διεσπασμένην αὐτοῖς τὴν φάλαγγα κατεῖδον. καὶ τὸ ἔργον ἐνταῦθα καρτερὸν ἦν, τῶν μὲν ἐς τὸν ποταμὸν ἀπώσασθαι τοὺς μακεδόνας, καὶ τὴν νίκην τοῖς ἤδη φεύγουσιν σφῶν ἀνασώσασθαι· τῶν μακεδόνων δὲ τῆς τε ἀλεξάνδρου ἤδη φαινομένης εὐπραγίας μὴ λειφθῆναι, καὶ τῆς δόξης τῆς φάλαγγος, ὡς ἀμάχου δὴ ἐς τὸ τότε διαβεβοημένης μὴ ἀφανίσαι. καίτοι καὶ τοῖς γένεσι τοῦ τε ἑλληνικοῦ καὶ τοῦ μακεδονικοῦ φιλοτιμίας ἐνέπεσεν ἐς ἀλλήλους. καὶ ἐνταῦθα πίπτει πτολεμαῖός τε ὁ σελεύκου, ἀνὴρ ἀγαθὸς γενόμενος, καὶ ἄλλοι ἐς εἴκοσι μάλιστα καὶ ἑκατὸν τῶν οὐκ ἠμελημένων μακεδόνων. ἐν τούτῳ δὲ αἱ ἀπὸ τοῦ δεξιοῦ κέρως



τὴν δόξαν · καί τι

τάξεις τετραμμένους ἤδη τοὺς κατὰ σφᾶς τῶν περσῶν ὁρῶντες ἐπὶ τοὺς ξένους τε τοὺς μισθοφόρους τοὺς δαρείου, καὶ τὸ πονούμενον σφῶν ἐπικάμψαντες, ἀπὸ τοῦ ποταμοῦ ἀπώσαντο αὐτούς· καὶ ἐπὶ τὸ παρερρωγὸς τοῦ περσικοῦ στρατεύματος ὑπερφαλαγγήσαντες, ἐς τὰ πλάγια ἐμβεβληκότες ἤδη ἔκοπτον τοὺς ξένους· καὶ οἱ ἱππεῖς δὲ οἱ τῶν περσῶν κατὰ τοὺς θεσσαλοὺς τεταγμένοι, οὐκ ἔμειναν ἐντὸς τοῦ ποταμοῦ ἐν αὐτῷ τῷ ἔργῳ, ἀλλ' ἐπιδιαβάντες εὐρώστως ἐνέβαλλον εἰς τὰς ἴλας τῶν θετταλῶν· καὶ ταύτῃ ξυνέστη ἱππομαχία κρατερά, οὐδὲ πρόσθεν ἐνέκλιναν οἱ πέρσαι, πρὶν δαρεῖόν τε πεφευγότα ᾔσθοντο, καὶ πρὶν ἀπορραγῆναι σφῶν τοὺς μισθοφόρους συγκοπέντας ὑπὸ τῆς φάλαγγος. τότε δὲ ἤδη λαμπρά τε καὶ ἐκ πάντων ἡ φυγὴ ἐγίγνετο, καὶ οἵ τε τῶν περσῶν ἵπποι ἐν τῇ ἀναχωρήσει ἐκακοπάθουν, βαρέως ὡπλισμένους τοὺς ἐμβάτας σφῶν φέροντες, καὶ αὐτοὶ οἱ ἱππεῖς ἐπὶ στενὰς ὁδοὺς, πλήθει τε πολλοὶ καὶ πεφοβημένως, σὺν ἀταξίᾳ ἀποχωροῦν-

τες



τες, οὐ μεῖον ὑπ' ἀλλήλων καταπατούμενοι, καὶ πρὸς τῶν διωκόντων πολεμίων ἐβλάπτοντο, καὶ οἱ θεσσαλοὶ εὐρώστως αὐτοῖς ἐπέκειντο· ὥστε οὐ μεῖον, ἢ ὡς πεζῶν φόνος ἐν τῇ φυγῇ τῶν ἱππέων ἐγίγνετο.

δαρεῖος δὲ ὡς αὐτῷ τὸ πρῶτον ὑπ' ἀλεξάνδρου ἐφοβήθη τὸ κέρας τὸ εὐώνυμον, καὶ ταύτῃ ἀπορρηγνύμενον κατεῖδε τοῦ ἄλλου στρατοπέδου, εὐθὺς ὡς εἶχεν, ἐπὶ τοῦ ἅρματος σὺν τοῖς πρώτοις ἔφευγε· καὶ ἔστε μὲν ὁμαλοῖς χωρίοις ἐν τῇ φυγῇ ἐτύγχανεν, ἐπὶ τοῦ ἅρματος διεσώζετο. ὡς δὲ φάραγξί τε, καὶ ἄλλαις δυσχωρίαις ἐνέκυρσε, τὸ μὲν ἅρμα ἀπολείπει αὐτοῦ καὶ τὴν ἀσπίδα, καὶ τὸν κάνδυν ἐκδύεται· ὁ δὲ, καὶ τὸ τόξον ἀπολείπει ἐπὶ τοῦ ἅρματος. αὐτὸς δὲ ἵππου ἐπιβὰς, ἔφευγε. καὶ ἡ νὺξ οὐ διὰ μακροῦ ἐπιγινομένη, ἀφείλετο αὐτὸν, τὸ πρὸς ἀλέξανδρον ἁλῶναι. ἀλέξανδρος γὰρ ἔστε μὲν φάος ἦν, ἐς τὸ ἔμπαλιν ἀπετρέπετο, ὡς ἐπὶ τὸ στρατόπεδον. τὸ μέν τοι ἅρμα τὸ δαρείου ἔλαβε, καὶ τὴν ἀσπίδα ἐπ' αὐτῷ, καὶ τὸν κάνδυν,

 καὶ

καὶ τὸ τόξον. καὶ γὰρ καὶ ἡ δίωξις βραδυτέρα αὐτῷ ἐγεγόνει, ὅτι ἐν τῇ πρώτῃ παραῤῥήξει τῆς φάλαγγος ἐπιστρέψας, καὶ αὐτὸς οὐ πρόσθεν ἐς τὸ διώκειν ἐτράπετο, πρὶν τούς τε μισθοφόρους τοὺς ξένους, καὶ τὸ τῶν περσῶν ἱππικὸν ἀπὸ τοῦ ποταμοῦ ἀπωσθέντας κατεῖδε. τῶν δὲ περσῶν ἀπέθανον μὲν, ἀρσάμης, καὶ ῥεομίθρης, καὶ ἀτιζύης τῶν ἐπὶ γρανικῷ ἡγησαμένων τοῦ ἱππικοῦ. ἀποθνήσκει δὲ καὶ σαβάκης ὁ αἰγύπτου σατράπης, καὶ βουβάκης τῶν ἐντίμων περσῶν. τὸ δὲ ἄλλο πλῆθος, ἐς δέκα μάλιστα μυριάδας· καὶ ἐν τούτοις, ἱππεῖς ὑπὲρ τοὺς μυρίους. ὥς τε λέγει πτολεμαῖος ὁ λάγου, ξυνεπισπόμενος τότε ἀλεξάνδρῳ, τοὺς μετὰ σφῶν διώκοντας δαρεῖον, ὡς ἐπὶ φάραγγί τινὶ ἐν τῇ διώξει ἐγένοντο, ἐπὶ τῶν νεκρῶν διαβῆναι τὴν φάραγγα. τό τε στρατόπεδον τὸ δαρείου εὐθὺς ἐξ ἐφόδου ἑάλω, καὶ ἡ μήτηρ, καὶ ἡ γυνὴ, αὐτὴ δὲ καὶ ἡ ἀδελφὴ δαρείου, καὶ υἱὸς δαρείου νήπιος. καὶ θυγατέρες δύο ἑάλωσαν, καὶ ἄλλαι ἀμφ' αὐτὰς περσῶν τῶν ὁμοτίμων γυναῖκες οὐ

πολλαί.



πολλαί. οἱ γὰρ ἄλλοι πέρσαι τὰς γυναῖκας σφῶν ξὺν τῇ ἄλλῃ κατασκευῇ, ἐς δαμασκὸν ἔτυχον ἐσταλκότες. ἐπεὶ καὶ δαρεῖος τῶν τε χρημάτων τὰ πολλὰ, καὶ ὅσα ἄλλα μεγάλῳ βασιλεῖ ἐς πολυτελῆ δίαιταν, καὶ στρατευομένῳ ὅμως συνέπεται, πεπόμφει ἐς δαμασκόν. ὥς τε ἐν τῷ στρατεύματι οὐ πλείονα τρισχίλια τάλαντα ἑάλω. ἀλλὰ καὶ τὰ ἐν δαμασκῷ χρήματα ὀλίγον ὕστερον ἑάλω ὑπὸ παρμενίωνος, ἐπ' αὐτὸ τοῦτο σταλέντος. τοῦτο τέλος τῇ μάχῃ ἐκείνῃ ἐγένετο ἐπὶ ἄρχοντος ἀθηναίοις νικοκράτου, μηνὸς μαιμακτηριῶνος. τῇ δὲ ὑστεραίᾳ, καίπερ τετρωμένος τὸν μηρὸν ἀλέξανδρος ξίφει, ὁ δὲ τοὺς τραυματίας ἐπῆλθε, καὶ τοὺς νεκροὺς ξυναγαγὼν, ἔθαψε μεγαλοπρεπῶς, σὺν τῇ δυνάμει πάσῃ ἐκτεταγμένῃ, ὡς λαμπρότατα ἐς πόλεμον, καὶ λόγῳ τε ἐπεκόσμησεν, ὅσοις τι διαπρεπὲς ἔργον ἐν τῇ μάχῃ, ἢ αὐτὸς ξυνέγνω εἰργασμένον, ἢ ἀκοῇ συμφωνούμενον ἔλαβε, καὶ χρημάτων ἐπιδόσει ὡς ἑκάστους σὺν τῇ ἀξίᾳ ἐτίμησε. καὶ κιλικίας μὲν ἀποδεικνύει σατράπην,

Βάλα

βαλάκρον τὸν νικάνορος ἕνα τῶν σωματο-
φυλάκων τῶν βασιλικῶν. ἀντὶ δὲ τούτου,
ἐς τοὺς σωματοφύλακας κατέλεξε, μένη-
τα τὸν διονυσίου· ἀντὶ δὲ πτολεμαίου τοῦ σε-
λεύκου τοῦ ἀποθανόντος ἐν τῇ μάχῃ, πο-
λυπέρχοντα τὸν σιμμίου ἄρχειν ἀπέδειξε
τῆς ἐκείνου τάξεως. καὶ σολεῦσι, τά τε πεν-
τήκοντα τάλαντα, ἃ ἔτι ἐνδεᾶ ἦν ἐκ τῶν
ἐπικληθέντων σφίσι χρημάτων ἀνῆκε, καὶ
τοὺς ὁμήρους ἀπέδωκεν. οὐδὲ τῆς μη-
τρὸς τῆς δαρείου, οὐδὲ τῆς γυναικὸς ἢ τῶν
παίδων ἠμέλησεν, ἀλλὰ λέγουσί τινες τῶν
τὰ ἀλεξάνδρου γραψάντων, τῆς νυκτὸς
αὐτῆς ᾗ ἀπὸ τῆς διώξεως τῆς δαρείου ἐπα-
νῆκεν, ἐς τὴν σκηνὴν, παρελθόντα αὐτὸν
τὴν δαρείου, ἥτις αὐτῷ ἐξῃρημένη ἦν, ἀ-
κοῦσαι γυναικῶν οἰμωγὴν, καὶ ἄλλον τοι-
οῦτον θόρυβον οὐ πόρρω τῆς σκηνῆς. πυθέ-
σθαι οὖν αἵτινες γυναῖκες, καὶ ἀνθ᾽ ὅτου
οὕτως ἐγγὺς παρασκηνοῦσαι, καί τινα ἐξ-
αγγεῖλαι, ὅτι ὦ βασιλεῦ ἡ μήτηρ τε καὶ ἡ
γυνὴ δαρείου καὶ οἱ παῖδες, ὡς ἐξηγγέλ-
θη αὐταῖς, ὅτι τὸ τόξον τε τὸ δαρείου
ἔχεις,

ἔχεις, καὶ τὴν κάνδυν τὴν βασιλικὴν, καὶ ἡ
ἀσπὶς ὅτι κεκόμισται ὀπίσω ἡ δαρείου, ὡς
ἐπὶ τεθνεῶτι δαρείῳ ἀνοιμώζουσιν. ταῦτα
ἀκούσαντα ἀλέξανδρον, πέμψαι πρὸς αὐ-
τὰς λεοννάτον ἕνα τῶν ἑταίρων, ἐντειλάμε-
νον φράσαι, ὅτι ζῇ δαρεῖος· τὰ δὲ ὅπλα
καὶ τὴν κάνδυν, ὅτι φεύγων ἀπέλιπεν ἐπὶ
τῷ ἅρματι· καὶ ταῦτα ὅτι μόνον ἔχει ἀλέ-
ξανδρος· καὶ λεοννάτον παρελθόντα ἐς
τὴν σκηνὴν, τά τε περὶ δαρείου εἰπεῖν, καὶ
ὅτι τὴν θεραπείαν αὐταῖς ξυγχωρεῖ ἀλέ-
ξανδρος τὴν βασιλικὴν, καὶ τὸν ἄλλον κόσ-
μον, καὶ καλεῖσθαι βασιλίσσας. ἐπεὶ οὐδὲ
κατ᾽ ἔχθραν οἱ γενέσθαι τὸν πόλεμον τὸν πρὸς
δαρεῖον, ἀλλ᾽ ὑπὲρ τῆς ἀρχῆς τῆς ἀσίας, δια-
πεπολεμῆσθαι ἐννόμως. ταῦτα μὲν πτολε-
μαῖος καὶ ἀριστόβουλος λέγουσι. λόγος
δὲ ἔχει καὶ αὐτὸν ἀλέξανδρον τῇ ὑστεραίᾳ
ἐλθεῖν εἴσω ξὺν ἡφαιστίωνι μόνῳ τῶν ἑταί-
ρων, καὶ τὴν μητέρα τὴν δαρείου ἀμφιγνο-
ήσασαν, ὅστις ὁ βασιλεὺς εἴη αὐτοῖν· ἐστάλ-
θαι γὰρ ἄμφω τῷ αὐτῷ κόσμῳ, τὴν δὲ ἡφαιστί-
ωνι προσελθεῖν, καὶ προσκυνῆσαι, ὅτι μείζων
ἐφάνη

∴ γρ. νενεωλκημένας



ἐφάνη ἐκεῖνος. ὡς δὲ ὁ ἡφαιστίων τε ὀπίσω
ἀπεχώρησε, καί τις τῶν ἀμφ' αὐτὴν τὸν ἀλέ-
ξανδρον δείξας, ἐκεῖνον ἔφη εἶναι ἀλέξαν-
δρον, τὴν μὲν καταιδεσθεῖσαν τῇ διαμαρ-
τίᾳ ἀποχωρεῖν, ἀλέξανδρον δὲ οὐ φάναι αὐ-
τὴν ἁμαρτεῖν· καὶ γὰρ ἐκεῖνον εἶναι ἀλέξαν-
δρον. καὶ ταῦτα ἐγὼ, οὐχ ὡς ἀληθῆ, οὔτε
ὡς πάντῃ ἄπιστα ἀνέγραψα. ἀλλ' εἴτε οὕ-
τως ἐπράχθη, ἐπαινῶ ἀλέξανδρον τῆς τε
ἐς τὰς γυναῖκας κατοικτίσεως, καὶ τῆς ἐς
τὸν ἑταῖρον πίστεως καὶ τιμῆς· εἴτε πιθα-
νῶς δοκεῖ τοῖς ξυγγράψασιν ἀλέξανδρος,
ὡς καὶ ταῦτα ἂν πρᾶξαι καὶ εἰπεῖν, καὶ
ἐπὶ τῷδε ἐπαινῶ ἀλέξανδρον. δαρεῖος δὲ
τὴν μὲν νύκτα ξὺν ὀλίγοις τοῖς ἀμφ' αὐτὸν
ἔφυγε, τῇ δὲ ἡμέρᾳ ἀναλαμβάνων ἀεὶ τῶν
τε περσῶν τοὺς διασωθέντας ἐκ τῆς μάχης,
καὶ τῶν ξένων τῶν μισθοφόρων, ἐς τετρακι-
σχιλίους ἔχων τοὺς πάντας, ὡς ἐπὶ θάψακόν
τε πόλιν καὶ τὸν εὐφράτην ποταμὸν, ἀπὸ
σπουδῆς ἤλαυνε, ὡς τάχιστα μέσον αὐτοῦ τε καὶ
τοῦ ἀλεξάνδρου τὸν εὐφράτην ποιῆσαι. ἀ-
μύντας μὲν ὁ ἀντιόχου, καὶ θυμώνδης ὁ μέν-
τορος,

De Amynta & aliis transfugis



τορος, καὶ ἀριστομήδης ὁ φεραῖος, καὶ βιά-
νωρ ὁ ἀκαρνὰν, ξύμπαντες οὗτοι αὐτόμολοι
μετὰ τῶν ἀμφ' αὐτοὺς στρατιωτῶν ὡς ὀκτα-
κισχιλίων, εὐθὺς ὡς τεταγμένοι ἦσαν κατὰ
τὰ ὄρη, φεύγοντες ἀφίκοντο ἐς τρίπολιν
τῆς φοινίκης, καὶ ἐνταῦθα καταλαβόντες
τὰς ναῦς νεωλκημένας, ἐφ' ὧν πρόσθεν ἐκ
λέσβου διακεκομισμένοι ἦσαν. τούτων ὅσαι
μὲν ἱκαναὶ σφίσιν ἐς τὴν κομιδὴν ἐδό-
κουν, ταύτας καθελκύσαντες, τὰς δὲ ἄλ-
λας αὐτοῦ ἐν τοῖς νεωρίοις κατακαύσαντες,
ὡς μὴ παρασχεῖν ταχεῖαν σφῶν τὴν δίω-
ξιν, ἐπὶ κύπρου ἔφυγον, καὶ ἐκεῖθεν ἐς αἴ-
γυπτον, ἵνα πρὸ ὀλίγον ὕστερον πολυπρα-
γμονῶν τι ἀμύντας, ἀποθνήσκει ὑπὸ τῶν
ἐγχωρίων. φαρνάβαζος δὲ καὶ αὐτοφρα-
δάτης, τέως μὲν περὶ τὴν χίον διέτριβον·
καταστήσαντες δὲ φρουρὰν τῆς χίου, τὰς
μέν τινας τῶν νεῶν ἐς κῶ καὶ ἁλικαρνασσὸν
ἔστειλαν, αὐτοὶ δὲ ἑκατὸν ναυσὶ ταῖς ἄριστα
πλεούσαις ἀναγόμενοι ἐς σίφνον, κατέ-
σχον. καὶ παρ' αὐτοὺς ἀφικνεῖται ἄγις ὁ λα-
κεδαιμονίων βασιλεὺς, ἐπὶ μιᾶς τριήρους,
χρήμα

χρήματά τε αἰτήσων ἐς τὸν πόλεμον, καὶ
δύναμιν ναυτικήν τε καὶ πεζικὴν, ὅσην πλεί-
στην ἀξιώσων συμπέμψαι οἱ ἐς τὴν πελο-
πόννησον. καὶ ἐν τούτῳ ἀγγελία αὐτοῖς ἔρχε-
ται τῆς μάχης, τῆς πρὸς ἰσσῷ γενομένης. ἐκ-
πλαγέντων δὲ πρὸς τὰ ἐξαγγελθέντα, φαρ-
νάβαζος μὲν σὺν δώδεκα τριήρεσι, καὶ
τῶν μισθοφόρων ξένων ξὺν χιλίοις καὶ πεν-
τακοσίοις, ἐπὶ χίου ἐστάλη, δείσας μή τι πρὸς
τὴν ἀγγελίαν τῆς ἥττης οἱ χῖοι νεωτερίσω-
σιν. ἆγις δὲ παρ᾽ αὐτοφραδάτην τάλαντα
ἀργυρίου λαβὼν τριάκοντα, καὶ τριήρεις
δέκα, ταύτας μὲν ἱππίαν ἄξοντα ἀποστέλ-
λει παρὰ τὸν ἀδελφὸν αὐτοῦ ἀγησίλαον
ἐπὶ ταίναρον, καὶ παραγγέλλειν ἐκέλευσεν
ἀγησιλάῳ, διδόντα τοῖς ναύταις ἐντελῆ τὸν
μισθὸν πλεῖν τὴν ταχίστην ἐπὶ κρήτης, ὡς
τὰ ἐκεῖ καταστησόμενον. αὐτὸς δὲ, τότε μὲν
αὐτοῦ ἐν ταῖς νήσοις κατέμενεν, ὕστερον δὲ
εἰς ἁλικαρνασσὸν, παρ᾽ αὐτοφραδάτην ἀφί-
κετο. ἀλέξανδρος δὲ σατράπην μὲν συ-
ρίας τῆς κοίλης μένωνα τὸν κερδίμμαν ἐπέτα-
ξε, δοὺς αὐτῷ εἰς φυλακὴν τῆς χώρας, τοὺς
τῶν

ι. νήσοις

κ. ἡ. κερδίμμα



τῶν συμμάχων ἱππέας. αὐτὸς δὲ ἐπὶ φοινί-
κης ᾔει. καὶ ἀπαντᾷ αὐτῷ κατὰ τὴν ὁδὸν,
στράτων ὁ γηροστράτου παῖς τοῦ ἀραδίων
καὶ τῶν ἄραδον προσοίκων βασιλέως. ὁ δὲ
γηρόστρατος αὐτὸς μετ᾽ αὐτοφραδάτην ἔ-
πλει ξὺν τῶν νεῶν, καὶ οἱ ἄλλοι, οἵ, τε τῶν
φοινίκων καὶ οἱ τῶν κυπρίων βασιλεῖς,
καὶ αὐτοὶ αὐτοφραδάτῃ ξυνέπλεον. στρά-
των δὲ ἀλεξάνδρῳ ἐντυχὼν, στεφανοῖ χρυ-
σῷ στεφάνῳ αὐτὸν, καὶ τήν τε ἄραδον αὐ-
τῷ τὴν νῆσον, καὶ τὴν μάραθον τὴν κα-
τὰ ἀντικρὺ τῆς ἀράδου ἐν τῇ ἠπείρῳ ᾠκισ-
μένην πόλιν μεγάλην καὶ εὐδαίμονα, καὶ
μαριάμμην πόλιν, καὶ τ᾽ ἄλλα ὅσα τῆς
σφῶν ἐπικρατείας ἐνδίδωσιν. ἔτι δὲ ἐν
μαράθῳ ἀλεξάνδρου ὄντος, ἀφικνοῦντο πα-
ρὰ δαρείου πρέσβεις, ἐπιστολήν τε κομί-
ζοντες δαρείου, καὶ αὐτοὶ ἀπὸ γλώσσης
δεησόμενοι, ἀφῆναι δαρείῳ τὴν μητέρα,
καὶ τὴν γυναῖκα, καὶ τοὺς παῖδας. ἐδή-
λου δὲ ἡ ἐπιστολὴ, ὅτι φιλίππῳ τε πρὸς
ἀρταξέρξην φιλία καὶ συμμαχία ἐγένε-
το. καὶ ἐπειδὴ ἄρσης ὁ υἱὸς ἀρταξέρξου
ἐβασι-

ιι. ἡ. ἀφεῖναι

ἐβασίλευσεν, ὅτι φίλιππος ἀδικίας πρῶτος ἐς βασιλέα ἀρσῆν ἦρξεν, οὐδὲν ἄχαρι ἐκ περσῶν παθών. ἐξ οὗ δὲ αὐτὸς βασιλεύει περσῶν, οὔτε πέμψαι τινὰ ἀλέξανδρον παρ᾽ αὐτὸν ἐς βεβαίωσιν τῆς πάλαι οὔσης φιλίας τε καὶ συμμαχίας, διαβῆναι αὐτὸς τὴν χώραν ἀμύνων, καὶ τὴν ἀρχὴν τὴν πατρῴαν ἀνασώσων. τὴν μὲν δὴ μάχην, ὡς θεῶν τῳ ἔδοξεν, οὕτω κριθῆναι· αὐτὸς δὲ βασιλεὺς παρὰ βασιλέως, γυναῖκά τε τὴν αὐτοῦ αἰτεῖν, καὶ μητέρα καὶ παῖδας τοὺς ἁλόντας, καὶ φιλίαν ἐθέλειν ποιήσασθαι πρὸς ἀλέξανδρον, καὶ ξύμμαχος εἶναι ἀλεξάνδρῳ. καὶ ὑπὲρ τούτων πέμπειν ἠξίου ἀλέξανδρον παρ᾽ αὐτὸν, ξὺν μενίσκῳ τε καὶ ἀρσίμᾳ τοῖς ἀγγέλοις, τοῖς ἐκ περσῶν ἥκουσι, τοὺς τὰ πιστὰ ληψομένους τε καὶ ὑπὲρ ἀλεξάνδρου δώσοντας. πρὸς ταῦτα ἀντιγράφει ἀλέξανδρος, καὶ ξυμπέμπει τοῖς παρὰ δαρείου ἐλθοῦσι θέρσιππον, παραγγείλας τὴν ἐπιστολὴν δοῦναι δαρείῳ, αὐτὸν δὲ μὴ διαλέγεσθαι ὑπὲρ μηδενός. ἡ δὲ ἐπιστολὴ ἀλεξάνδρου ὧδε ἔχει. Οἱ ὑμέτεροι πρό-

γονοι



γονοι ἐλθόντες εἰς μακεδονίαν, καὶ εἰς τὴν ἄλλην ἑλλάδα, κακῶς ἐποίησαν ἡμᾶς, οὐδὲν προηδικημένοι. ἐγὼ δὲ τῶν ἑλλήνων ἡγεμὼν κατασταθείς, καὶ τιμωρήσασθαι βουλόμενος πέρσας, διέβην εἰς τὴν ἀσίαν ὑπαρξάντων ἡμῶν. καὶ γὰρ περινθίοις ἐβοηθήσατε, οἳ τὸν ἐμὸν πατέρα ἠδίκουν. καὶ εἰς θρᾴκην, ἧς ἡμεῖς ἄρχομεν, δύναμιν ἔπεμψεν ὦχος. τοῦ δὲ πατρὸς ἀποθανόντος ὑπὸ τῶν ἐπιβουλευσάντων, οὓς ὑμεῖς συνετάξατε, ὡς αὐτοὶ ἐν ταῖς ἐπιστολαῖς πρὸς ἅπαντας ἐκομπάσατε, καὶ ἀρσῆν ἀποκτείναντός σου μετὰ βαγώου, καὶ τὴν ἀρχὴν κατασχόντος οὐ δικαίως, οὐδὲ κατὰ τὸν περσῶν νόμον, ἀλλὰ ἀδικοῦντος πέρσας, καὶ ὑπὲρ ἐμοῦ πρὸς τοὺς ἕλληνας γράμματα οὐκ ἐπιτήδεια διαπέμποντος, ὅπως πρός με πολεμῶσι, καὶ χρήματα ἀποστέλλοντος πρὸς λακεδαιμονίους, καὶ ἄλλους τινὰς τῶν ἑλλήνων, καὶ τῶν μὲν ἄλλων πόλεων οὐδεμιᾶς δεχομένης, λακεδαιμονίων τε λαβόντων, καὶ τῶν παρὰ σοῦ πεμφθέντων τοὺς ἐμοὺς φίλους διαφθειράντων, καὶ

τὴν εἰρήνην ἣν τοῖς ἕλλησι κατεσκεύασε, διαλύειν ἐπιχειρούντων, ἐστράτευσα ἐπὶ σέ, ὑπάρξαντός σου τῆς ἔχθρας. ἐπεὶ δὲ μάχῃ νενίκηκα πρότερον μὲν τοὺς σοὺς στρατηγοὺς, καὶ σατράπας. νῦν δὲ σὲ καὶ τὴν μετὰ σοῦ δύναμιν, καὶ τὴν χώραν ἔχω τῶν θεῶν μοι δόντων, ὅσοι τῶν μετὰ σοῦ παραταξαμένων μὴ ἐν τῇ μάχῃ ἀπέθανον, ἀλλὰ παρ' ἐμὲ κατέφυγον, τούτων ἐπιμέλομαι, καὶ οὐκ ἄκοντες παρ' ἐμοί εἰσιν, ἀλλ' αὐτοὶ ἑκόντες ξυστρατεύονται μετ' ἐμοῦ. ὡς οὖν ἐμοῦ τῆς ἀσίας ἁπάσης κυρίου ὄντος, ἧκε πρὸς ἐμέ. εἰ δὲ φοβῇ μὴ ἐλθὼν πάθῃς τι ἐξ ἐμοῦ ἄχαρι, πέμπε τινὰς τῶν φίλων τὰ πιστὰ ληψομένους. ἐλθὼν δὲ πρός με, τὴν μητέρα καὶ τὴν γυναῖκα, καὶ τοὺς παῖδας, καὶ εἰ ἄλλο τι θέλεις, αἴτει καὶ λάμβανε. ὅτι γὰρ ἂν πείθῃς ἐμέ, ἔσται σοι. καὶ τοῦ λοιποῦ ὅταν παρ' ἐμέ, ὡς πρὸς βασιλέα τῆς ἀσίας πέμπε, μὴ δὲ ἐξ ἴσου ἐπίστελλε, ἀλλ' ὡς κυρίῳ ὄντι πάντων τῶν σῶν, φράζε εἴ του δέει. εἰ δὲ μή, ἐγὼ βουλεύσομαι περὶ σοῦ ὡς ἀδικοῦντος. εἰ δὲ ἀντιλέγεις



/ γρ. ἐγκατελείφθησαν



περὶ τῆς βασιλείας, ὑπομείνας ἔτι ἀγώνισαι περὶ αὐτῆς, καὶ μὴ φεῦγε, ὡς ἐγὼ ἐπὶ σὲ πορεύσομαι, οὗ ἂν ᾖς.

Πρὸς μὲν δαρεῖον ταῦτα ἀπέστειλεν. ἐπεὶ δὲ ἔμαθε τά τε χρήματα, ὅσα σὺν κωφῆνι τῷ ἀρταβάζου ἀποπεπόμφει ἐς δαμασκὸν δαρεῖος, ὅτι ἑάλωκε, καὶ ὅσοι περσῶν ἀμφ' αὐτὰ ἐγκατελήφθησαν σὺν τῇ ἄλλῃ βασιλικῇ παρασκευῇ, ὅτι καὶ οὗτοι ἑάλωσαν, ταῦτα μὲν ὀπίσω κομίσαντα ἐς δαμασκὸν παρμενίωνα φυλάσσειν ἐκέλευε. τοὺς δὲ πρέσβεις ἐκ τῶν ἑλλήνων, οἳ πρὸς δαρεῖον πρὸ τῆς μάχης ἀφιγμένοι ἦσαν, ἐπεὶ καὶ τούτους ἑαλωκέναι ἔλαβεν, παρ' αὐτὸν πέμπειν ἐκέλευσεν. ἦσαν δέ, εὐθυκλῆς μὲν σπαρτιάτης, θεσσαλίσκος δὲ ἰσμηνίου καὶ διονυσίδωρος ὀλυμπιονίκης θηβαῖοι, ἰφικράτης δὲ ὁ ἰφικράτους στρατηγὸς ἀθηναῖος. καὶ οὗτοι ὡς ἧκον παρ' ἀλέξανδρον, θεσσαλίσκον μὲν καὶ διονυσόδωρον, καίπερ θηβαίους ὄντας, εὐθὺς ἀφῆκε· τὸ μέντοι κατοικτίσει

τῶν θηβαίων, τὸ δέ, ὅτι συγγνωστὰ δεδρακέναι ἐφαίνοντο, ἠνδραποδισμένης ὑπὸ μακεδόνων τῆς πατρίδος σφίσιν τε ἥν τινα ἠδύναντο ὠφέλειαν εὑρισκόμενοι, καὶ δή τινα καὶ τῇ πατρίδι ἐκ περσῶν καὶ δαρείου. τούτους μὲν ὑπὲρ ἀμφοῖν ἐπιεικῆ ἐνθυμηθείς, ἰδίᾳ δὲ θεσσαλίσκον μὲν αἰδοῖ τοῦ γένους ἀφιέναι ἔφη, ὅτι τῶν ἐπιφανῶν θηβαίων ἦν. διονυσόδωρος δέ, ἐπὶ τῇ νίκῃ τῶν ὀλυμπίων· ἰφικράτην δέ, φιλίᾳ τε τῆς ἀθηναίων πόλεως, καὶ μνήμῃ τῆς δόξης τοῦ πατρός, ζῶντά τε ἀμφ' αὐτὸν ἔχων ἐν τοῖς μάλιστα ἐτίμησε· καὶ νόσῳ τελευτήσαντος, τὰ ὀστᾶ ἐς τὰς ἀθήνας τοῖς πρὸς γένους ἀπέπεμψε. εὐθυκλέα τε λακεδαιμόνιόν τε ὄντα, πόλεως περιφανοῦς, ἐχθρᾶς ἐν τῷ τότε, καὶ αὐτὸν οὐδὲν ἰδίᾳ εὑρισκόμενον ἐς ξυγγνώμην, ὅτι δὲ καὶ λόγου ἄξιον, τὰ μὲν πρῶτα ἐν φυλακῇ ἀδέσμῳ εἶχεν. ὕστερον δέ, ὡς ἐπὶ μεγάλα εὐτύχει, καὶ τοῦτον ἀφῆκεν. ἐκ μαράθου δὲ ὁρμηθείς, βύβλον τε λαμβάνει ὁμολογίᾳ ἐνδοθεῖσαν, καὶ σιδῶνα, αὐτῶν σιδωνίων ἐπικαλεσαμένων, κατὰ

τὰ



τὰ ἔχθραν τῶν περσῶν καὶ δαρείου. ἐντεῦθεν δὲ προὐχώρει, ὡς ἐπὶ τύρον, καὶ ἐντυγχάνουσιν αὐτῷ κατὰ τὴν ὁδὸν πρέσβεις τυρίων, ἀπὸ τοῦ κοινοῦ ἐσταλμένοι, ὡς ἐγνωκότων τυρίων πράσσειν, ὅτι ἂν ἐπαγγέλλῃ ἀλέξανδρος. ὁ δέ, τήν τε πόλιν ἐπαινέσας, καὶ τοὺς πρέσβεις (καὶ γὰρ ἦσαν τῶν ἐπιφανῶν ἐν τύρῳ οἵ τε ἄλλοι, καὶ ὁ τοῦ βασιλέως τῶν τυρίων παῖς. αὐτὸς δὲ ὁ βασιλεὺς ἀζέμιλκος μετ' αὐτοφραδάτου ἔπλει) ἐκέλευσεν ἐπανελθόντας φράσαι τυρίοις, ὅτι ἐθέλοι παρελθὼν ἐς τὴν πόλιν θῦσαι τῷ ἡρακλεῖ. ἔστι γὰρ ἐν τύρῳ ἱερὸν ἡρακλέους παλαιότητα ὧν μνήμη ἀνθρωπίνη διασώζεται, οὐ τοῦ ἀργείου ἡρακλέους τοῦ τῆς ἀλκμήνης. πολλαῖς γὰρ γενεαῖς πρότερον τιμᾶται ἐν τύρῳ ἡρακλῆς, ἢ κάδμον ἐκ φοινίκης ὁρμηθέντα θήβας κατασχεῖν, καὶ τὴν παῖδα κάδμῳ τὴν σεμέλην γενέσθαι, ἐξ ἧς, καὶ ὁ τοῦ διὸς διόνυσος γίνεται. διόνυσος μὲν δὴ τρίτος ἂν ἀπὸ κάδμου εἴη, κατὰ λάβδακον τὸν πολυδώρου τοῦ κάδμου παῖδα. ἡρακλῆς δὲ ὁ ἀργεῖος, κατ' οἰδίπο-

δα

i. tempore labdaci

f. παλαιότατον
ῶν

δα μάλιστα τὸν λαὸν σέβουσι δὲ καὶ αἰγύπτιοι ἄλλον ἡρακλέα, οὐχ ὅνπερ τύριοι, ἢ ἕλληνες. ἀλλὰ λέγει ἡρόδοτος, ὅτι τῶν δώδεκα θεῶν ἡρακλέα ἄγουσιν αἰγύπτιοι, καθάπερ καὶ ἀθηναῖοι διόνυσον, τὸν διὸς καὶ κόρης σέβουσιν, ἄλλον τοῦτον διόνυσον. καὶ ὁ ἴακχος ὁ μυστικὸς τούτῳ τῷ διονύσῳ, οὐχὶ τῷ θηβαίῳ ἐπᾴδεται. ὡς τόν γε ἐν ταρτησσῷ πρὸς ἰβήρων τιμώμενον ἡρακλέα, ἵνα καὶ στῆλαί τινες ἡρακλέους ὠνομασμέναι εἰσί, δοκῶ ἐγὼ τὸν τύριον εἶναι ἡρακλέα, ὅτι φοινίκων κτίσμα ἡ ταρτησσὸς, καὶ τῷ φοινίκων νόμῳ ὅ, τε νεὼς πεποίηται τῷ ἡρακλεῖ τῷ ἐκεῖ, καὶ θυσίαι θύονται. γηρυόνην δὲ, ἐφ' ὅν τινα ὁ ἀργεῖος ἡρακλῆς ἐστάλη πρὸς εὐρυσθέως, τὰς βοῦς ἐπελάσαι τὰς γηρυόνου, καὶ ἀγαγεῖν ἐς μυκήνας, οὐδέν τι προσήκει τῇ γῇ τῶν ἰβήρων ἑκαταῖος ὁ λογοποιὸς λέγει, οὐδὲ ἐπὶ νῆσόν τινα ἐρύθειαν, ἔξω τῆς μεγάλης θαλάσσης, σταλῆναι ἡρακλέα, ἀλλὰ τῆς ἠπείρου τῆς περὶ ἀμπρακίαν τε καὶ ἀμφιλόχους, βασιλέα γενέσθαι γηρυόνην. καὶ ἐκ τῆς ἠπείρου ταύ-



Herodot



Tartessus .i. gades a Phoenicibus cōdita.

Hecatae

Erythria insula

Φοινίκων

∴ ἔτι



της ἀπελάσαι ἡρακλέα τὰς βοῦς, οὐδὲ τοῦτον φαῦλον ἆθλον τιθέμενον. οἶδα δὲ ἐγὼ καὶ ἐς τοῦτο ὅτι εὔβοτον τὴν ἤπειρον ταύτην, καὶ βοῦς τρέφουσαν καλλίστας, καὶ ἐς εὐρυσθέα τῶν μὲν ἐξ ἠπείρου βοῶν κλέος ἀφῖχθαι, καὶ τοῦ βασιλέως τῆς ἠπείρου τὸ ὄνομα τὸν γηρυόνην, οὐκ ἔξω τοῦ εἰκότος τίθεμαι. τῶν δὲ ἐσχάτων τῆς εὐρώπης ἰβήρων, οὔτ' ἂν τοῦ βασιλέως τὸ ὄνομα γινώσκειν εὐρυσθέα, εἴτε βοῦς καλαὶ ἐν ταύτῃ τῇ χώρᾳ νέμονται, εἰ μή τις ἥραν τούτοις ἐπάγων, ὡς αὐτὴν ταῦτα ἡρακλεῖ δι' εὐρυσθέως ἐπαγγέλλουσαν, τὸ οὐ πιστὸν τοῦ λόγου ἀποκρύπτειν ἐθέλοι τῷ μύθῳ. τούτῳ ἡρακλεῖ τῷ τυρίῳ ἔφη ἐθέλειν θῦσαι ἀλέξανδρος. ὡς δὲ ἀπηγγέλθη ταῦτα πρὸς τῶν πρέσβεων ἐς τὴν τύρον, τὰ μὲν ἄλλα ἔδοξε σφίσι ποιεῖν, ὅτι περ ἐπαγγέλλει ἀλέξανδρος, ἐς δὲ τὴν πόλιν, μήτε τινὰ περσῶν, μήτε μακεδόνων δέχεσθαι, ὡς τοῦτό τε ἐς τὰ παρόντα τῷ λόγῳ εὐπρεπέστατον, καὶ ἐς τοῦ πολέμου τὴν κρίσιν, ἄδηλον ἔτι οὖσαν, ἀσφαλέστατον



οὖσαν

∴ f. τοῦτο

ἡγεμόνας
ταξιάρχαι
ἰλάρχαι

σφίσι γνωσόμενοι. ὡς δὲ ἐξηγγέλθη ἀλεξάν
δρῳ τὰ ἐκ τῆς τύρου, τοὺς μὲν πρέσβεις
πρὸς ὀργὴν ὀπίσω ἀπέπεμψεν. αὐτὸς δὲ
ξυναγαγὼν τούς τε ἑταίρους, καὶ τοὺς ἡγε-
μόνας τῆς στρατιᾶς, καὶ ταξιάρχας καὶ ἰ-
λάρχας, ἔλεξεν ὧδε. Ἄνδρες φίλοι καὶ
ξύμμαχοι, ἡμῖν οὔτε τὴν ἐπ' αἰγύπτου πο
ρείαν ἀσφαλῆ ὁρῶ, θαλασσοκρατούντων
περσῶν, δαρεῖόν τε διώκειν, ὑπολιπομέ-
νους αὐτήν τε τὴν τυρίων πόλιν ἀμφίβο-
λον, καὶ αἴγυπτον, καὶ κύπρον ἐχομένην
πρὸς περσῶν. οὐδὲ τοῦτο ἀσφαλὲς ἔς τε τὰ
ἄλλα, καὶ μάλιστα δὴ ἐς τὰ ἑλληνικὰ πρά
γματα, μή ποτ' ἄρα ἐπικρατήσαντες αὖ-
θις τῶν ἐπὶ θαλάσσῃ χωρίων οἱ πέρσαι,
προχωρησάντων ἡμῶν ξὺν τῇ δυνάμει, ὡς
ἐπὶ βαβυλῶνά τε καὶ δαρεῖον, αὐτοὶ ξὺν
πλείονι στόλῳ, μεταγάγοιεν τὸν πόλεμον ἐς
τὴν ἑλλάδα. λακεδαιμονίων μὲν ἡμῖν ἐκ
τοῦ εὐθέως πολεμούντων· τῆς δὲ ἀθηναίων
πόλεως φόβῳ μᾶλλόν τι, ἢ εὐνοίᾳ τῇ πρὸς
ἡμᾶς, πρὸς τὸ παρὸν κατεχομένης. ἐξαιρε-
θείσης δὲ τύρου, ἥ, τε φοινίκη ἔχοιτο ἂν πᾶ
σα,

ll. ἐχομένας

ll. 17. παραστησαμένοις



σα, καὶ τὸ ναυτικὸν, ὅ περ πλεῖστόν τε καὶ
κράτιστον τοῦ περσικοῦ, τὸ φοινίκων παρ'
ἡμῶν μεταχωρήσειν εἰκός. οὐ γὰρ ἀνέξονται
οἱ ἐρέται, οὔτ' οἱ ἐπιβάται φοίνικες, ἐχομέ
νων σφίσι τῶν πόλεων, αὐτοὶ ὑπὲρ ἄλλων
πλέοντες κινδυνεύειν. κύπρος δὲ ἐπὶ τό-
δε, ἢ οὐ χαλεπῶς ἡμῖν προσχωρήσει, ἢ ἐξ ἐ-
πίπλου εὐμαρῶς ληφθήσεται. καὶ ταῖς
τε ἐκ μακεδονίας ναυσὶ καὶ ταῖς φοινίσ-
σαις πλεόντων ἡμῶν τὴν θάλασσαν, καὶ
κύπρου ἅμα προσγινομένης, θαλασσοκρα
τοῖμέν τε ἂν βεβαίως, καὶ ὁ ἐς αἴγυπτον
στόλος εὐμαρῶς ἡμῖν ἐν ταὐτῷ γίνεται.
αἴγυπτον δὲ παραστησαμένης ὑπέρ τε τῆς
ἑλλάδος καὶ τῆς οἰκίας, οὐδὲν ἔτι ὕποπτον
ὑπολείπεται, τόν τε ἐπὶ βαβυλῶνος στό-
λον μετὰ τοῦ ἐς τὰ οἴκοι ἀσφαλοῦς, καὶ ξὺν
μείζονι ἅμα ἀξιώσει, ποιησόμεθα ἀποτετ-
μημένοι τήν τε θάλασσαν περσῶν ξύμπα
σαν, καὶ τὴν ἐπὶ τάδε τοῦ εὐφράτου γῆν.
Ταῦτα λέγων, οὐ χαλεπῶς ἔπειθεν ἐπι
χειρεῖν τῇ τύρῳ, θεῖον ἀνέπειθεν αὐτὸν ὅτι
ἐνύπνιον αὐτῆς ἐκείνης τῆς νυκτὸς ἐδόκει,
αὐτὸς

ἐδ'

αὐτὸς μὲν ἐν τείχει προσάγειν τῶν τυρίων, τὸν δὲ ἡρακλέα δεξιοῦσθαί τε αὐτὸν, καὶ ἀνάγειν ἐς τὴν πόλιν. καὶ τοῦτο ἐξηγεῖτο ἀρίσανδρος, ὡς ξὺν πόνῳ ἁλωσομένην τὴν τύρον, ὅτι καὶ τὰ τοῦ ἡρακλέους ἔργα, ξὺν πόνῳ ἐγένοντο. καὶ γὰρ καὶ μέγα ἔργον τῆς τύρου ἡ πολιορκία ἐφαίνετο. νῆσός τε γὰρ αὐτοῖς, ἡ πόλις ἦν, καὶ τείχεσιν ὑψηλοῖς πάντῃ ὠχύρωτο. καὶ τὰ ἀπὸ θαλάσσης πρὸς τῶν τυρίων, μᾶλλόν τι ἐν τῷ τότε ἐφαίνετο, τῶν τε περσῶν ἔτι θαλασσοκρατούντων, καὶ αὐτοῖς τοῖς τυρίοις νεῶν ἔτι πολλῶν περιουσῶν. ὡς δὲ ταῦτα ὅμως ἐκράτησε, χῶμα ἔγνω χωννύναι ἐκ τῆς ἠπείρου, ὡς ἐπὶ τὴν πόλιν. ἔστι δὲ πορθμὸς τεναγώδης τὸ χωρίον, καὶ τὰ μὲν πρὸς τῇ ἠπείρῳ τῆς θαλάσσης βραχέα καὶ πηλώδη αὐτοῦ· τὰ δὲ πρὸς αὐτῇ τῇ πόλει, ἵνα τὸ βαθύτατον τοῦ διάπλου, τριῶν μάλιστα ὀργυιῶν τὸ βάθος. ἀλλὰ λίθων τε πολλῶν ἀφθονία ἦν, καὶ ὕλης, ἥν τινα τοῖς λίθοις ἄνωθεν ἐπεφόρουν. χάρακες οὐ χαλεπῶς ἐν τῷ πηλῷ κατεπήγνυντο, καὶ αὐ-

τὸς





τὸς ὁ πηλὸς ξύνδεσμος τοῖς λίθοις ἐς τὸ ἐπιμένειν ἐγίγνετο. καὶ προθυμία τῶν μακεδόνων ἐς τὸ ἔργον, καὶ ἀλεξάνδρου πολλὴ ἦν· παρόντος τε καὶ αὐτοῦ ἕκαστα ἐξηγουμένου, καὶ τὰ μὲν λόγῳ ἐπαίροντος, τὰ δὲ καὶ χρήσιμα τούς τε ἐκπρεπέστερον κατ᾽ ἀρετὴν πονουμένους ἐπικουφίζοντος. ἀλλ᾽ ἔς τε μὲν τὸ πρὸς τῇ ἠπείρῳ ἐχώννυτο, οὐ χαλεπῶς προυχώρει τὸ ἔργον, ἐπὶ βάθος τε ὀλίγον χωννύμενον, καὶ οὐδενὸς ἐξείργοντος. ὡς δὲ τότε βαθυτέρῳ ἤδη ἐπέλαζον, καὶ ἅμα τῇ πόλει αὐτῇ ἐγγὺς ἐγίγνοντο, ἀπό τε τῶν τειχῶν ὑψηλῶν ὄντων βαλλόμενοι, ἐκακοπάθουν. ἅτε καὶ ἐπ᾽ ἐργασίᾳ μᾶλλόν τι, ἢ ὡς ἐς μάχην ἀκριβῶς ἐσταλμένοι· καὶ ταῖς τριήρεσιν ἄλλῃ καὶ ἄλλῃ τοῦ χώματος ἐπιπλέοντες οἱ τύριοι, ὅτε ἤδη θαλασσοκρατοῦντες, ἐπ᾽ ἄπορον πολλαχῇ τὴν πρόσχωσιν τοῖς μακεδόσιν ἐποίουν. καὶ οἱ μακεδόνες πύργους ἐπάνω τοῦ χώματος, ὅτι περ προκεχωρήκει αὐτοῖς ἐπὶ πολὺ τῆς θαλάσσης, ἐπέστησαν δύο, καὶ μηχανὰς ἐπὶ τοῖς πύργοις. προκαλύμματα δὲ, δέρρεις, καὶ διφθέραι αὐτοῖς ἦσαν, ὡς μήτε

πυρ-

πυρφόροις βέλεσιν ἀπὸ τοῦ τείχους βάλλεσθαι, τοῖς τε ἐργαζομένοις προσβολὴν ἐν τῷ εἶναι πρὸς τὰ τοξεύματα. ἅμα τε ὅσοι προσπλέοντες τῶν Τυρίων, ἔβλαπτον τοὺς χωννύντας, ἀπὸ τῶν πύργων βαλλόμενοι, οὐ χαλεπῶς ἀνασταλήσεσθαι ἔμελλον. οἱ δὲ Τύριοι πρὸς ταῦτα, ἀντιμηχανῶνται τοιόνδε. ναῦν ἱππαγωγὸν κλημάτων τε ξηρῶν καὶ ἄλλης ὕλης εὐφλέκτου ἐμπλήσαντες, δύο ἱστοὺς ἐπὶ τῇ πρώρᾳ καταπηγνύουσι, καὶ ἐν κύκλῳ περιφράσσουσιν ἐς ὅσον μακρότερον, ὡς φορυτόν τε ταύτῃ καὶ δᾷδας ὅσας πλείστας δέξασθαι. πρὸς δὲ, πίσσαν τε καὶ θεῖον, καὶ ὅσα ἄλλα ἐς τὸ παρακαλέσαι μεγάλην φλόγα, ἐπὶ ταύτῃ ἐπεφόρησαν. παρέτεινε δὲ καὶ κεραίαν διπλῆν ἐπὶ τοῖς ἱστοῖς ἀμφοτέροις, καὶ ἀπὸ ταύτης ἐξήρτησαν ἐν λέβησιν, ὅσα ἐπιχυθέντα, ἢ ἐπιπληθέντα, ἐπὶ μέγα τὴν φλόγα ἐξάψειν ἔμελλον. ἕρματά τε ἐς τὴν πρύμναν ἐνέθεσαν, τοῦ ἐξᾶραι ἐς ὕψος τὴν πρῷραν πιεζομένης κατὰ πρύμναν τῆς νεώς. ἔπειτα ἄνεμον τηρήσαντες, ὡς ἐπὶ τὸ χῶμα ἐπιφέροντα,

τα,

ἢ ἐπιβληθέντα



τα, ἐξάψαντες τριήρεσι τὴν ναῦν, κατ' οὐρὰν εἷλκον. ὡς δὲ ἐπέλαζον ἤδη τῷ τε χώματι καὶ τοῖς πύργοις, πῦρ ἐμβαλόντες ἐς τὴν ὕλην, καὶ ὡς βιαιότατα ἅμα ταῖς τριήρεσιν ἐπανελκύσαντες τὴν ναῦν, ἐνσείουσιν ἄκρῳ τῷ χώματι. αὐτοὶ δὲ οἱ ἐν τῇ νηὶ καιομένῃ ἤδη ἐξενήξαντο οὐ χαλεπῶς. καὶ ἐν τούτῳ ἥ, τε φλὸξ πολλὴ ἐνέπιπτε τοῖς πύργοις, καὶ αἱ κεραῖαι περικλασθεῖσαι, ἐξέχεαν ἐς τὸ πῦρ, ὅσα ἐς ἔξαψιν τῆς φλογὸς παρεσκευασμένα ἦν. οἱ δὲ ἀπὸ τῶν τριήρων πλησίον τοῦ χώματος ἀνακωχεύοντες, ἐτόξευον ἐς τοὺς πύργους, ὡς μὴ ἀσφαλὲς εἶναι πελάσαι, ὅσοι σβεστήριόν τι τῇ φλογὶ ἐπέφερον. καὶ ἐν τούτῳ κατεχομένων ἤδη ἐκ τοῦ πυρὸς, τῶν πύργων ἐκδραμόντες ἐκ τῆς πόλεως πολλοὶ, καὶ ἐς κελήτια ἐμβάντες, ἄλλη καὶ ἄλλη ἐποκείλαντες τοῦ χώματος, τόν τε χάρακα οὐ χαλεπῶς διέσπασαν τὸν πρὸ αὐτοῦ προβεβλημένον· καὶ τὰς μηχανὰς ξυμπάσας κατέφλεξαν, ὅσας μὴ τὸ ἀπὸ τῆς νεὼς πῦρ ἐπέσχεν. Ἀλέξανδρος δὲ τό τε χῶμα ἀπὸ τῆς ἠπείρου ἀρξάμενος πλατύτερον

τερον

τύρον χωννύναι, ὡς πλέονας δέξασθαι πύργους, καὶ τοὺς μηχανοποιοὺς, μηχανὰς ἄλλας κατασκευάζειν ἐκέλευσεν. ὡς δὲ ταῦτα παρεσκευάζετο, αὐτὸς τούς τε ὑπασπιστὰς ἀναλαβὼν, καὶ τοὺς ἀγριάνας, ἐπὶ σιδῶνος ἐστάλη, ὡς ἀθροίσων ἐκεῖ, ὅσαι ἤδη ἦσαν αὐτῷ τριήρεις, ὅτι ἀπορώτερα τὰ τῆς πολιορκίας ἐφαίνετο, θαλασσοκρατούντων τῶν τυρίων. ἐν τούτῳ δὲ γηροστρατός τε ὁ ἀράδου βασιλεὺς, καὶ ἔνυλος ὁ βύβλου, ὡς ἔμαθον τὰς πόλεις σφῶν ὑπὸ ἀλεξάνδρου ἐχομένας, ἀπολιπόντες αὐτοφραδάτην τε καὶ τὰς ξὺν αὐτῷ νέας, παρ᾽ ἀλέξανδρον σὺν τῷ ναυτικῷ τῷ σφετέρῳ ἀφίκοντο, καὶ αὐτῶν σιδωνίων τριήρεις σὺν αὐτοῖς· ὥς τε φοινίκων μὲν νῆες ὀγδοήκοντα μάλιστα αὐτῷ παρεγένοντο. ἧκον δὲ ἐν ταῖς αὐταῖς ἡμέραις, καὶ ἐκ ῥόδου τριήρεις, ἥ τε περίπολος καλουμένη, καὶ ξὺν ταύτῃ ἄλλαι ἐννέα. καὶ ἐκ σόλων καὶ μαλλοῦ τρεῖς, καὶ λυκίας δέκα. ἐκ μακεδονίας δὲ πεντηκόντορος, ἐφ᾽ ἧς πρωτέας ἀνδρονίκου ἐπέπλεε. πολλῷ δὲ ὕστερον καὶ οἱ τῆς κύπρου βασι-

λεῖς



λεῖς ἐς τὴν σιδῶνα κατέσχον ναυσὶν ἑκατὸν μάλιστα καὶ εἴκοσιν, ἐπειδὴ τήν τε ἧσσαν τὴν κατ᾽ ἰσσὸν δαρείου ἐπύθοντο, καὶ ἡ φοινίκη πᾶσα ἐχομένη ἤδη ὑπὸ ἀλεξάνδρου ἐφόβει αὐτοὺς, καὶ τούτοις πᾶσιν ἔδωκεν ἀλέξανδρος ἄδειαν τῶν πρόσθεν, ὅτι ὑπὸ ἀνάγκης μᾶλλόν τι, ἢ κατὰ γνώμην τὴν σφῶν ἐδόκουν ξυνταχθῆναι τοῖς πέρσαις ἐς τὸ ναυτικόν. ἐν ᾧ δὲ αἵ τε μηχαναὶ αὐτῷ ξυνεπήγνυντο, καὶ αἱ νῆες ὡς εἰς ἔκπλουν τε ναυμαχίας ἀπόπειραν ἐξηρτύοντο, ἐν τούτῳ δὲ ἀναλαβὼν τῶν τε ἱππέων ἴλας τινὰς, καὶ τοὺς ὑπασπιστὰς, καὶ τοὺς ἀγριάνας τε καὶ τοὺς τοξότας, ἐπ᾽ ἀραβίας στέλλεται εἰς τὸν ἀντιλίβανον καλούμενον τὸ ὄρος. καὶ τὰ μὲν βίᾳ τῶν ταύτῃ ἐξελὼν, τὰ δὲ ὁμολογίᾳ παραστησάμενος ἕνδεκα ἡμέραις ἐπανῆκεν εἰς τὴν σιδῶνα, καὶ καταλαμβάνει ἀλέξανδρον τὸν πολεμοκράτους ἐκ πελοποννήσου ἥκοντα. καὶ ξὺν αὐτῷ μισθοφόρους ἕλληνας τετρακισχιλίους. ὡς δὲ συνετέτακτο αὐτῷ τὸ ναυτικὸν, ἐπιβιβάσας τοῖς καταστρώμασι

τῶν

φ in mare tò πνυταγόρου.
gi ) cesserat



τῶν ὑπασπιστῶν, ὅσοι ἱκανοὶ ἐδόκουν ἐς τὸ ἔργον, εἰ μὴ διέκπλοις μᾶλλόν τι ἢ ἐν χερσὶν ἡ ναυμαχία γίγνοιτο, ἄρας ἐκ τῆς σιδῶνος ἐπέπλει τῇ τύρῳ ξυντεταγμένος ταῖς ναυσίν. αὐτὸς μὲν κατὰ τὸ δεξιὸν κέρας, ὃ δὴ ἐς τὸ πέλαγος αὐτῷ ἀνεῖχε. καὶ ξὺν αὐτῷ οἵ, τε κυπρίων βασιλεῖς, καὶ ὅσοι φοινίκων, πλὴν πουταγόρου. οὗτος δὲ καὶ κρατερὸς τὸ εὐώνυμον κέρας εἶχον τῆς πάσης τάξεως. τοῖς δὲ τυρίοις πρότερον μὲν ναυμαχεῖν ἐγνωσμένον ἦν, εἰ κατὰ θάλασσαν ἐπιπλέοι σφίσιν ἀλέξανδρος, τότε δὲ πλῆθος νεῶν πολὺ ἀπροσδοκήτως κατιδόντες, οὐ γάρ πω πεπυσμένοι ἦσαν τάς τε κυπρίων ναῦς, καὶ τὰς φοινίκων ξυμπάσας ἀλέξανδρον ἔχοντα, καὶ ἅμα ξυντεταγμένος τοῦ ἐπίπλου γιγνομένου. ὀλίγον γὰρ πρὶν προσχεῖν τῇ πόλει ἀνεκώχευσαν ἔτι πελάγιαι, αἱ ξὺν ἀλεξάνδρῳ νῆες. ἔπειτα οὕτω ξυνταξάμενοι (ὡς οὐκ ἀντανήγοντο) πολλῷ τῷ ῥοθίῳ ἐπέπλεον. ταῦτα ὁρῶντες οἱ τύριοι, ναυμαχεῖν μὲν ἀπέγνωσαν. τριήρεσι δέ, ὅσας τῶν λιμένων τὰ στόματα ἐδέχοντο,

χοντο,

·/· ρf. συντεταγμένως
·:· sese in alto cōtinuerūt

comunitum λαπέγνω



χοντο, βύζην τὸν ἔσπλουν φραξάμενοι ἐφύλασσον, ὡς μὴ ἐς τῶν λιμένων τινὰ ἐγκαθορμισθῆναι τῶν πολεμίων τὸν στόλον. ἀλέξανδρος δέ, ὡς οὐκ ἀντανήγοντο οἱ τύριοι, ἐπέπλει τῇ πόλει· καὶ ἐς μὲν τὸν λιμένα τὸν πρὸς σιδῶνος βιάζεσθαι ἐπέγνω, διὰ στενότητα τοῦ στόματος, καὶ ἅμα ἀντιπρώροις τριήρεσι πολλαῖς ὁρῶν πεφραγμένον τὸν ἔσπλουν. τρεῖς δὲ τὰς ἐξωτάτω ἐφορμούσας τῷ στόματι τριήρεις, προσπεσόντες οἱ φοίνικες, καὶ ἀντιπρώροις ἐμβάλλοντες, καταδύουσιν. οἱ δὲ ἐν ταῖς ναυσὶν οὐ χαλεπῶς ἀπενήξαντο ἐς τὴν γῆν, φιλίαν οὖσαν. τότε μὲν δὴ οὐ πόρρω τοῦ ποιητοῦ χώματος κατὰ τῶν αἰγιαλῶν, ἵνα σκέπη τῶν ἀνέμων ἐφαίνετο, οἱ σὺν ἀλεξάνδρῳ ὁρμήσαντο. τῇ δὲ ὑστεραίᾳ τοὺς μὲν κυπρίους ξὺν ταῖς σφετέραις ναυσί, καὶ ἀνδρομάχῳ τῷ ναυάρχῳ κατὰ τὸν λιμένα τὸν ἐκ σιδῶνος φέροντα, ἐκέλευσεν ἐφορμεῖν τῇ πόλει. τοὺς δὲ φοίνικας κατὰ τὸν ἐπέκεινα τοῦ χώματος, τὸν πρὸς αἴγυπτον ἀνέχοντα, ἵνα καὶ αὐτῷ ἡ σκολιὴ ἦν. ἤδη δὲ καὶ μηχανο-

k ποιῶν

·/· τὸν αἰγιαλὸν. ſedꝫ. ω · in · co · k

σκηνή.

ποιῶν αὐτῷ πολλῶν ἔκ τε κύπρου καὶ φοινίκης ἁπάσης συνειλεγμένων, μηχαναὶ πολλαὶ συμπεπηγμέναι ἦσαν, αἱ μὲν ἐπὶ τοῦ χώματος, αἱ δὲ ἐπὶ τῶν ἱππαγωγῶν νεῶν, ἃς ἐκ σιδῶνος ἅμα οἷ ἐκόμισεν· αἱ δὲ ἐπὶ τῶν τριηρῶν, ὅσαι αὐτῶν οὐ ταχυναυτοῦσαι ἦσαν. ὡς δὲ παρεσκεύαστο ἤδη ξύμπαντα, προσῆγον τὰς μηχανὰς κατά τε τὸ ποιητὸν χῶμα, καὶ ἀπὸ τῶν νεῶν ἄλλῃ καὶ ἄλλῃ τοῦ τείχους προσορμιζομένων τε καὶ ἀποπειρωμένων τοῦ τείχους. οἱ δὲ τύριοι, ἐπί τε τῶν ἐπάλξεων τῶν κατὰ τὸ χῶμα, πύργους ξυλίνους ἐπέστησαν, ὡς ἀπομάχεσθαι ἀπ᾽ αὐτῶν, καὶ εἴ πῃ ἄλλῃ αἱ μηχαναὶ προσήγοντο, βέλεσί τε ἠμύνοντο, καὶ πυρφόροις οἰστοῖς ἔβαλλον αὐτὰς τὰς ναῦς, ὥστε φόβον παρέχειν τοῖς μακεδόσι πελάζειν τῷ τείχει. ἦν δὲ αὐτοῖς καὶ τὰ τείχη κατὰ τὸ χῶμα, τό τε ὕψος ἐς πεντήκοντα καὶ ἑκατὸν μάλιστα πόδας, καὶ ἐς πλάτος, ξύμμετρον, λίθοις μεγάλοις ἐν γύψῳ κειμένοις ξυμπεπηγότα. ταῖς δὲ ἱππαγωγοῖς τε καὶ ταῖς τριήρεσι τῶν μακεδόνων, ὅσαι





τὰς μηχανὰς προσῆγον τῷ τείχει, καὶ ταύτῃ οὐκ εὔπορον ἐγίγνετο πελάζειν τῇ πόλει, ὅτι λίθοι πολλοὶ ἐς τὸ πέλαγος προβεβλημένοι, ἐξεῖργον αὐτῶν τὴν ἐγγὺς προσβολήν. καὶ τούτους ἀλέξανδρος ἔγνω ἐξελκύσαι ἐκ τῆς θαλάσσης. ἠνύετο δὲ χαλεπῶς τοῦτο τὸ ἔργον, οἷα δὴ ἀπὸ νεῶν, καὶ οὐκ ἀπὸ γῆς βεβαίου γινόμενον. ἄλλως τε καὶ οἱ τύριοι ναῦς καταφράξαντες παρὰ τὰς ἀγκύρας ἐπῆγον τῶν τριήρων· καὶ ὑποτέμνοντες τὰς σχοίνους τῶν ἀγκυρῶν, ἄπορον τὴν προσόρμισιν ταῖς πολεμίαις ναυσὶν ἐποίουν. ἀλέξανδρος δὲ τριακοντόρους πολλὰς ἐς τὸν αὐτὸν τρόπον φράξας, ἐπέστησεν ἐγκαρσίας πρὸ τῶν ἀγκυρῶν, ὡς ἀπ᾽ αὐτῶν ἀναστέλλεσθαι τὸν ἐπίπλουν τῶν νεῶν· ἀλλὰ καὶ ὣς ὕφαλοι κολυμβηταὶ τὰς σχοίνους αὐτοῖς ὑπέτεμνον. οἱ δὲ ἁλύσεσιν ἐς τὰς ἀγκύρας ἀντὶ σχοίνων χρώμενοι οἱ μακεδόνες καθίεσαν, ὥστε μηδὲν ἔτι πλέον τοῖς κολυμβηταῖς γίγνεσθαι. ἐξάπτοντες οὖν βρόχους τῶν λίθων ἀπὸ τοῦ χώματος, ἀνέσπων αὐτοὺς ἔξω τῆς θαλάσσης, ἔπειτα μηχαναῖς μετεωρίσαντες, κατὰ βάθους ἀφίεσαν, ἵνα οὐκέτι προβεβλημένοι βλάψειν

ἔμελλον. ὅπου δὲ καθαρὸν πεποίητο τῶν προβόλων τὸ τεῖχος, ὃ χαλεπῶς ἤδη ταύτῃ αἱ νῆες προσῆχον, οἱ δὲ τύριοι πάντῃ ἄποροι γιγνόμενοι, ἔγνωσαν ἐπίπλουν ποιήσασθαι ταῖς κυπρίαις ναυσὶν, αἳ κατὰ τὸν λιμένα ἐφώρμουν, τὸν ἐς σιδῶνα τετραμμένον, ἐκ πολλοῦ δὴ καταπετάσαντες τοῦ λιμένος τὸ στόμα ἱστίοις, τοῦ μὴ καταφανῆ γενέσθαι τῶν τριήρων τὴν πλήρωσιν ἀμφὶ μέσον ἡμέρας, ὁπότε οἵ, τε ναῦται ἐπὶ τὰ ἀναγκαῖα ἐσκεδασμένοι ἦσαν, καὶ ἀλέξανδρος ἐν τούτῳ μάλιστα ἀπὸ τοῦ ἐπὶ θάτερα τῆς πόλεως ναυτικοῦ ἐπὶ τὴν σκηνὴν ἀπεχώρει, πληρώσαντες πεντήρεις μὲν τρεῖς, καὶ τετρήρεις ἴσας, τριήρεις δὲ ἑπτὰ, ὡς ἀκριβεστάτοις τε τοῖς πληρώμασι καὶ τοῖς ἀπὸ τῶν καταστρωμάτων μάχεσθαι μέλλουσιν εὐοπλοτάτοις, καὶ ἅμα εὐθαρσεστάτοις ἐς τοὺς ναυτικοὺς ἀγῶνας, τὰ μὲν πρῶτα ἀτρέμα τῇ εἰρεσίᾳ ἐπὶ μιᾶς νεὼς ἐξέπλεον ἀνὰ κελευστῶν τὰς κώπας παραφέροντες. ὡς δὲ ἐπέστρεφον ἤδη ἐπὶ τοὺς κυπρίους, καὶ ἐγγὺς τοῦ καθορᾶσθαι ἦσαν, τό-

τε

.·. γρ. ἄνευ



τε δὴ ξὺν βοῇ τε πολλῇ καὶ ἐγκελευσμῷ ἐς ἀλλήλους, καὶ ἅμα τῇ εἰρεσίᾳ ξυντόνῳ ἐπεφέροντο. ξυνέβη δὲ ἐκείνῃ μὲν τῇ ἡμέρᾳ ἀλέξανδρον ἀποχωρῆσαι ἐπὶ τὴν σκηνὴν, οὐ διατρίψαντα δὲ κατὰ τὸ εἰωθὸς, δι᾽ ὀλίγου ἐπὶ τὰς ναῦς ἐπανελθεῖν. οἱ δὲ τύριοι προσπεσόντες ἀπροσδοκήτως ταῖς ναυσὶν ὁρμούσαις, καὶ ταῖς μὲν πάντῃ κεναῖς ἐπιτυχόντες, τῶν δ᾽ ὑπ᾽ αὐτὴν τὴν βοὴν καὶ τὸν ἐπίπλουν χαλεπῶς ἐκ τῶν παρόντων πληρουμένων, τήν τε πνυταγόρου τοῦ βασιλέως πεντήρη εὐθὺς ἀπὸ τῆς πρώτης ἐμβολῆς κατέδυσαν, καὶ τὴν ἀνδροκλέους τοῦ ἀμαθουσίου, καὶ τὴν πασικράτους τοῦ θουριέως· τὰς δὲ ἄλλας ἐς τὸν αἰγιαλὸν ἐξωθοῦντες, ἔκοπτον. ἀλέξανδρος δὲ ὡς ᾔσθετο τὸν ἔκπλουν τῶν τυρίων τριήρων, τὰς μὲν πολλὰς τῶν ξὺν αὐτῷ νεῶν ὅπως ἑκάστη πληρωθείη ἐπὶ τῷ στόματι τοῦ λιμένος, ἀνακωχεύειν ἔταξεν, ὡς μὴ καὶ ἄλλαι ἐκπλεύσωσι τῶν τυρίων νηῶν. αὐτὸς δὲ πεντήρεις τε τὰς ξὺν αὐτῷ ἀναλαβὼν, καὶ τῶν τριήρων ἐς πέντε μάλιστα, ὅσαι ἔφθησαν

 αὐτῷ

.·. ἐκπλεύσειαν

αὐτῷ κατὰ τάχος πληρωθεῖσαι, περιέπλεον
τὴν πόλιν ὡς ἐπὶ τοὺς ἐκπεπλευκότας τῶν
τυρίων. οἱ δὲ ἀπὸ τοῦ τείχους τόν τε ἐπίπλουν
τῶν πολεμίων κατιδόντες, καὶ ἀλέξανδρον
αὐτὸν ἐπὶ τῶν νεῶν, καὶ ὡς οὐκ ἐξακουστὸν ἦν
ὑπὸ θορύβου ξυνεχομένων ἐν τῷ ἔργῳ, ση-
μείοις ἄλλοις καὶ ἄλλοις ἐπεκάλουν ἐς τὴν
ἀναχώρησιν. οἱ δὲ ὀψέ ποτε αἰσθόμενοι τὸν
ἐπίπλουν τῶν ἀμφ' ἀλέξανδρον ὑποστρέψαν-
τες, ἐς τὸν λιμένα ἔφευγον. καὶ ὀλίγαι
μὲν τῶν νεῶν φθάνουσιν ὑπεκφυγοῦσαι·
τῆς δὲ πλείοσιν ἐμβαλοῦσαι αἱ ξὺν ἀλε-
ξάνδρῳ, τὰς μὲν αὐτῶν ἀπλόους ἐποίησαν,
πεντήρης δέ τις καὶ τετρήρης αὐτῶν ἐπ' αὐ-
τῷ τῷ στόματι τοῦ λιμένος ἐλήφθησαν. φό-
νος δὲ τῶν ἐπικρατῶν οὐ πολὺς ἐγένετο.
ὡς γὰρ ᾔσθοντο ἐχομένας τὰς ναῦς, ἀπενή-
ξαντο οὐ χαλεπῶς ἐς τὸν λιμένα. ὡς δὲ οὐ-
δὲ μία ἔτι τοῖς τυρίοις ἐκ τῶν νεῶν ὠφέ-
λεια ἦν, ἐπῆγον ἤδη οἱ μακεδόνες τὰς μη-
χανὰς τῷ τείχει αὐτῶν. κατὰ μὲν δὴ τὸ
χῶμα προσαγόμεναι διὰ ἰσχὺν τοῦ τείχους,
οὐδὲν ἤνυον, ὅ τι καὶ λόγου ἄξιον. οἱ δὲ

κατὰ

∴ ἡ· ταῖς + ἐπιβατῶν



κατὰ τὸ πρὸς σιδῶνα τετραμμένον τῆς πό-
λεως, τῶν νεῶν τινὰς τῶν μηχανοφόρων
προσῆγον. ὡς δὲ οὐδὲ ταύτῃ ἤνυον, ἐς τὸ
πρὸς νότον ἦν ἄνεμον, καὶ πρὸς αἴγυπτον
ἀνέχον τεῖχος, μετῆγε πάντῃ ἀποπειρώ-
μενος τοῦ ἔργου. καὶ ἐνταῦθα πρῶτόν
τε κατεσείσθη τὸ τεῖχος ἐπὶ μέγα, καί τι
καὶ κατηρείφθη αὐτοῦ παραρραγέν. τότε
μὲν δὴ ὅσον ἐπιβαλὼν γεφύρας ᾗ ἐρήρει-
πτο τοῦ τείχους ἀπεπειράθη ἐς ὀλίγον
τῆς προσβολῆς, καὶ οἱ τύριοι οὐ χαλεπῶς
ἀπεκρούσαντο τοὺς μακεδόνας. Τρίτῃ
δὲ ἀπὸ ταύτης ἡμέρᾳ, νηνεμίαν τε φυλά-
ξας καὶ παρακαλέσας τοὺς ἡγεμόνας τῶν
τάξεων ἐς τὸ ἔργον, ἐπῆγε τῇ πόλει ἐπὶ
τῶν νεῶν τὰς μηχανάς. καὶ πρῶτον μὲν
κατέσεισε τοῦ τείχους ἐπὶ μέγα. ὡς δὲ ἀ-
ποχρῶν ἐς πλάτος ἐφάνη τὸ παρερρη-
γμένον, τὰς μὲν μηχανοφόρους ναῦς ἐπανά-
γειν ἐκέλευσεν· ὁ δὲ, δύο ἄλλας ἐπῆγεν, αἳ
τὰς γεφύρας αὐτῷ ἔφερον, ἃς δὴ ἐπιβάλ-
λειν ἐπενόει τὸ κατερρηγμένον τοῦ τείχους.
καὶ τὴν μὲν μίαν τῶν νεῶν, οἱ ὑπασπισταὶ



ἔλαβον,

+ τῷ κατερρηγ- μένῳ ·ας

∴ ἀσθέτεροι



ἔλαβον, ᾗ ἐπετέτακτο ἄδμητος. τὴν ἑτέραν δέ, ᾗ κοίνου τάξις οἱ ἀσθωνέτεροι καλούμενοι, καὶ αὐτὸς ξὺν τοῖς ὑπασπισταῖς ἐπιβήσεσθαι τοῦ τείχους, ᾗ παρείκοι, ἔμελλεν. τὰς τριήρεις δέ, τὰς μὲν ἐπιπλεῖν κατὰ τοὺς λιμένας ἀμφοτέρους ἐκέλευσεν, εἴ πως πρὸς σφᾶς τετραμμένων τῶν τυρίων, βιάσαιντο τὸν ἔσπλουν. ὅσαι δὲ αὐτῶν βέλη ἀπὸ μηχανῶν βαλλόμενα εἶχον, ἢ ὅσαι τοξότας ἐπὶ τῶν καταστρωμάτων ἔφερον, ταύτας ἐκέλευσεν ἐν κύκλῳ περιπλεούσας τὸ τεῖχος ἀποκελεύειν τε ὅπῃ παρείκοι, καὶ ἀνακωχεύειν ἐντὸς βέλους, ἔς τε τὸ ἐποκεῖλαι ἄπορον γίγνοιτο, ὡς πανταχόθεν βαλλομένους τοὺς τυρίους, ἐν τῷ δεινῷ ἀμφιβόλους γίγνεσθαι. ὡς δὲ αἵ τε νῆες αἱ ξὺν ἀλεξάνδρῳ προσέσχον τῇ πόλει, καὶ αἱ γέφυραι ἐπεβλήθησαν τῷ τείχει ἀπ' αὐτῶν, ἐνταῦθα οἱ ὑπασπισταὶ εὐρώστως κατὰ ταύτας, ἀνέβαινον ἐπὶ τὸ τεῖχος. ὅ, τε γὰρ ἄδμητος ἀνὴρ ἀγαθὸς ἐν τῷ τότε ἐγένετο, καὶ ἅμα ἀλέξανδρος εἵπετο αὐτοῖς τοῦ τε ἔργου αὐτοῦ καρτερῶς ἁπτόμενος, καὶ θεα-

τὴς

ἀποκηλεῖν



τὴς τῶν ἄλλων, ὅτῳ τι λαμπρὸν κατ' ἀρετὴν ἐν τῷ κινδύνῳ ἐτολμᾶτο. καὶ ταύτῃ πρῶτον, ᾗ ἐπετέτακτο ἀλέξανδρος, ἐλήφθη τὸ τεῖχος, οὐ χαλεπῶς ἀποκρουσθέντων ἀπ' αὐτοῦ τῶν τυρίων. ἐπειδὴ πρῶτον βεβαίῳ τε καὶ ἅμα οὐ πάντῃ ἀποτόμῳ τῇ προσβάσει ἐχρήσαντο οἱ μακεδόνες, καὶ ἄδμητος μὲν πρῶτος ἐπιβὰς τοῦ τείχους, καὶ τοῖς ἀμφ' αὐτὸν ἐγκελευόμενος ἐπιβαίνειν, βληθεὶς λόγχῃ, ἀποθνήσκει αὐτοῦ. ἐπὶ δὲ αὐτῷ ἀλέξανδρος ἔσχε τὸ τεῖχος ξὺν τοῖς ἑταίροις. ὡς δὲ εἴχοντο αὐτῷ πύργοι τέ ἐστιν, οἳ καὶ μεταπύργια, αὐτὸς μὲν παρῄει διὰ τῶν ἐπάλξεων ὡς ἐπὶ τὰ βασίλεια, ὅτι ταύτῃ εὐπορωτέρα ἐφαίνετο ἐς τὴν πόλιν ἡ κάθοδος. οἱ δὲ ἐπὶ τῶν νεῶν, οἵ τε φοίνικες κατὰ τὸν λιμένα τὸν πρὸς αἰγύπτου, καθ' ὅνπερ καὶ ἐφορμοῦντες ἐτύγχανον βιασάμενοι, καὶ τὰ κλεῖθρα διασπάσαντες, ἔκοπτον τὰς ναῦς ἐν τῷ λιμένι, ταῖς μὲν μετεώροις ἐμβάλλοντες, τὰς δὲ ἐς τὴν γῆν ἐξωθοῦντες. καὶ οἱ κύπριοι κατὰ τὸν ἄλλον λιμένα τὸν ἐκ σιδῶνος φέ-

ροντα,

ροῦντα, οἱ δὲ κλεῖθρον τοῦτόν γε ἔχοντα εἰσ-
πλεύσαντες, εἷλον εὐθὺς ταύτῃ τὴν πό-
λιν. τὸ δὲ πλῆθος τῶν τυρίων, τὸ μὲν τεῖχος
ὡς ἐχόμενον εἶδον, ἐκλείπουσιν. ἀθροισθέν-
τες δὲ ἐπὶ τὸ ἀγηνόριον καλούμενον, ἐπέ-
στρεψαν ταύτῃ ἐπὶ τοὺς μακεδόνας. καὶ ἀλέ-
ξανδρος σὺν τοῖς ὑπασπισταῖς ἐπὶ τούτοις
χωρήσας, τοὺς μὲν αὐτοῦ μαχομένους διέ-
φθειρεν αὐτῶν· τοῖς δὲ φεύγουσιν ἐφείπε-
το. καὶ φόνος ἦν πολὺς, τῶν τε ἀπὸ τοῦ λιμέ-
νος ἐχόντων ἤδη τὴν πόλιν, καὶ τῆς κοί-
νου τάξεως, παρεληλυθυίας εἰς αὐτήν. ὀργῇ
γὰρ ἐχώρουν ἐπὶ πᾶν οἱ μακεδόνες τῆς τε
πολιορκίας τῇ τριβῇ ἀχθόμενοι, καὶ ὅτι
λαβόντες τινὰς αὐτῶν οἱ τύριοι, πλέοντας
ἐκ σιδῶνος ἀπὸ τοῦ τείχους ἀναβιβάσαν-
τες, ὅπως ἄποπτον εἴη ἀπὸ τοῦ στρατοπέδου,
σφάξαντες ἔρριψαν εἰς τὴν θάλασσαν. ἀ-
πέθανον δὲ τῶν μὲν τυρίων ἐς ὀκτακισχι-
λίους. τῶν δὲ μακεδόνων ἐν τῇ τότε προσ-
βολῇ, ἄδμητός τε ὁ πρῶτος ἑλὼν τὸ τεῖ-
χος, ἀνὴρ ἀγαθὸς γενόμενος, καὶ ξὺν αὐ-
τῷ εἴκοσι τῶν ὑπασπιστῶν. ἐν δὲ τῇ πάσῃ
πολιορ

ἐπὶ τὸ τεῖχος



πολιορκίᾳ, μάλιστα ἐς τετρακοσίους. τοῖς
δὲ ἐς τὸ ἱερὸν τοῦ ἡρακλέους καταφυ-
γοῦσιν (ἦσαν δὲ αὐτῶν τε τῶν τυρίων οἱ
μάλιστα ἐν τέλει, καὶ ὁ βασιλεὺς ἀζέμι-
λκος· καὶ καρχηδονίων τινὲς θεωροὶ ἐς τι-
μὴν τοῦ ἡρακλέους, κατά δή τινα νόμιμον
παλαιὸν, εἰς τὴν μητρόπολιν ἀφικόμενοι)
τούτοις ξύμπασιν ἄδειαν δίδωσιν ἀλέ-
ξανδρος, τοὺς δὲ ἄλλους ἠνδραπόδισε.
καὶ ἐπράθησαν τυρίων τε καὶ τῶν ξένων,
ὅσοι ἐγκατελήφθησαν, μάλιστα ἐς τρισ-
μυρίους. ἀλέξανδρος δὲ τῷ ἡρακλεῖ ἔθυ-
σέ τε, καὶ πομπὴν ἔστειλε ξὺν τῇ δυνάμει
ὡπλισμένῃ. καὶ αἱ νῆες ξυνεπόμπευσαν
τῷ ἡρακλεῖ, καὶ ἀγῶνα γυμνικὸν ἐν τῷ
ἱερῷ, καὶ λαμπάδα ἐποίησε. καὶ τὴν μη-
χανὴν, ᾗ τὸ τεῖχος κατεσείσθη, ἀνέθηκεν εἰς
τὸν νεών. καὶ τὴν ναῦν τὴν τυρίαν, τὴν ἱερὰν
τοῦ ἡρακλέους, ἥν τινα ἐν τῷ ἐπίπλῳ ἔλαβε
καὶ ταύτην τῷ ἡρακλεῖ ἀνέθηκε, καὶ ἐπίγραμ-
μα ἐπ' αὐτῇ, ἢ αὐτὸς ποιήσας, ἢ ὅτου δὴ ἄλλου
ποιήσαντος, οὐκ ἄξιον μνήμης τὸ ἐπίγραμμα,
διὰ τοῦτο καὶ ἐγὼ αὐτὸ ἀναγράψαι ἀπηξίωσα.
τύρος

∴ εὐφράτου



τύρος μὲν δὴ οὕτως ἑάλω, ἐπὶ ἄρχοντος ἀνικήτου ἀθήνησι, μηνὸς ἑκατομβαιῶνος.

ἔτι δὲ ἐν πολιορκίᾳ τῆς τύρου ξυνεχομένου ἀλεξάνδρου, ἀφίκοντο παρὰ δαρείου πρέσβεις, ὡς αὐτὸν ἀπαγγέλλοντες, μυρία μὲν τάλαντα ὑπὲρ τῆς μητρός τε καὶ τῆς γυναικὸς καὶ τῶν παίδων δοῦναι ἐθέλειν ἀλεξάνδρῳ δαρεῖον. τὴν δὲ χώραν πᾶσαν τὴν ἐντὸς εὐφράτου ποταμοῦ, ἔς τε ἐπὶ θάλασσαν τὴν ἑλληνικὴν, ἀλεξάνδρου εἶναι. γήμαντα δὲ τὴν δαρείου παῖδα ἀλέξανδρον, φίλον τε εἶναι δαρείῳ, καὶ σύμμαχον. καὶ τούτων ἐν τῷ ξυλλόγῳ τῶν ἑταίρων ἀπαγγελθέντων, παρμενίωνα μὲν λέγουσιν ἀλεξάνδρῳ εἰπεῖν, ὅτι ἂν αὐτὸς ἀλέξανδρος ἦν, ἐπὶ τούτοις ἠγάπησε, καταλύσας τὸν πόλεμον, μηκέτι προσκινδυνεύειν. ἀλέξανδρον δὲ παρμενίωνι ἀποκρίνεσθαι, ὅτι καὶ αὐτὸς ἂν εἴπερ παρμενίων ἦν, οὕτως ἔπραξεν· ἐπεὶ δὲ ἀλέξανδρός ἐστιν, ἀποκρινεῖσθαι δαρείῳ, ἅπερ δὴ καὶ ἀπεκρίνατο. ἔφη γὰρ, οὔτε χρημάτων δεῖσθαι παρὰ δαρείου, οὔτε τῆς χώρας λαβεῖν ἀν-

τὶ

/. ἀλέξανδρον

// ἀπέγνω



τὶ τῆς πάσης τὸ μέρος. εἶναι γὰρ τά τε χρήματα καὶ τὴν χώραν αὐτοῦ πᾶσαν. γῆμαί τε ἂν ἐθέλοι τὴν δαρείου παῖδα, γῆμαι ἂν, καὶ οὐ διδόντος δαρείου. ἐκέλευέ τε αὐτὸν ἥκειν, εἴ τι εὑρέσθαι ἐθέλοι φιλάνθρωπον παρ' αὐτοῦ. ταῦτα ὡς ἤκουσε δαρεῖος, τὰς μὲν ξυμβάσεις ἀπέγνω τὰς πρὸς ἀλέξανδρον, ἐν παρασκευῇ δὲ τοῦ πολέμου αὖθις ἦν. ἀλέξανδρος δὲ ἐπ' αἰγύπτου ἔγνω ποιεῖσθαι τὸν στόλον· καὶ ἦν αὐτῷ τὰ μὲν ἄλλα τῆς παλαιστίνης, καλουμένης συρίας, προσκεχωρηκότα ἤδη. εὐνοῦχος δέ τις, ᾧ ὄνομα ἦν βάτις, κρατῶν τῆς γαζαίων πόλεως, οὐ προσεῖχεν ἀλεξάνδρῳ· ἀλλὰ ἄραβάς τε μισθωτοὺς ἐπαγόμενος, καὶ σῖτον ἐκ πολλοῦ παρασκευακὼς διαρκῆ ἐς χρόνιον πολιορκίαν, καὶ τῷ χωρίῳ πιστεύων, μή ποτε ἂν βίᾳ ἁλῶναι, ἔγνω μὴ δέχεσθαι τῇ πόλει ἀλέξανδρον. ἀπέχει δὲ ἡ γάζα τῆς μὲν θαλάσσης, εἴκοσι μάλιστα σταδίους· καὶ ἔστι ψαμμώδης καὶ βαθεῖα ἐς αὐτὴν ἡ ἄνοδος· καὶ ἡ θάλασσα, ἡ κατὰ τὴν πόλιν, τεναγώδης πᾶσα. μεγάλη δὲ πόλις ἡ γά-

ζα

GaZaV

ζα ἦν, καὶ ἐπὶ χώματος ὑψηλοῦ ᾤκιστο, καὶ τεῖχος περιεβέβλητο αὐτῇ ὀχυρόν. ἐσχάτη δὲ ᾠκεῖτο, ὡς ἐπ᾽ αἰγύπτου ἐκ φοινίκης ἰόντι, ἐπὶ τὴν ἀρχὴν τῆς ἐρήμου. ἀλέξανδρος δὲ ὡς ἀφίκετο πρὸς τὴν πόλιν, τῇ μὲν πρώτῃ κατεστρατοπέδευσεν, ᾗ μάλιστα ἐπίμαχον αὐτῷ ἐφαίνετο τὸ τεῖχος· καὶ μηχανὰς συμπηγνύναι ἐκέλευσεν. οἱ δὲ μηχανοποιοὶ γνώμην ἀπεδείκνυντο, ἄπορον εἶναι βίᾳ ἑλεῖν τὸ τεῖχος, διὰ ὕψος τοῦ χώματος. ἀλλ᾽ ἀλεξάνδρῳ ἐδόκει αἱρετέον, ὅσῳ ἀπορώτερον. ἐκπλήξειν γὰρ τοὺς πολεμίους τὸ ἔργον τῷ παραλόγῳ ἐπὶ μέγα, καὶ τὸ μὴ ἑλεῖν, οἱ λεγόμενον, ἔς τε τοὺς ἕλληνας καὶ ἐς δαρεῖον. ἐδόκει δὴ χῶμα ἐν κύκλῳ τῆς πόλεως χωννύναι, ὡς ἐξ ἴσου ἀπὸ τοῦ χωσθέντος ἐπάγεσθαι τὰς μηχανὰς τοῖς τείχεσιν. καὶ ἐχώννυτο κατὰ τὸ νότιον μάλιστα τῆς πόλεως τεῖχος, ἵνα ἐπιμαχώτερα ἐφαίνετο. ὡς δὲ ἐδόκει ἐξῆρθαι συμμέτρως τὸ χῶμα, μηχανὰς ἐπιστήσαντες οἱ μακεδόνες, ἐπῆγον ὡς ἐπὶ τὸ τεῖχος τῶν γαζαίων. καὶ ἐν τούτῳ θύοντι ἀλεξάνδρῳ,

καὶ

.:. Γ' αἰσχρόν



καὶ ἐστεφανωμένῳ τε, καὶ κατάρχεσθαι μέλλοντι τοῦ πρώτου ἱερείου κατὰ νόμον, τῶν τις σαρκοφάγων ὀρνίθων ὑπερπετόμενος ὑπὲρ τοῦ βωμοῦ, λίθον ἐμβάλλει ἐς τὴν κεφαλήν, ὅν τινα τοῖν ποσὶν ἔφερε. καὶ ἀλέξανδρος ἤρετο ἀρίστανδρον τὸν μάντιν, ὅ, τι νοεῖ ὁ οἰωνός. ὁ δὲ, ἀποκρίνεται, ὅτι ὦ βασιλεῦ, τὴν μὲν πόλιν αἱρήσεις, αὐτῷ δέ σοι φυλακτέον ἐστὶν ἐπὶ τῇδε τῇ ἡμέρᾳ. ταῦτα ἀκούσας ἀλέξανδρος, τέως μὲν πρὸς ταῖς μηχαναῖς ἔξω βέλους αὐτὸν εἶχεν. ὡς δὲ ἐκδρομή τε ἐκ τῆς πόλεως καρτερὰ ἐγίνετο, καὶ πῦρ τε ἐπέφερον ταῖς μηχαναῖς οἱ ἄραβες, καὶ τοὺς μακεδόνας ἀμυνομένους κάτωθεν αὐτοὶ, ἐξ ὑπερδεξίου τοῦ χωρίου ἔβαλλόν τε, καὶ ὤθουν ἤδη ἀπὸ τοῦ ποιητοῦ χώματος, ἐνταῦθα ἢ ἑκὼν ἀπειθεῖ ἀλέξανδρος τῷ μάντι, ἢ ἐκπλαγεὶς ἐν τῷ ἔργῳ, οὐκ ἐμνημόνευσε τῆς μαντείας, ἀλλ᾽ ἀναλαβὼν τοὺς ὑπασπιστὰς, παρεβοήθει, ἵνα μάλιστα ἐπιέζοντο οἱ μακεδόνες. καὶ τούτους μὲν ἔσχε, τοῦ μὴ οὐκ αἰσχρᾷ φυγῇ ὠσθῆναι κατὰ τοῦ χώματος, αὐτὸς

δὲ

δὲ βάλλεται καταπέλτῃ διὰ τῆς ἀσπίδος διαμπὰξ καὶ τοῦ θώρακος, ἐς τὸν ὦμον. ὡς δὲ ἔγνω τὰ ἀμφὶ τὸ τραῦμα ἀληθεύσαντα ἀρίσανδρον, ἐχάρη, ὅτι καὶ τὴν πόλιν δὴ αἱρήσειν ἐδόκει, ἀριστάνδρου ἕνεκα. καὶ αὐτὸς μὲν τὸ τραῦμα ἐθεραπεύετο χαλεπῶς. ἀφικνοῦνται δ᾽ αὐτῷ μετάπεμπτοι ἀπὸ θαλάσσης αἱ μηχαναί, αἷς τύρον εἷλε. καὶ χῶμα χωννύναι ἐν κύκλῳ πάντοθεν τῆς πόλεως ἐκέλευσεν, εὖρος μὲν ἐς δύο σταδίους, ὕψος δὲ ἐς πόδας πεντήκοντα καὶ διακοσίους, ὡς δὲ αἵ τε μηχαναὶ αὐτῷ ἐποιήθησαν, καὶ ἐπαχθεῖσαι κατὰ τὸ χῶμα κατέσεισαν τοῦ τείχους ἐπὶ πολύ, ὑπονόμων τε ἄλλῃ καὶ ἄλλῃ ὀρυσσομένων, καὶ τοῦ χοῦ ἀφανῶς ἐκφορουμένου, τὸ τεῖχος πολλαχῇ ἐρρίπτετο ὑφιζάνον ἐς τὸ κενούμενον, τοῖς τε βέλεσιν ἐπὶ πολὺ κατεῖχον οἱ μακεδόνες, ἀνασέλλοντες τοὺς προμαχομένους ἐκ τῶν πύργων, ἐς μὲν τρεῖς προσβολὰς οἱ ἐκ τῆς πόλεως, ἀποθνησκόντων τε αὐτοῖς πολλῶν, καὶ τιτρωσκομένων, ὅμως ἀντεῖχον. τῇ τετάρτῃ δέ, τῶν μακεδό-

νων

.: ἐρρίπτετο | χοός



νων τὴν φάλαγγα πάντοθεν προσαγαγὼν ἀλέξανδρος, τῇ μὲν ὑπορυσσόμενον τὸ τεῖχος καταβάλλει, τῇ δὲ παιόμενον ταῖς μηχαναῖς κατασείει ἐπὶ πολύ, ὡς μὴ χαλεπὴν ταῖς κλίμαξι τὴν προσβολὴν ἐπὶ τὰ ἐρηριμμένα ἐνδοῦναι. αἵ τε οὖν κλίμακες προσήγοντο τῷ τείχει, καὶ ἔρις πολλὴ ἦν τῶν μακεδόνων, ὅσοι τι ἀρετῆς μετεποιοῦντο, ὅστις πρῶτος αἱρήσει τὸ τεῖχος. καὶ αἱρεῖ πρῶτος νεοπτόλεμος τῶν ἑταίρων τῶν αἰακιδῶν γένος. ἐπὶ δὲ αὐτῷ ἄλλαι καὶ ἄλλαι τάξεις ὁμοῦ τοῖς ἡγεμόσιν ἀνέβαινον. ὡς δὲ ἅπαξ παρῆλθόν τινες εἴσω τοῦ τείχους τῶν μακεδόνων, κατασχίσαντες ἄλλας καὶ ἄλλας πύλας, ὅσαις ἕκαστοι ἐπετύγχανον, δέχονται εἴσω τὴν στρατιὰν πᾶσαν. οἱ δὲ γαζαῖοι καὶ τῆς πόλεως σφίσιν ἤδη ἐχομένης, ξυνεστηκότες ὅμως ἐμάχοντο. καὶ ἀπέθανον πάντες αὐτοῦ μαχόμενοι, ὡς ἕκαστοι ἐτάχθησαν. παῖδας δὲ καὶ γυναῖκας ἐξηνδραπόδισεν αὐτῶν ἀλέξανδρος, τὴν πόλιν δὲ ξυνοικίσας ἐκ τῶν περιοίκων, ἐχρῆτο ὅσα φρουρίῳ ἐς τὸν πόλεμον.

l

ἐχρῆτο ὅσα φρουρίῳ

# ΑΡΡΙΑΝΟΥ ΑΛΕΞΑΝΔΡΟΥ ΑΝΑΒΑΣΕΩΣ

## ΙΣΤΟΡΙΩΝ ΤΡΙΤΗ.

ΑΛΕΞΑΝΔΡΟΣ δὲ ἐπ' αἴγυπτον, ἵνα περ τὸ πρῶτον ὡρμήθη, ἐστέλλετο. καὶ ἑβδόμῃ ἡμέρᾳ ἐκ τῆς γάζης ἐλαύνων, ἧκεν εἰς πηλούσιον τῆς αἰγύπτου. ὁ δὲ ναυτικὸς στρατὸς, παρέπλει αὐτῷ ἐκ φοινίκης, ὡς ἐπ' αἴγυπτον· καὶ καταλαμβάνει τὰς ναῦς ἐν πηλουσίῳ ὁρμούσας. μαζάβης δὲ ὁ πέρσης, ὃς ἦν σατράπης αἰγύπτου, ἐκ δαρείου καθεστηκὼς, τήν τε ἐν ἰσσῷ μάχην ὅπως συνέβη πεπυσμένος, καὶ δαρεῖον ὅτι αἰσχρᾷ φυγῇ ἔφυγε, καὶ φοινίκην τε καὶ συρίαν καὶ τῆς ἀῤῥαβίας τὰ πολλὰ ὑπὸ ἀλεξάνδρου ἐχόμενα, αὐτῷ τε οὐκ οὔσης δυνάμεως περσικῆς, ἐδέχετο ταῖς πόλεσι φιλίως, καὶ τῇ χώρᾳ ἀλέξανδρον. ὁ δὲ ἐς μὲν πηλούσιον φυλακὴν εἰσήγαγε, τοὺς δὲ ἐπὶ τῶν νεῶν ἀναπλεῖν κατὰ τὸν ποταμὸν

κελεύ



σας, ἔς τε ἐπὶ μέμφιν πόλιν, αὐτὸς ἐφ' ἡλιοπόλεως ᾔει, ἐν δεξιᾷ ἔχων τὸν ποταμὸν τὸν νεῖλον, καὶ ὅσα καθ' ὁδὸν χωρία ἐνδιδόντων τῶν ἐνοικούντων κατασχὼν, διὰ τῆς ἐρήμου ἀφικνεῖται εἰς ἡλιούπολιν. ἐκεῖθεν δὲ διαβὰς τὸν πόρον, ἧκεν εἰς μέμφιν. καὶ θύει ἐκεῖ τοῖς τε ἄλλοις θεοῖς, καὶ τῷ ἄπιδι καὶ ἀγῶνα ἐποίησε, γυμνικόν τε καὶ μουσικόν. ἧκον δὲ αὐτῷ οἱ ἀμφὶ ταῦτα τεχνῖται ἐκ τῆς ἑλλάδος, οἱ δοκιμώτατοι. ἐκ δὲ μέμφιος κατέπλει κατὰ τὸν ποταμὸν ὡς ἐπὶ θάλασσαν, τούς τε ὑπασπιστὰς ἐπὶ τῶν νεῶν λαβὼν, καὶ τοὺς τοξότας, καὶ τοὺς ἀγριάνας, καὶ τῶν ἱππέων τὴν βασιλικὴν ἴλην τὴν τῶν ἑταίρων. ἐλθὼν δὲ εἰς κάνωβον, καὶ κατὰ τὴν λίμνην τὴν μαρείαν περιπλεύσας, ἀποβαίνει ὅπου νῦν ἀλεξάνδρεια πόλις ᾤκισται, ἀλεξάνδρου ἐπώνυμος, καὶ ἔδοξεν αὐτῷ ὁ χῶρος κάλλιστος κτίσαι ἐν αὐτῷ πόλιν, καὶ γενέσθαι ἂν εὐδαίμονα τὴν πόλιν. πόθος οὖν λαμβάνει αὐτὸν τοῦ ἔργου, καὶ αὐτὸς τὰ σημεῖα τῇ πόλει ἔθηκε, ἵνα τε ἀγορὰν ἐν αὐτῇ δείμασθαι

 ἔδει,

ἔθει, καὶ ἱερὰ ὅσα καὶ θεῶν ὧν τινων, τῶν
μὲν ἑλληνικῶν, ἴσιδος δὲ αἰγυπτίας· καὶ τὸ
τεῖχος, ᾗ περιβεβλῆσθαι, καὶ ἐπὶ τούτοις ἔθυ
ε, καὶ τὰ ἱερὰ καλὰ ἐφαίνετο. λέγεται
δέ τις καὶ τοιόσδε λόγος, οὐκ ἄπιστος ἔμοι
γε, ἐθέλειν μὲν ἀλέξανδρον καταλείπειν
αὐτὸν τὰ σημεῖα τοῦ τειχισμοῦ τοῖς τέκτο-
σιν, οὐκ εἶναι δὲ ὅτῳ τὴν γῆν ἐπιγράψου-
σι. τῶν δὴ τεκτόνων τινὰ ἐπιφρασθέντα,
ὅσα ἐν τεύχεσιν ἄλφιτα οἱ στρατιῶται ἐκό-
μιζον ξυναγαγόντα, ἐπιβάλλειν τῇ γῇ, ἵνα
περ ὁ βασιλεὺς ὑφηγεῖτο. καὶ τὸν κύκλον
οὕτω περιγραφῆναι τοῦ περιτειχισμοῦ, ὅν
τινα τῇ πόλει ἐποίει. τοῦτο δὲ ἐπιλεξαμένους
τοὺς μάντεις, καὶ μάλιστα δὴ ἀρίστανδρον
τὸν τελμισσέα, ὃς δὴ πολλὰ μὲν καὶ ἄλλα
ἀληθεῦσαι ἐλέγετο ἀλεξάνδρῳ, φάναι εὐ
δαίμονα ἔσεσθαι τὴν πόλιν, τά τε ἄλλα,
καὶ τῶν ἐκ γῆς καρπῶν ἕνεκα. ἐν τούτῳ δὲ
καὶ ἡγέλοχος κατέπλευσεν εἰς αἴγυπτον,
καὶ ἀπαγγέλλει ἀλεξάνδρῳ, τενεδίους τε
ἀποστάντας περσῶν, σφίσι προσθέσθαι· καὶ
γὰρ ἄκοντας πέρσαις προσχωρῆσαι. καὶ χίους,
ὅτι



ὅτι ὁ δῆμος ἐπηγάγετο σφᾶς βίᾳ τῶν κα-
τεχόντων τὴν πόλιν, οὓς αὐτοφραδάτης τε
καὶ φαρνάβαζος ἐγκατέστησαν. ἁλῶναι
δὲ αὐτόθι καὶ φαρνάβαζον ἐγκαταλη-
φθέντα, καὶ ἀριστόνικον μηθυμναῖον τὸν τύ
ραννον, ὃς εἰσπλεύσαντα ἐς τὸν λιμένα τῆς
χίου σὺν ἡμιολίαις λῃστρικαῖς πέντε, ὑπὸ
σφῶν ἐχόμενον τὸν λιμένα οὐ γνόντα, ἀλλ'
ἐξαπατηθέντα γὰρ πρὸς τῶν τὰ κλεῖθρα ἐ-
χόντων τοῦ λιμένος, ὅτι τὸ φαρναβάζου
ἄρα ναυτικὸν ὁρμεῖ ἐν αὐτῷ, καὶ τοὺς μὲν
λῃστὰς πάντας αὐτοῦ κατακοπῆναι πρὸς
σφῶν. ἀριστόνικον δὲ ἦγε παρ' ἀλέξανδρον,
καὶ ἀπολλωνίδην τὸν χῖον, καὶ φύσινον, καὶ
μεγαρέα, καὶ τοὺς ἄλλους, ὅσοι τῆς τε ἀπο-
στάσεως τῆς χίων ξυνεπελάβοντο, καὶ ἐν
τῷ τότε τὰ πράγματα τῆς νόσου βίᾳ εἶ-
χον. καὶ μιτυλήνην δὲ χάρητα ἔχοντα, ὅτι
ἀφείλετο· καὶ τὰς ἄλλας τὰς ἐν λέσβῳ πό-
λεις, καὶ αὐτὰς ὁμολογίᾳ προσηγάγετο.
ἀμφοτερὸν δὲ ξὺν ἑξήκοντα ναυσὶν ἐπὶ
κῶ ἔπεμψε· ἐπικαλεῖσθαι γὰρ σφᾶς τοὺς κῴ
ους, καὶ αὐτὸς καταπλεύσας, ὅτι εὗρε τὴν
l 3 κῶ

.: νήσου

κῶ πρὸς ἀμφοτέρου ἤδη ἐχομένην. καὶ τοὺς μὲν ἄλλους, ὅσοι αἰχμάλωτοι, ἦγεν ἡγέλοχος. φαρνάβαζος δὲ ἀπέδρα ξυνεχόμενος, λαθὼν τοὺς φύλακας. ἀλέξανδρος δὲ τοὺς τυράννους μὲν, τοὺς ἐκ τῶν πόλεων, ἐς τὰς πόλεις πέμπει, χρήσασθαι ὅπως ἐθέλοιεν. τοὺς δὲ ἀμφὶ ἀπολλωνίδην τοὺς χίους, ἐς ἐλεφαντίνην πόλιν αἰγυπτίαν ξὺμ φυλακῇ ἀκριβῆ ἔπεμψεν. ἐπὶ τούτοις δὲ πόθος λαμβάνει αὐτὸν, ἐλθεῖν παρ᾽ ἄμμωνα ἐς λιβύην, τὸ μέν τι τῷ θεῷ χρησόμενον, ὅτι ἀτρεκὲς ἐλέγετο εἶναι τὸ μαντεῖον τοῦ ἄμμωνος, καὶ χρήσασθαι αὐτῷ περσέα καὶ ἡρακλέα· τὸν μὲν, ἐπὶ τὴν γοργόνα, ὅτε πρὸς πολυδέκτου ἐστέλλετο· τὸν δὲ, ὅτε παρ᾽ ἀνταῖον ᾔει εἰς λιβύην, καὶ παρὰ βούσιριν εἰς αἴγυπτον. ἀλεξάνδρῳ δὲ φιλοτιμία ἦν πρὸς περσέα καὶ ἡρακλέα, ἀπὸ γένους τε ὄντι τοῦ ἀμφοῖν· καί τι καὶ αὐτὸς τῆς γενέσεως τῆς ἑαυτοῦ ἐς ἄμμωνα ἀνέφερε, καθάπερ οἱ μῦθοι τῆς ἡρακλέους τε καὶ περσέως ἐς δία. καὶ οὖν παρ᾽ ἄμμωνα ταύτῃ τῇ γνώμῃ ἐστέλλετο, ὡς καὶ τὰ αὑτοῦ ἀτρεκέστερον εἰσόμενος, ἢ φήσων

γε



γε ἐγνωκέναι. μέχρι μὲν δὴ παραιτονίου παρὰ θάλασσαν ᾔει δι᾽ ἐρήμου, οὐ μέντοι δι᾽ ἀνύδρου τῆς χώρας, σταδίους ἐς χιλίους καὶ ἑξακοσίους, ὡς λέγει ἀριστόβουλος. ἐντεῦθεν δὲ ἐς τὴν μεσόγαιαν ἐτράπετο, ἵνα τὸ μαντεῖον ἦν τοῦ ἄμμωνος. ἔστι δὲ ἐρήμη τε ἡ ὁδὸς, καὶ ψάμμος ἡ πολλὴ αὐτῆς, καὶ ἄνυδρος. ὕδωρ δὲ ἐξ οὐρανοῦ ἀλεξάνδρῳ πολὺ ἐγένετο, καὶ τοῦτο ἐς τὸ θεῖον ἀνηνέχθη. ἀνηνέχθη δὲ ἐς τὸ θεῖον καὶ τόδε. ἄνεμος νότος ἐπὰν πνεύσῃ ἐν ἐκείνῳ τῷ χώρῳ, τῆς ψάμμου ἐπιφορεῖ κατὰ τῆς ὁδοῦ ἐπὶ μέγα, καὶ ἀφανίζει τῆς ὁδοῦ τὰ σημεῖα. οὐδὲ ἔστιν εἰδέναι, ἵνα χρὴ πορεύεσθαι, καθάπερ ἐν πελάγει τῇ ψάμμῳ· ὅτι σημεῖα οὐκ ἔστι κατὰ τὴν ὁδὸν, οὔτε που ὄρος, οὔτε δένδρον, οὔτε γήλοφοι βέβαιοι ἀνεστηκότες, οἷς τισιν οἱ ὁδῖται τεκμαίροιντο ἂν τὴν πορείαν, καθάπερ οἱ ναῦται τοῖς ἄστροις. ἀλλὰ ἐπλανᾶτο γὰρ ἡ στρατιὰ ἀλεξάνδρου, καὶ οἱ ἡγεμόνες, τῆς ὁδοῦ ἀμφιβόλου οὔσης. πτολεμαῖος μὲν δὴ ὁ λάγου λέγει, δράκοντας δύο ἰέναι πρὸ τοῦ στρατεύματος, φωνὴν ἱέντας, καὶ τούτοις ἀλέξανδρον κελεῦσαι



ἕπεσθαι

∴ καὶ ὁ



ἕπεσθαι τοὺς ἡγεμόνας, πιστεύσαντας τῷ θείῳ. τοὺς δὲ ἡγήσασθαι τὴν ὁδὸν, τήν τε ἐς τὸ μαντεῖον, καὶ ὀπίσω αὖθις. ἀριστόβουλος δὲ ᾧ πλείων λόγος ταύτῃ κατέχει, κόρακας δύο προπετομένους πρὸ τῆς στρατιᾶς, τούτους γενέσθαι ἀλεξάνδρου τοὺς ἡγεμόνας. καὶ ὅτι μὲν θεῖόν τι ξυνεπέλαβεν αὐτῷ, ἔχω ἰσχυρίσασθαι, ὅτι καὶ τὸ εἰκὸς ταύτῃ ἔχει. τὸ δὲ ἀτρεκὲς τοῦ λόγου ἀφείλοντο οἱ ἄλλῃ καὶ ἄλλῃ αὐτὸ ἐξηγησάμενοι. Ὁ δὲ χῶρος, ἵνα πὲρ τοῦ ἄμμωνος τὸ ἱερόν ἐστι, τὰ μὲν κύκλῳ πάντα ἔρημα, καὶ ψάμμος τὸ πᾶν ἔχει, καὶ ἄνυδρος. αὐτὸς δὲ ἐν μέσῳ ὀλίγος ὢν (ὅσον γὰρ πλεῖστον αὐτοῦ ἐς πλάτος διέχει, ἐς τεσσαράκοντα μάλιστα σταδίους ἔρχεται) κατάπλεώς ἐστιν ἡμέρων δένδρων, ἐλαιῶν καὶ φοινίκων, καὶ ἔνδροσος μόνος τῶν πέριξ. καὶ πηγὴ ἐξ αὐτοῦ ἀνίσχει, οὐδέν τι ἐοικυῖα ταῖς πηγαῖς, ὅσαι ἄλλαι ἐκ γῆς ἀνίσχουσιν. ἐν μὲν γὰρ μεσημβρίᾳ ψυχρὸν τὸ ὕδωρ γευσαμένῳ τε, καὶ ἔτι μᾶλλον ἁψαμένῳ, οἷον ψυχρότατον. ἐγκλίναντος δὲ τοῦ ἡλίου ἐς ἑσπέραν, θερμότερον.

καὶ

/. ψυχρότατος

θερμότατον



καὶ ἀπὸ τῆς ἑσπέρας ἔτι θερμότερον, ἔς τε ἐπὶ μέσας τὰς νύκτας. μέσων δὲ νυκτῶν ἑαυτοῦ θερμότητα. ἀπὸ δὲ μέσων νυκτῶν, ψύχεται ἐν τάξει. καὶ ἕωθεν ψυχρὸν ἤδη ἐστὶ, ψυχρότατον δὲ μεσημβρίαν. καὶ τοῦτο ἀμείβει ἐπὶ ἑκάστῃ τῇ ἡμέρᾳ. γίγνονται δὲ καὶ ἅλες αὐτόματοι, ἐν τῷ χωρίῳ τούτῳ ὀρυκτοί. καὶ τούτων ἔστιν, οὓς ἐς αἴγυπτον φέρουσι τῶν ἱερέων τινὲς τοῦ ἄμμωνος. ἐπειδὰν γὰρ ἐπ᾽ αἰγύπτου στέλλονται, ἐς κοιτίδας πλεκτὰς ἐκ φοίνικος ἐσβαλόντες, δῶρον τῷ βασιλεῖ ἀποφέρουσιν, ἢ εἴ τῳ ἄλλῳ. ἔστι δὲ μακρός τε ὁ χόνδρος, ἤδη τινὲς αὐτῶν καὶ ὑπὲρ τρεῖς δακτύλους, καὶ καθαρὸς, ὥσπερ κρύσταλλος. καὶ τούτῳ ἐπὶ ταῖς θυσίαις χρῶνται, ὡς καθαρωτέρῳ τῶν ἀπὸ θαλάσσης ἁλῶν, αἰγύπτιοί τε, καὶ ὅσοι ἄλλοι τοῦ θείου οὐκ ἀμελῶς ἔχουσιν. ἐνταῦθα ἀλέξανδρος τόν τε χῶρον ἐθαύμασε, καὶ τῷ θεῷ ἐχρήσατο. καὶ ἀκούσας ὅσα αὐτοῦ πρὸς θυμὸν ἦν, ὡς ἔλεγεν, ἀνέζευξεν ἐπ᾽ αἰγύπτου. ὡς μὲν ἀριστόβουλος λέγει, τὴν αὐτὴν ὀπίσω ὁδόν. ὡς δὲ πτολεμαῖος ὁ λάγου, ἄλ-

λην

ἐν τάξει

λην εὐθεῖαν, ὡς ἐπὶ μέμφιν ἐς μέμφιν δὲ αὐτῷ πρεσβεῖαί τε πολλαὶ ἐκ τῆς ἑλλάδος ἧκον· καὶ οὐκ ἔστιν ὅντινα ἀτυχήσαντα ὧν ἐδεῖτο ἀπέπεμψε. καὶ στρατιὰ παραγίνεται, παρὰ μὲν ἀντιπάτρου μισθοφόροι ἕλληνες ἐς τετρακοσίους, ὧν ἡγεῖτο μενοίτας ὁ ἡγησάνδρου. ἐκ θρᾴκης δὲ ἱππεῖς ἐς πεντακοσίους, ὧν ἦρχεν ἀσκληπιόδωρος ὁ εὐνίκου. ἐνταῦθα δὲ θύει τῷ διὶ τῷ βασιλεῖ, καὶ πομπεύει ξὺν τῇ στρατιᾷ ἐν τοῖς ὅπλοις. καὶ ἀγῶνα ποιεῖ γυμνικόν, καὶ μουσικόν. καὶ τὰ κατὰ τὴν αἴγυπτον ἐνταῦθα ἐκόσμησε· δύο μὲν νομάρχας αἰγύπτου κατέστησεν αἰγυπτίους, δολόασπιν καὶ πέτισιν. καὶ τούτοις διένειμε τὴν χώραν τὴν αἰγυπτίαν. πετισίου δὲ ἀπειπαμένου τὴν ἀρχήν, δολόασπις ἐκδέχεται πᾶσαν. φρουράρχους δὲ τῶν ἑταίρων ἐν μέμφει μὲν πανταλέοντα κατέστησε τὸν πυδναῖον. ἐν πηλουσίῳ δέ, πολέμωνα τὸν μεγακλέους πελλαῖον. τῶν ξένων δὲ ἄρχειν λυκίδαν αἰτωλόν. γραμματέα δὲ ἐπὶ τῶν ξένων, εὔγνωστον τὸν ξενοφάντου, τῶν ἑταίρων. ἐπισκόπους δὲ αὐτῶν, αἰσχύ-

λον



λον τε, καὶ ἔφιππον τὸν χαλκιδόνα. λιβύης δὲ τῆς προσχώρου ἄρχειν δίδωσιν ἀπολλώνιον χαρίνου, ἀρραβίας δὲ τῆς πρὸς ἡρώων πόλεως κλεομένην τὸν ἐκ ναυκράτιος. καὶ τούτῳ παρηγγέλλετο, τοὺς μὲν νομάρχας ἐᾶν ἄρχειν τῶν νομῶν τῶν κατὰ σφᾶς, καθάπερ ἐκ παλαιοῦ καθειστήκει. αὐτὸν δὲ ἐκλέγειν παρ᾽ αὐτῶν τοὺς φόρους. οἱ δέ, ἀποφέρειν αὐτῷ ἐτάχθησαν. στρατηγοὺς δὲ τῇ στρατιᾷ κατέστησεν, ἥν τινα ἐν αἰγύπτῳ ὑπελείπετο, πευκέσταν τε τὸν μακαρτάτου, καὶ βάλακρον τὸν ἀμύντου. ναύαρχον ἐπὶ τῶν νεῶν, πολέμωνα τὸν θηραμένους. σωματοφύλακα δὲ ἀντὶ βαλάκρου, τὸν λεοννάτον τὸν ὀνάσου ἔταξεν. ἀννούβας γὰρ νόσῳ ἀπέθανεν. ἀπέθανε δὲ καὶ ἀντίοχος, ὁ ἄρχων τῶν τοξοτῶν, καὶ ἀντ᾽ αὐτοῦ ἄρχειν ἐπέστησε τοῖς τοξόταις ὀμβρίωνα κρῆτα. ἐπὶ δὲ τοὺς ξυμμάχους τοὺς πεζούς, ὧν βάλακρος ἡγεῖτο, ἐπεὶ βάλακρος ἐν αἰγύπτῳ ὑπελείπετο, κάλανον κατέστησεν ἡγεμόνα. κατανεῖμαι δὲ λέγεται ἐς πολλοὺς τὴν ἀρχὴν τῆς αἰγύπτου, τήν τε φύσιν τῆς χώρας θαυμάσας,

καὶ

καὶ τὴν ὀχυρότητα, ὅτι οὐκ ἀσφαλὲς αὐτῷ ἐφαίνετο, ἑνὶ ἐπιτρέψαι ἄρχειν αἰγύπτου πάσης. καὶ ῥωμαῖοί μοι δοκοῦσι παρ᾽ ἀλεξάνδρου μαθόντες, ἐν φυλακῇ ἔχειν αἴγυπτον, καὶ μηδένα τῶν ἀπὸ βουλῆς ἐπὶ τῷδε ἐκπέμπειν ὕπαρχον αἰγύπτου, ἀλλὰ τῶν εἰς τοὺς ἱππέας σφίσι ξυντελούντων. ἀλέξανδρος δὲ ἅμα τῷ ἦρι ὑποφαίνοντι, ἐκ μέμφιος ᾔει ἐπὶ φοινίκης, καὶ ἐγεφυρώθη αὐτῷ ὅ, τε ἐπὶ μέμφιν πόρος τοῦ νείλου, καὶ αἱ διώρυχες αὐτοῦ πᾶσαι. ὡς δὲ ἀφίκετο ἐς τύρον, καταλαμβάνει ἐνταῦθα ἥκον αὐτῷ ἤδη καὶ τὸ ναυτικόν. ἐν τύρῳ δὲ αὖθις θύει τῷ ἡρακλεῖ· καὶ ἀγῶνα ποιεῖ γυμνικόν τε καὶ μουσικόν. ἐνταῦθα ἀφικνεῖται παρ᾽ αὐτὸν ἐξ ἀθηνῶν ἡ πάραλος, πρέσβεις ἄγουσα, διόφαντον καὶ ἀχιλλέα. ξυνεπρέσβευον δὲ αὐτοῖς, καὶ οἱ πάραλοι ξύμπαντες. καὶ οὗτοι τῶν τε ἄλλων ἔτυχον, ὧν ἕνεκα ἐστάλησαν. καὶ τοὺς αἰχμαλώτους ἀφῆκεν ἀθηναίοις, ὅσοι ἐπὶ γρανίκῳ ἀθηναίων ἑάλωσαν. τὰ δ᾽ ἐν πελοποννήσῳ, ὅτι αὐτῷ νεωτερίζεται ἀπήγγελτο, ἀμφοτε-

ρὸν



ρὸν πέμπει βοηθεῖν πελοποννησίων ὅσοι ἔς τε τὸν περσικὸν πόλεμον βέβαιοι ἦσαν, καὶ λακεδαιμονίων οὐ κατήκουον. φοίνιξι δὲ καὶ κυπρίοις προσετάχθη ἑκατὸν ναῦς ἄλλας, πρὸς αἷς ἔχοντα ἀμφότερον ἔπεμπε στέλλειν ἐπὶ πελοποννήσου. αὐτὸς δὲ ἤδη ἄνω ὡρμᾶτο, ὡς ἐπὶ θάψακόν τε καὶ τὸν εὐφράτην ποταμόν, ἐν φοινίκῃ μὲν ἐπὶ τῶν φόρων τῇ ξυλλογῇ καταστήσας κοίρανον βερροιαῖον· φιλόξενον δὲ τῆς ἀσίας, τὰ ἐπὶ τάδε τοῦ ταύρου ἐκλέγειν. τῶν ξὺν αὐτῷ δὲ χρημάτων τὴν φυλακὴν, ἀντὶ τούτων ἐπέτρεψεν ἁρπάλῳ τῷ μαχάτα, ἄρτι ἐκ τῆς φυγῆς ἥκοντι. ἅρπαλος γὰρ τὰ μὲν πρῶτα ἔφυγε, φιλίππου ἔτι βασιλεύοντος, ὅτι πιστὸς ἦν. καὶ πτολεμαῖος ὁ λάγου ἐπὶ τῷ αὐτῷ ἔφυγε, καὶ νέαρχος ὁ ἀνδροτίμου, καὶ ἐριγύϊος ὁ λαρίχου, καὶ λαομέδων ὁ τούτου ἀδελφός· ὅτι ὕποπτα ἦν ἀλεξάνδρῳ πρὸς φίλιππον, ἐπειδὴ εὐρυδίκην γυναῖκα ἠγάγετο φίλιππος, ὀλυμπιάδα δὲ τὴν ἀλεξάνδρου μητέρα ἠτίμασε. τελευτήσαντος δὲ φιλίππου, κατελθόντας ἀπὸ

τῆς

∴ f. λαομαίδων · sed paulo post & in codice scripto habetur λαομέδων

τῆς φυγῆς, ὅσοι δι᾽ αὐτὸν ἔφυγον, πτολε-
μαῖον μὲν σωματοφύλακα κατέστησε. ἅρ-
παλον δὲ, ἐπὶ τῶν χρημάτων, ὅτι αὐτῷ τὸ
σῶμα ἐν τοῖς πολέμοις ἀχρεῖον ἦν· ἐριγύϊον
δὲ, ἱππάρχην τῶν ξυμμάχων· λαομέδοντα
δὲ, τὸν τούτου ἀδελφὸν, ὅτι δίγλωσσος ἦν
ἐν τὰ βαρβαρικὰ γράμματα, ἐπὶ τοῖς αἰ-
χμαλώτοις βαρβάροις· νέαρχον δὲ, σατρά-
πην λυκίας, καὶ τῆς ἐχομένης λυκίας χώ-
ρας, ἔς τε ἐπὶ τὸν ταῦρον τὸ ὄρος. ὀλίγον δὲ
πρόσθεν τῆς μάχης τῆς ἐν ἰσσῷ γιγνομένης,
ἀναπεισθεὶς πρὸς ταυρίσκου ἀνδρὸς κα-
κοῦ ἅρπαλος, φεύγει ξὺν ταυρίσκῳ. καὶ
ὁ μὲν ταυρίσκος παρ᾽ ἀλέξανδρον τὸν ἠ-
πειρώτην ἐν ἰταλίαν σταλεὶς, ἐκεῖ ἐτελεύ-
τησεν. ἁρπάλῳ δὲ, ἐν τῇ μεγαρίδι φυγὴ
ἦν. ἀλλ᾽ ἀλέξανδρος πείθει αὐτὸν κατελ-
θεῖν, πίστεις δοὺς οὐδὲν αὐτῷ μεῖον ἔσεσθαι
ἐπὶ τῇ φυγῇ· οὐδὲ ἐγένετο ἐπανελθόντι,
ἀλλ᾽ ἐπὶ τῶν χρημάτων αὖθις ἐτάχθη ἅρ-
παλος. ἐν λυδίαν δὲ σατράπην μέναν-
δρον ἐκπέμπει, τῶν ἑταίρων. ἐπὶ δὲ τοῖς
ξένοις, ὧν ἡγεῖτο μένανδρος, κλέαρχος αὐ-
τῷ



τῷ ἐτάχθη. ἀντὶ δὲ ἀρίμμα, σατράπην
συρίας ἀσκληπιόδωρον τὸν εὐνίκου ἀπέ-
δειξεν, ὅτι ἀρίμμας βασιλεῦσαι ἐδόκει αὐ-
τῷ ἐν τῇ παρασκευῇ, ἥν τινα ἐτάχθη πα-
ρασκευάσαι τῇ στρατιᾷ, κατὰ τὴν ὁδὸν
τὴν ἄνω. καὶ ἀφίκετο ἐν θάψακον ἀλέξαν-
δρος μηνὸς ἑκατομβαιῶνος, ἐπὶ ἄρχοντος
ἀθήνησιν ἀριστοφάνους. καὶ καταλαμβάνει
δυοῖν γεφύραιν ἐζευγμένον τὸν πόρον. καὶ
γὰρ καὶ μαζαῖος, ὅτῳ ἡ φυλακὴ τοῦ ποτα-
μοῦ ἐκ δαρείου ἐπετέτραπτο, ἱππέας μὲν
ἔχων ποῦ τρισχιλίους, καὶ τούτων ἕλληνας μι-
σθοφόρους δισχιλίους, τέως μὲν αὐτοῦ ἐπὶ τῷ
ποταμῷ ἐφύλασσε. καὶ ἐπὶ τῷδε οὐ ξυνεχὴς
ἡ γέφυρα ἦν ἐζευγμένη, ἔς τε ἐπὶ τὴν ἀντι-
πέρας ὄχθην τοῖς μακεδόσι δειμαίνουσι, μὴ
ἐπιθοῖντο οἱ ἀμφὶ γαζαῖον τῇ γεφύρᾳ, ἵνα
ἐπαύετο. μαζαῖος δὲ ὡς ἤκουσεν ἤδη προ-
σάγοντα ἀλέξανδρον, ᾤχετο φεύγων ξὺν
τῇ στρατιᾷ πάσῃ. καὶ εὐθὺς ὡς ἔφυγε γαζαῖ-
ος, ἐπεβλήθησαν αἱ γέφυραι τῇ ὄχθῃ τῇ πέ-
ραν, καὶ διέβη ἐπ᾽ αὐτῶν ξὺν τῇ στρατιᾷ ἀλέ-
ξανδρος. ἔνθεν δὲ ἐχώρει ἄνω, ἐν ἀριστερᾷ
ἔχων

ἔχων τὴν εὐφράτην ποταμόν, καὶ τῆς ἀρ-
μενίας τὰ ὄρη διὰ τῆς μεσοποταμίας καλου
μένης χώρας. οὐκ εὐθεῖαν δὲ ἐπὶ βαβυλῶ-
νος ἦγεν, ἀπὸ τοῦ εὐφράτου ὁρμηθείς. ὅτι τὴν
ἑτέραν ἰόντι, εὐπορώτερα τὰ ξύμπαντα
τῷ στρατῷ ἦν, καὶ χιλὸς τοῖς ἵπποις, καὶ τὰ
ἐπιτήδεια ἐκ τῆς χώρας λαμβάνειν· καὶ
τὸ καῦμα, οὐχ ὡσαύτως ἐπιφλέγον. ἁλόν-
τες δέ τινες κατὰ τὴν ὁδὸν τῶν ἀπὸ τοῦ δα
ρείου στρατεύματος κατασκοπῆς ἕνεκα
ἀπεσκεδασμένων, ἐξήγγειλαν ὅτι δαρεῖος
ἐπὶ τοῦ τίγρητος ποταμοῦ κάθηται, ἐγνω
κὼς εἴργειν ἀλέξανδρον, εἰ διαβαίνοι· καὶ εἶ
ναι αὐτῷ στρατιὰν πολὺ μείζονα, ἢ ξὺν ᾗ ἐν
κιλικίᾳ ἐμάχετο. ταῦτα ἀλέξανδρος ἀ-
κούσας, ᾔει σπουδῇ ἐπὶ τὸν τίγρητα. ὡς δὲ
ἀφίκετο, οὔτε αὐτὸν δαρεῖον καταλαμβά
νει, οὔτε τὴν φυλακήν, ἥν τινα ἀπολείπει
δαρεῖος· ἀλλὰ διαβαίνει τὸν πόρον, χαλε-
πῶς μὲν διὰ ὀξύτητα τοῦ ῥοῦ, οὐδενὸς δὲ
εἴργοντος· ἐνταῦθα ἀναπαύει τὸν στρατόν·
καὶ τῆς σελήνης τὸ πολὺ ἐκλιπὲς ἐγένετο.
καὶ ἀλέξανδρος ἔθυε τῇ τε σελήνῃ, καὶ τῷ





ἡλίῳ, καὶ τῇ γῇ, ὅτων τὸ ἔργον τοῦτο λόγος
εἶναι κατέχει. καὶ ἐδόκει ἀριστάνδρῳ πρὸς
μακεδόνων καὶ ἀλεξάνδρου, εἶναι τῆς σελή-
νης τὸ πάθημα, καὶ ἐκείνου τοῦ μηνὸς ἔσεσθαι
ἡ μάχη· καὶ ἐκ τῶν ἱερῶν, νίκην σημαίνεσθαι
ἀλεξάνδρου. ἄρας δὲ ἀπὸ τοῦ τίγρητος, ᾔει
διὰ τῆς συρίας χώρας, ἐν ἀριστερᾷ μὲν ἔχων
τὰ γορδυηνῶν ὄρη, ἐν δεξιᾷ δὲ αὐτὸν τὸν τί-
γρητα. τετάρτῃ δὲ ἡμέρᾳ ἀπὸ τῆς διαβά-
σεως, οἱ πρόδρομοι αὐτῷ ἐξαγγέλλουσιν, ὅτι
ἱππεῖς οὗτοι πολέμιοι ἀνὰ τὸ πεδίον φαί-
νονται· ὅσοι δέ, οὐκ ἔχειν εἰκάσαι. ξυντάξας
οὖν τὴν στρατιάν, προὐχώρει ὡς ἐς μάχην.
καὶ ἄλλοι αὖ τῶν προδρόμων προσελάσαν
τες, ἀκριβέστερον οὗτοι κατιδόντες, ἔφα-
σκον δοκεῖν εἶναι σφίσι τοὺς ἱππέας, οὐ πλεί-
ους ἢ χιλίους. ἀναλαβὼν οὖν τήν τε βασι-
λικὴν ἴλην, καὶ τῶν ἑταίρων μίαν, καὶ τῶν
προδρόμων τοὺς παίονας, ἤλαυνε σπουδῇ.
τὴν δὲ ἄλλην στρατιάν, βάδην ἕπεσθαι ἐκέ
λευσεν. οἱ δὲ τῶν περσῶν ἱππεῖς κατιδόν-
τες τοὺς ἀμφ᾽ ἀλέξανδρον ὀξέως ἐπάγον-
τας, ἔφευγον ἀνὰ κράτος. καὶ ἀλέξανδρος

διώκων ἐνέκειντο, καὶ οἱ μὲν πολλοὶ ἀπέφυ-
γον. τοὺς δέ τινας καὶ ἀπέκτειναν, ὅσοις οἱ
ἵπποι ἐν τῇ φυγῇ ἔκαμον· τοὺς δὲ, καὶ ζῶν-
τας αὐτοῖς ἵπποις ἔλαβον. καὶ παρὰ τού-
των ἔμαθον, ὅτι οὐ πόῤῥω εἴη δαρεῖος ξὺν
δυνάμει πολλῇ. βεβοηθήκεσαν γὰρ δαρείῳ,
ἰνδῶν τε ὅσοι βακτρίοις ὅμοροι, καὶ αὐτοὶ
βακτριοὶ, καὶ σογδιανοί. τούτων μὲν πάν-
των ἡγεῖτο βῆσσος, ὁ τῆς βακτρίων χώρας
σατράπης. εἵποντο δὲ αὐτοῖς καὶ σάκαι. σκυ
θικὸν τοῦτο τὸ γένος, τῶν τὴν ἀσίαν ἐποικούν
των σκυθῶν, οὐχ ὑπήκοοι ὄντες βήσσου, ἀλ-
λὰ κατὰ συμμαχίαν τὴν δαρείου. ἡγεῖτο δὲ
αὐτῶν μαυάκης· αὐτοὶ δὲ ἱπποτοξόται ἦσαν.
βαρσαέντης δὲ ἀραχώτων σατράπης, ἀρα-
χώτους τε ἦγε, καὶ τοὺς ὀρείους ἰνδοὺς καλου
μένους. σατιβαρζάνης δὲ ἀρείων σατράπης,
ἀρείους ἦγε. παρθυαίους δὲ, καὶ ὑρκανίους,
καὶ τοπείρους, τοὺς πάντας ἱππέας, φρατα
φέρνης ἦγεν. μήδων δὲ ἡγεῖτο, ἀτροπάτης.
ξυνετάττοντο δὲ μήδοις, καδούσιοί τε, καὶ
ἀλβανοὶ, καὶ σακεσῖναι. τοὺς δὲ προσοίκους
τῇ ἐρυθρᾷ θαλάσσῃ, ὀκονδοβάτης, καὶ





ἀριβαρζάνης καὶ ὀξίνης ἐκόσμουν. οὔξιοι
δὲ καὶ σουσιανοὶ, ἡγεμόνα παρείχοντο ὀξάν- Susiani
θην τὸν ἀβουλίτου. βουπάρης δὲ, βαβυλω
νίων ἡγεῖτο. οἱ ἀνάσπαστοι κάρδες καὶ σιτα-
κινοὶ σὺν βαβυλωνίοις ἐτετάχατο. ἀρμε-
νίων δὲ ὀρόντης καὶ μιθραύστης ἦρχε, καὶ ἀ-
ριάκης καππαδοκῶν. σύρους δὲ τούς τε ἐκ
τῆς κοίλης, καὶ ὅσοι τῶν μεταξὺ τῶν ποτα-
μῶν συρίας, μαζαῖος ἦγεν. ἐλέγετο δὲ ἡ
πᾶσα στρατιὰ ἡ δαρείου, ἱππεῖς μὲν ἐς τετρα
κισμυρίους, πεζοὶ δὲ ἐς ἑκατὸν μυριάδας.
καὶ ἅρματα δρεπανηφόρων διακόσια. ἐλέ-
φαντες δὲ οὐ πολλοὶ, ἀλλὰ ἐς πεντεκαίδε-
κα μάλιστα ἰνδοῖς τοῖς ἐπὶ τάδε τοῦ ἰνδοῦ
ἦσαν. ξὺν ταύτῃ τῇ δυνάμει ἐστρατοπεδεύ
κει δαρεῖος ἐν γαυγαμήλοις, πρὸς ποταμῷ
βουμάδῳ, ἀπέχων ἀρβήλων τῆς πόλεως
ὅσον ἑξακοσίους σταδίους, ἐν χώρῳ ὁμαλῷ πάν
τῃ. καὶ γὰρ καὶ ὅσα ἀνώμαλα αὐτοῦ ἐς ἱππασί
αν, ταῦτα δὲ ἐκ πολλοῦ οἱ πέρσαι τοῖς τε ἅρμα
σιν ἐπελαύνειν εὐπετῆ πεποιήκεσαν, καὶ τῇ
ἵππῳ ἱππάσιμα. ἦσαν γάρ οἱ ἀνέπειθον δα
ρεῖον ὑπὲρ τῶν πρὸς ἰσσῷ γενομένης μάχης, ὅτι

ἄρα ἐμειονέκτησε τῶν χωρίων τῇ στενότητι. καὶ Δαρεῖος οὐ χαλεπῶς ἐπείθετο. ταῦτα ὡς ἐξηγγέλθη ἀλεξάνδρῳ πρὸς τῶν κατασκόπων τῶν περσῶν, ὅσοι ἑάλωσαν, ἔμεινεν αὐτοῦ, ἵνα ἐξηγγέλθη, ἡμέρας τέσσαρας. καὶ τήν τε στρατιὰν ἐκ τῆς ὁδοῦ ἀνέπαυε. τὸ δὲ στρατόπεδον τάφρῳ τε καὶ χάρακι ἐτείχισε. ἔγνω γὰρ τὰ μὲν σκευοφόρα ἀπολείπειν, καὶ ὅσοι τῶν στρατιωτῶν ἀπόμαχοι ἦσαν. αὐτὸς δὲ ξὺν τοῖς μαχίμοις οὐδὲν ἄλλο, ὅτι μὴ ὅπλα φέρουσιν ἰέναι εἰς τὸν ἀγῶνα. ἀναλαβὼν οὖν τὴν δύναμιν, νυκτὸς ἦγεν ἀμφὶ δευτέραν φυλακὴν μάλιστα, ὡς ἅμ' ἡμέρᾳ προσμίξαι τοῖς βαρβάροις. δαρεῖος δὲ, ὡς προσηγγέλθη αὐτῷ προσάγων ἤδη ἀλέξανδρος, ἐκτάσσει τὴν στρατιὰν, ὡς ἐς μάχην. καὶ ἀλέξανδρος ἦγεν ὡσαύτως τεταγμένην. καὶ ἀπεῖχε μὲν ἀλλήλων τὰ στρατόπεδα, ὅσον ἑξήκοντα σταδίους. καὶ κατ' αὐτῶν ἤδη τῶν γηλόφων, ἦει αὐτῷ ὁ στρατός. ἐνταῦθα ὡς εἶδε τοὺς βαρβάρους, ἔστησε τὴν αὐτοῦ φάλαγγα. καὶ ξυγκαλέσας αὖθις τούς τε ἑταίρους, καὶ στρατηγοὺς, καὶ





ἰλάρχας, καὶ τῶν συμμάχων τε καὶ τῶν μισθοφόρων ξένων τοὺς ἡγεμόνας, ἐβουλεύετο εἰ αὐτόθεν ἐπάγει ἤδη τὴν φάλαγγα. ὡς οἱ πλεῖστοι ἄγειν ἐκέλευον, ἢ καθάπερ παρμενίωνι καλῶς ἐδόκει, τότε μὲν αὐτοῦ καταστρατοπεδεύειν. κατασκέψασθαι δὲ τόν τε χῶρον ξύμπαντα, εἰ δή τι ὕποπτον αὐτοῦ, ἢ ἄπορον ἦ, ἢ ποῖ τάφροι ἢ σκόλοπες καταπεπηγότες ἀφανεῖς, καὶ τὰς τάξεις τῶν πολεμίων ἀκριβέστερον κατιδεῖν. καὶ νικᾷ παρμενίων τῇ γνώμῃ. καὶ καταστρατοπεδεύουσιν αὐτοῦ, ὅπως τεταγμένοι ἔμελλον ἰέναι εἰς τὴν μάχην. ἀλέξανδρος δὲ ἀναλαβὼν τοὺς ψιλοὺς, καὶ τῶν ἱππέων τοὺς ἑταίρους, περιῄει ἐν κύκλῳ σκοπῶν τὴν χώραν πᾶσαν, ἵνα τὸ ἔργον αὐτῷ ἔσεσθαι ἔμελλεν. ἐπανελθὼν δὲ, καὶ ξυγκαλέσας αὖθις τοὺς αὐτοὺς ἡγεμόνας, αὐτοὺς μὲν οὐκ ἔφη χρῆναι παρακαλεῖσθαι πρὸς σοῦ ἐς τὸν ἀγῶνα. πάλαι γὰρ εἶναι δι' ἀρετήν τε τὴν σφῶν παρακεκλησμένους, καὶ ὑπὸ τῶν πολλάκις ἤδη καλῶν ἔργων ἀποδεδειγμένων. τοὺς ἐπὶ σφᾶς δὲ ἑκάστους ἐξορμᾶν ἠξίου, λοχα-

γόν τε λοχίτας, καὶ ἰλάρχην τὴν ἴλην τὴν αὑτοῦ ἕκαστον, καὶ ταξιάρχην τὰς τάξεις, τούς τε ἡγεμόνας τῶν πεζῶν τὴν φάλαγγα ἕκαστον, τὴν οἱ ἐπιτεταγμένην, ὡς δὴ ἐν τῇ μάχῃ οὐχ ὑπὲρ κοίλης συρίας, ἢ φοινίκης, οὐδὲ ὑπὲρ αἰγύπτου, ὡς πρόσθεν, μαχουμένους, ἀλλὰ ὑπὲρ τῆς ξυμπάσης ἀσίας, οὕστινας χρὴ ἄρχειν ἐν τῷ τότε κριθησόμενον. οὔκουν τὴν ἐς τὰ καλὰ ἐξόρμησιν διὰ πολλῶν ἀναγκαίων αὐτοῖς εἶναι, οἴκοθεν ὑπάρχουσιν· ἀλλὰ κόσμου τε ἐν τῷ κινδύνῳ, ὅπως τις καθ' αὑτὸν ἐπιμελήσεται, καὶ σιγῆς ἀκριβοῦς ὁπότε σιγῶντας ἐπιέναι δέοι· καὶ αὖ λαμπρᾶς τῆς βοῆς, ἵνα ἐμβοῆσαι καλόν· καὶ ἀλαλαγμοῦ ὡς φοβερωτάτου, ὁπότε ἐπαλαλάξαι καιρός. αὐτοί τε ὅπως ὀξέως κατακούοιεν τῶν τε παραγγελλομένων, καὶ παρ' αὐτῶν αὖ ὅπως ἂν τὰς τάξεις ὀξέως παραδιδῶνται τὰ παραγγέλματα, ἔν τε τῷ καθ' αὑτὸν ἕκαστον καὶ τὸ πᾶν μεμνῆσθαι ξυγκινδυνεῦόν τε ἀμελουμένῳ, καὶ δι' ἐπιμελείας ἐκπονουμένῳ ξυνορθούμενον. ταῦτα, καὶ τὰ τοιαῦτα ἄλλα οὐ πολ-





λὰ παρακαλέσας τε, καὶ ἀντιπαρακληθεὶς πρὸς τῶν ἡγεμόνων, θαῤῥεῖν ἐπὶ σφίσι, δειπνοποιεῖσθαι καὶ ἀναπαύεσθαι ἐκέλευσε τὸν στρατόν. παρμενίωνα δὲ λέγουσιν, ὅτι ἀφικόμενος παρ' αὐτὸν ἐπὶ τὴν σκηνήν, νύκτωρ παραινεῖ ἐπιθέσθαι τοῖς πέρσαις· ἀπροσδοκήτοις τε γάρ, καὶ ἀνατεταραγμένοις, καὶ ἅμα ἐν νυκτὶ φοβερωτέροις ἐπιθήσεσθαι. ὁ δὲ, ἐκείνῳ μὲν ἀποκρίνεται, ὅτι οἱ ἄλλοι κατήκουον τῶν λόγων, αἰσχρὸν εἶναι κλέψαι τὴν νίκην, ἀλλὰ φανερῶς καὶ δίχα σοφίσματος χρῆναι νικῆσαι ἀλέξανδρον. καὶ τὸ μεγαλήγορον αὐτοῦ τοῦτο, οὐχ ὑπέρογκον μᾶλλόν τι, ἢ εὔθαρσες ἐν τοῖς κινδύνοις ἐφαίνετο. δοκεῖν δέ μοι γε καὶ λογισμῷ ἀκριβεῖ ἐχρήσατο ἐν τῷ τοιῷδε· ἐν νυκτὶ γὰρ τοῖς τε ἀποχρώντως καὶ τοῖς ἐνδεῶς πρὸς τὰς μάχας παρασκευασμένοις, πολλὰ ἐκ τοῦ παραλόγου συμβάντα, τοὺς μὲν ἔσφηλε τοὺς κρείττονας, τοῖς χείροσι δὲ παρὰ τὰ ἐξ ἀμφοῖν ἐλπισθέντα τὴν νίκην παρέδωκεν, αὐτῷ τε κινδυνεύοντι τὸ πολὺ ἐν ταῖς μάχαις σφαλερὰ ἡ νὺξ κατεφαίνετο. καὶ ἅμα ἡσσηθέντι τε αὖθις δαρείῳ, τὴν ξυγχώρησιν

τοῦ χείρονι ὄντι χειρόνως ἠγῶσθαι, ἡ λαθραία
τε καὶ νύκτωρ ἐκ σφῶν ἐπίθεσις ἀφαιρεῖ-
ται. εἴ τέ τι ἐκ τοῦ παραλόγου πταῖσμα σφί-
σι ξυμπέσοι, τοῖς μὲν πολεμίοις τὰ κύκλῳ
φίλια, καὶ αὐτοὶ τῆς χώρας ἔμπειροι. σφεῖς
δὲ ἄπειροι ἐν πολεμίοις τοῖς πᾶσι, ὧν οὐ
μικρὰ μοῖρα οἱ αἰχμάλωτοι ἦσαν, ξυνεπιθη-
σόμενοι ἐν νυκτὶ, μὴ ὅτι πταίσασιν, ἀλλὰ καὶ
εἰ μὴ παραπολὺ νικῶντες φαίνοιντο. τού-
των τῶν λογισμῶν ἕνεκα, ἐπαινῶ ἀλέξαν-
δρον· καὶ τοῦ ἐν τῷ φανερῷ ὑπερόγκου, οὐ
μεῖον. δαρεῖος δὲ, καὶ ὁ ξὺν δαρείῳ στρατὸς,
οὕτως ὅπως τὴν ἀρχὴν ἐτάξαντο, ἔμειναν
τῆς νυκτὸς ξυντεταγμένοι· ὅτι οὔτε στρατό-
πεδον αὐτοῖς περιεβέβλητο ἀκριβὲς, καὶ
ἅμα ἐφοβοῦντο μὴ σφίσι νύκτωρ ἐπιθοῖν-
το οἱ πολέμιοι. καὶ εἴπερ τι ἄλλο, καὶ τοῦτο
ἐκάκωσε τοῖς πέρσαις ἐν τῷ τότε τὰ πρα-
γματα, ἡ στάσις ἡ πολλὴ ἡ ξὺν τοῖς ὅπλοις,
καὶ τὸ δέος, ὅτι περ φιλεῖ πρὸ τῶν μεγα-
λων κινδύνων γίγνεσθαι, οὐκ ἐκ τοῦ παραυ
τίκα σχεδιασθὲν, ἀλλ' ἐν πολλῷ πολλῶν χρό-
νῳ μελετηθέντι, καὶ τὰς γνώμας αὐτοῖς
δουλω



δουλωσάμενον. ἐτάχθη δὲ αὐτοῦ ἡ στρατιὰ
ὧδε. ἑάλω γὰρ ὕστερον ἡ τάξις, ἥν τινα ἔτα-
ξε δαρεῖος, γεγραμμένη, ὡς λέγει ἀριστόβου-
λος. τὸ μὲν εὐώνυμον αὐτῷ κέρας, οἵ τε βά-
κτριοι ἱππεῖς εἶχον, καὶ ξὺν τούτοις δάαι,
καὶ ἀραχῶτοι· ἐπὶ δὲ τούτοις πέρσαι ἐτε-
τάχατο, ἱππεῖς τε ὁμοῦ καὶ πεζοὶ ἀναμεμι-
γμένοι· καὶ σούσιοι ἐπὶ πέρσαις, ἐπὶ δὲ σου-
σίοις καδούσιοι. αὕτη μὲν ἡ τοῦ εὐωνύμου
κέρως, ἔς τε ἐπὶ τὸ μέσον τῆς πάσης φα-
λαγγος ἦν. κατὰ δὲ τὸ δεξιὸν, οἵ τε ἐκ κοί-
λης συρίας, καὶ οἱ ἐκ τῆς μέσης τῶν ποτα-
μῶν ἐτετάχατο. καὶ μῆδοι ἔτι, κατὰ τὸ δε-
ξιόν. ἐπὶ δὲ, παρθυαῖοι, καὶ σάκαι. ἐπὶ δὲ,
τόπειροι καὶ ὑρκάνιοι. ἐπὶ δὲ, ἀλβάνιοι καὶ
σακεσῖναι. οὗτοι μὲν ἔς τε ἐπὶ τὸ μέσον τῆς
πάσης φάλαγγος. κατὰ τὸ μέσον δὲ, ἵνα
ἦν βασιλεὺς δαρεῖος, οἵ τε συγγενεῖς οἱ βα-
σιλέως ἐτετάχατο, καὶ οἱ μηλοφόροι πέρ-
σαι, καὶ ἰνδοὶ, καὶ κᾶρες οἱ ἀνάσπαστοι κα-
λούμενοι, καὶ οἱ μάρδοι τοξόται. οὔξιοι δὲ,
καὶ βαβυλώνιοι, καὶ οἱ πρὸς τῇ ἐρυθρᾷ θα-
λάσσῃ, καὶ σιτακηνοὶ, ἐς βάθος ἐπιτετα-
γμένοι

μῆδοι ἦσαν. προετετάχατο δὲ ὧδε μὲν τοῦ
εὐωνύμου, κατὰ τὸ δεξιὸν τοῦ ἀλεξάνδρου, οἵ
τε σκύθαι ἱππεῖς, καὶ τῶν βακτριανῶν ἐς
χιλίους, καὶ ἅμα τὰ δρεπανηφόρα ἑκατόν.
οἱ δὲ ἐλέφαντες ἔστησαν κατὰ τὴν δαρείου
ἴλην τὴν βασιλικὴν, καὶ ἅρματα ἐς πεν-
τήκοντα. τοῦ δὲ δεξιοῦ, οἵ τε ἀρμενίων καὶ
καππαδοκῶν ἱππεῖς προετετάχατο, καὶ ἅρ-
ματα δρεπανηφόρα πεντήκοντα. οἱ δὲ ἕλ-
ληνες οἱ μισθοφόροι, παρὰ δαρεῖόν τε αὐ-
τὸν ἑκατέρωθεν, καὶ τοὺς ἅμα αὐτῷ πέρ-
σας, κατὰ τὴν φάλαγγα αὐτὴν τῶν μακεδό-
νων, ὡς μόνοι δὴ ἀντίρροποι τῇ φάλαγγι
ἐτάχθησαν. ἀλεξάνδρῳ δὲ ἡ στρατιὰ ἐκοσ-
μήθη ὧδε. τὸ μὲν δεξιὸν αὐτῷ εἶχον τῶν ἱπ-
πέων οἱ ἑταῖροι, ὧν προετέτακτο ἴλη ἡ βα-
σιλικὴ, ἧς κλεῖτος ὁ δρωπίδα ἰλάρχης ἦν.
ἐπὶ δὲ ταύτῃ, ἡ γλαυκίου ἴλη. ἐχομένη δὲ
αὐτῆς, ἡ ἀρίστωνος. ἐπὶ δὲ, ἡ σωπόλιδος
τοῦ ἑρμοδώρου. ἐπὶ δὲ, ἡρακλείτου τοῦ ἀντιό-
χου, ἐπὶ ταύτῃ δὲ, ἡ δημητρίου τοῦ ἀλθαι-
μένους. ταύτης δὲ ἐχομένη, ἡ μελεάγρου. τε-
λευταία δὲ τῶν βασιλικῶν ἰλῶν, ἧς ἡγέ-

λοχος



λοχος ὁ ἱπποστράτου ἰλάρχης ἦν. ξυμ-
πάσης δὲ τῆς ἵππου τῶν ἑταίρων, φι-
λώτας ἦρχεν ὁ παρμενίωνος. τῆς δὲ φά-
λαγγος τῶν μακεδόνων ἐχόμενον τῶν ἱπ-
πέων, πρῶτον τὸ ἄγημα ἐπέτακτο τῶν
ὑπασπιστῶν, καὶ ἐπὶ τούτῳ οἱ ἄλλοι ὑπα-
σπισταί. ἡγεῖτο δὲ αὐτῶν νικάνωρ ὁ παρ-
μενίωνος. τούτων δὲ ἐχομένη ἡ κοίνου
τοῦ πολεμοκράτους τάξις ἦν· μετὰ δὲ
τούτους ἡ περδίκκου τοῦ ὀρόντου· ἔπει-
τα ἡ μελεάγρου τοῦ νεοπτολέμου· ἐπὶ δὲ,
ἡ πολυπέρχοντος τοῦ σιμμίου· ἐπὶ δὲ, ἡ
ἀμύντου τοῦ φιλίππου. ταύτης δὲ ἡγεῖ-
το σιμμίας, ὅτι ἀμύντας ἐπὶ μακεδονίας
ἐς ξυλλογὴν στρατιᾶς ἐσταλμένος ἦν. τὸ δὲ
εὐώνυμον τῆς φάλαγγος τῶν μακεδόνων,
ἡ κρατεροῦ τοῦ ἀλεξάνδρου τάξις εἶχε. καὶ
αὐτὸς κρατερὸς ἐξῆρχε τοῦ εὐωνύμου τῶν πε-
ζῶν, καὶ ἱππεῖς ἐχόμενοι αὐτοῦ οἱ ξύμμα-
χοι, ὧν ἡγεῖτο ἐριγύιος ὁ λαρίχου. τούτων
δὲ ἐχόμενοι ὡς ἐπὶ τὸ εὐώνυμον κέρας οἱ θεσ-
σαλοὶ ἱππεῖς, ὧν ἦρχε φίλιππος ὁ μενελάου.
ξύμπαν δὲ τὸ εὐώνυμον ἦγε παρμενίων ὁ
φιλώτα.

φιλώτα. καὶ ἀμφ' αὐτὸν οἱ τῶν φαρσαλίων ἱππεῖς, οἱ κράτιστοί τε καὶ πλεῖστοι τῆς θεσσαλικῆς ἵππου ἀνεστρέφοντο. ἡ μὲν δὴ μετώπου τάξις, ἀλεξάνδρῳ ὧδε ἐκόσμητο. ἐπέταξε δὲ καὶ δευτέραν τάξιν, ὡς εἶναι τὴν φάλαγγα ἀμφίστομον. καὶ παρήγγελτο τοῖς ἡγεμόσι τῶν ἐπιτεταγμένων, εἰ κυκλουμένους τοὺς σφῶν πρὸς τοῦ περσικοῦ στρατεύματος κατίδοιεν, ἐπιστρέψαντας δὴ τὸ ἔμπαλιν δέχεσθαι τοὺς βαρβάρους· δὴ ἐπικαμπὴν δέ, εἴ που ἀνάγκη καταλαμβάνοι ἢ ἀναπτύξαι, ἢ συγκλεῖσαι τὴν φάλαγγα. κατὰ μὲν τὸ δεξιὸν κέρας ἐχόμενοι τῆς βασιλικῆς ἴλης τῶν ἀγριάνων ἐτάχθησαν οἱ ἡμίσεες, ὧν ἡγεῖτο ἄτταλος· καὶ μετὰ τούτων οἱ μακεδόνες οἱ τοξόται, ὧν Βείσων ἦρχε. ἐχόμενοι δὲ τῶν τοξοτῶν, οἱ ἀρχαῖοι καλούμενοι ξένοι, καὶ ἄρχων τούτων κλέανδρος. προετάχθησαν δὲ τῶν τε ἀγριάνων καὶ τῶν τοξοτῶν, οἵ τε πρόδρομοι ἱππεῖς, καὶ οἱ παίονες, ὧν ἀρέτης καὶ ἀρίστων ἡγοῦντο. ξυμπάντων δὲ προτεταγμένοι ἦσαν οἱ μισθοφόροι ἱππεῖς, ὧν μενίδας ἦρχε.



ἦρχε. τῆς δὲ βασιλικῆς ἴλης καὶ τῶν ἄλλων ἑταίρων προτεταγμένοι ἦσαν τῶν τε ἀγριάνων καὶ τῶν τοξοτῶν οἱ ἡμίσεες, καὶ οἱ βαλάκρου ἀκοντισταί. οὗτοι κατὰ ἅρματα δρεπανηφόρα ἐτετάχατο. μενίδᾳ δὲ, καὶ τοῖς ἀμφ' αὐτὸν παρήγγελτο, εἰ περιιππεύοιεν οἱ πολέμιοι τὸ κέρας σφῶν, ἐκ πλαγίας ἐμβαλεῖν αὐτοὺς ἐπικάμψαντας. τὰ μὲν δὴ τοῦ δεξιοῦ κέρως οὕτως ἐτέτακτο ἀλεξάνδρῳ. κατὰ δὲ τὸ εὐώνυμον δὴ ἐπικαμπὴν, οἵ τε θρᾷκες ἐτετάχατο, ὧν ἡγεῖτο σιτάλκης· ἐπὶ τούτοις οἱ ξύμμαχοι ἱππεῖς, ὧν ἦρχε κοίρανος. ἐπὶ δὲ, οἱ ὀδρύσαι ἱππεῖς, ὧν ἡγεῖτο ἀγάθων ὁ τυρίμμα. ξυμπάντων δὲ ταύτῃ προετάχθη ἡ ξενικὴ ἵππος, ἡ τῶν μισθοφόρων, ὧν ἀνδρόμαχος ὁ ἱέρωνος ἦρχε. ἐπὶ δὲ τοῖς σκευοφόροις, οἱ ἀπὸ θρᾴκης πεζοὶ δὴ φυλακὴν ἐτάχθησαν. ἡ πᾶσα στρατιὰ ἀλεξάνδρου, ἱππεῖς μὲν δὴ ἑπτακισχιλίους, πεζοὶ δὲ ἀμφὶ τὰς τέσσαρας μυριάδας. ὡς δὲ ὁμοῦ ἤδη τὰ στρατόπεδα ἐγίγνετο, ὤφθη δαρεῖος, καὶ οἱ ἀμφ' αὐτὸν, οἵ τε μηλοφόροι πέρσαι, καὶ ἰνδοὶ, καὶ ἀλβανοὶ,

ἀλβανοί, καὶ κᾶρες οἱ ἀνάσπαστοι, καὶ οἱ μάρ-
δοι τοξόται κατ᾽ αὐτὸν ἀλέξανδρον τεταγ-
μένοι, καὶ τὴν ἴλην τὴν βασιλικήν. ἦγε
δέ, ὡς ἐπὶ τὸ δεξιὸν τὸ αὐτοῦ ἀλέξανδρος
μᾶλλον, καὶ οἱ πέρσαι ἀντιπαρῆγον, ὑπερ-
φαλαγγοῦντες πολὺ ἐπὶ τῷ σφῶν εὐωνύ-
μῳ. ἤδη τε οἱ τῶν σκυθῶν ἱππεῖς παριπ-
πεύοντες, ἥπτοντο τῶν προτεταγμένων τῆς
ἀλεξάνδρου τάξεως. καὶ ἀλέξανδρος ἔτι
ὅμως ἦγεν ἐπὶ δόρυ, καὶ ἐγγὺς ἦν τοῦ ἐξα-
λάσσειν τὸν ὁδοποιημένον πρὸς τῶν περσῶν
χῶρον. ἔνθα δὴ δείσας δαρεῖος μὴ προχω-
ρησάντων ἐς τὰ οὐχ ὁμαλὰ τῶν μακεδό-
νων, ἀχρεῖα σφίσι γένηται τὰ ἅρματα, κε-
λεύει τοὺς προτεταγμένους τοῦ εὐωνύμου,
περιϊππεύειν τὸ κέρας τὸ δεξιόν, ᾗ ἀλέξαν-
δρος ἦγε, τοῦ μηκέτι προσωτέρω αὐτοὺς
ἐξάγειν τὸ κέρας. τούτου δὲ γιγνομένου, ἀ-
λέξανδρος ἐμβάλλειν κελεύει ἐς αὐτοὺς
τοὺς μισθοφόρους ἱππέας, ὧν ἡγεῖτο μενί-
δας. ἀντεκδραμόντες δὲ ἐπ᾽ αὐτοὺς οἵ τε
σκύθαι ἱππεῖς, καὶ τῶν βακτρίων οἱ ξυν-
τεταγμένοι τοῖς σκύθαις, ἐκέλευσε. καὶ
ἐγκλί-



ἐγκλίνουσιν οἱ βάρβαροι. ἀλέξανδρος δὲ
τοὺς περὶ ἀρέτην τε παίονας, καὶ τοὺς ξένους,
ἐμβαλεῖν τοῖς σκύθαις ἐκέλευσε. καὶ ἐγ-
κλίνουσιν οἱ βάρβαροι. βάκτριοι δέ, καὶ
ἄλλοι πελάσαντες τοῖς παίοσί τε καὶ ξέ-
νοις, τούς τε σφῶν φεύγοντας, ἤδη ἀνέστρε-
ψαν ἐς τὴν μάχην, καὶ τὴν ἱππομαχίαν ξυνεστῆ-
ναι ἐποίησαν. καὶ ἔπιπτον μὲν πλείονες τῶν ἀλε-
ξάνδρου, τῷ τε πλήθει τῶν βαρβάρων βιαζό-
μενοι, καὶ ὅτι αὐτοί τε οἱ σκύθαι καὶ οἱ ἵπποι
αὐτοῖς ἀκριβέστερον ἐς φυλακὴν πεφραγ-
μένοι ἦσαν. ἀλλὰ καὶ ὣς τάς τε προσβολὰς
αὐτῶν ἐδέχοντο οἱ μακεδόνες, καὶ βίᾳ κατ᾽ ἴ-
λας προσπίπτοντες ἐξώθουν ἐκ τῆς τάξεως. καὶ
ἐν τούτῳ τὰ ἅρματα τὰ δρεπανηφόρα ἀφῆ-
καν οἱ βάρβαροι κατ᾽ αὐτὸν ἀλέξανδρον, ὡς
ἀναταράξοντες αὐτῷ τὴν φάλαγγα. καὶ ταύ-
τῃ μάλιστα ἐψεύσθησαν. τὰ μὲν γὰρ εὐθὺς ὡς
προσεφέρετο, κατηκόντιζον οἵ τε ἀγριᾶνες,
καὶ οἱ ξὺν βαλάκρῳ ἀκοντισταί, οἱ προτεταγ-
μένοι τῆς ἵππου τῆς ἑταίρων. τὰ δὲ τῶν ῥυτήρων
ἀντιλαμβανόμενοι, τούς τε ἀναβάτας κατέ-
σπων, καὶ τοὺς ἵππους περιϊστάμενοι ἔκοπτον.
ἔστι

ἔστι δὲ ἃ καὶ διεξέπεσε διὰ τῶν τάξεων. διέσχον γὰρ ὥσπερ παρήγγελτο αὐτοῖς, ἵνα προσέπιπτε τὰ ἅρματα, καὶ ταύτῃ μάλιστα ξυνέβη αὐτά τε σῶα, καὶ οἷς ἐπηλάθη ἀβλαβῶς διελθεῖν. ἀλλὰ καὶ τούτων οἵ τε ἱπποκόμοι τῆς ἀλεξάνδρου στρατιᾶς, καὶ οἱ ὑπασπισταὶ οἱ βασιλικοὶ, ἐκράτησαν. ὡς δὲ δαρεῖος ἐπῆγεν ἤδη τὴν φάλαγγα πᾶσαν, ἐνταῦθα ἀλέξανδρος ἀρέτην μὲν κελεύει ἐμβαλεῖν τοῖς περιϊππεύουσι τὸ κέρας σφῶν τὸ δεξιὸν, ὡς ἐν κυκλώσει. αὐτὸς δὲ τέως μὲν ἐπὶ κέρως τοὺς ἀμφ' αὐτὸν ἦγε. τῶν δὲ ἐκβοηθησάντων ἱππέων τοῖς κυκλουμένοις τὸ κέρας σφῶν τὸ δεξιὸν, παραρρηξάντων τι τῆς πρώτης φάλαγγος τῶν βαρβάρων, ἐπιστρέψας κατὰ τὸ διέχον, καὶ ὥσπερ ἔμβολον ποιήσας, τῆς τε ἵππου τῆς ἑταιρικῆς, καὶ τῆς φάλαγγος τῆς ταύτῃ τεταγμένης, ἦγε δρόμῳ τε καὶ ἀλαλαγμῷ, ὡς ἐπὶ αὐτὸν δαρεῖον. καὶ χρόνον μέν τινα ὀλίγον ἐν χερσὶν ἡ μάχη ἐγένετο. ὡς δὲ οἵ τε ἱππεῖς οἱ ἀμφ' ἀλέξανδρον, καὶ αὐτὸς ἀλέξανδρος εὐρώστως ἐνέκειντο, ὠθισμοῖς τε χρώμενοι,

καὶ



καὶ τοῖς ξυστοῖς τὰ πρόσωπα τῶν περσῶν κόπτοντες, ἥ τε φάλαγξ ἡ μακεδονικὴ πυκνὴ καὶ ταῖς σαρίσσαις πεφρικυῖα, ἐμβεβλήκει ἤδη αὐτοῖς, καὶ πάντα ὁμοῦ τὰ δεινὰ ἐν πάλαι φοβερῷ ὄντι δαρείῳ ἐφαίνετο, πρῶτος αὐτὸς ἐπιστρέψας ἔφευγεν. ἐφοβήθησαν δὲ καὶ οἱ περιϊππεύοντες τῶν περσῶν τὸ κέρας, ἐμβαλόντων ἐς αὐτοὺς εὐρώστως τῶν ἀμφὶ ἀρέτην. ταύτῃ μὲν δὴ τῶν περσῶν φυγὴ καρτερὰ ἦν· καὶ οἱ μακεδόνες ἑπόμενοι, ἐφόνευον τοὺς φεύγοντας. οἱ δὲ ἀμφὶ σιμμίαν, καὶ ἡ τούτου τάξις, οὐκέτι ξυνεξορμῆσαι ἀλεξάνδρῳ δυνατοὶ ἐγένοντο ἐν τῇ διώξει· ἀλλ' ἐπιστήσαντες τὴν φάλαγγα, αὐτοῦ ἠγωνίζοντο, ὅτι τὸ εὐώνυμον τῶν μακεδόνων πονεῖσθαι ἠγγέλλετο. καὶ ταύτῃ παραρραγείσης αὐτοῖς τῆς τάξεως κατὰ τὸ διέχον, διεκπαίουσι τῶν τε ἰνδῶν τινὲς, καὶ τῆς περσικῆς ἵππου, ὡς ἐπὶ τὰ σκευοφόρα τῶν μακεδόνων, καὶ τὸ ἔργον ἐκεῖ καρτερὸν ἐγένετο. οἵ τε γὰρ πέρσαι θρασέως προσέκειντο, ἀνόπλοις τοῖς πολλοῖς. καὶ οὐ προσδοκήσασιν ἐπὶ σφᾶς διεκπαισεῖσθαί τι-



νας,

νας, διακόψαντες διπλῆν τὴν φάλαγγα.
καὶ οἱ αἰχμάλωτοι βάρβαροι ἐμβαλλόν-
των τῶν περσῶν ξυνεπέθεντο καὶ αὐτοὶ τοῖς
μακεδόσιν ἐν τῷ ἔργῳ. τῶν δὲ ἐπιτεταγμέ-
νων τῇ πρώτῃ φάλαγγι, οἱ ἡγεμόνες ὀξέως
μαθόντες τὸ γιγνόμενον, μεταβάλλοντες
ἅπερ παρήγγελτο αὐτοῖς τὴν τάξιν, ἐπιγί-
γνονται κατὰ νώτου τοῖς πέρσαις, καὶ πολ-
λοὺς μὲν αὐτῶν αὐτοῦ ἀμφὶ τοῖς σκευοφό-
ροις ξυνεχομένους ἀπέκτειναν. οἱ δὲ αὐτῶν
ἐγκλίναντες, ἔφευγον. οἱ δὲ ἀπὸ τοῦ δεξιοῦ
κέρως τῶν περσῶν, οὔπω τῆς φυγῆς τῆς δα-
ρείου ᾐσθημένοι, περιιππεύσαντες τὸ ἀλε-
ξάνδρου εὐώνυμον, κατὰ κέρας τοῖς ἀμφὶ τὸν
παρμενίωνα ἐνέβαλλον. καὶ ἐν τούτῳ ἀμ-
φιβόλων τὰ πρῶτα γενομένων τῶν μακε-
δόνων, πέμπει παρμενίων παρ' ἀλέξαν-
δρον σπουδῇ ἀγγελοῦντα, ὅτι ἐν ἀγῶνι ξυ-
νέχεται τὸ κατὰ σφᾶς καὶ βοηθεῖν δεῖ. ταῦ-
τα ὡς ἐξηγγέλθη ἀλεξάνδρῳ, τοῦ μὲν διώ-
κειν ἔτι ἀπετράπετο. ἐπιστρέψας δὲ σὺν
τῇ ἵππῳ τῶν ἑταίρων, ὡς ἐπὶ τὸ δεξιὸν τῶν
βαρβάρων, ᾔει δρόμῳ. καὶ πρῶτα μὲν τοῖς
φεύγουσι



φεύγουσι τῶν πολεμίων ἱππεῦσι, τοῖς τε παρ-
θυαίοις, καὶ τῶν ἰνδῶν ἔστιν οἷς, καὶ πέρσαις
τοῖς πλείστοις καὶ κρατίστοις ἐμβάλλει. καὶ
ἱππομαχία αὕτη καρτερωτάτη τοῦ παντὸς
ἔργου ξυνέστη. ἐς βάθος τε γὰρ οἷα δὴ ἰλα-
δὸν τεταγμένοι, ἀνέστρεφον οἱ βάρβαροι,
καὶ ἀντιμέτωποι τοῖς ἀμφ' ἀλέξανδρον ξυμ-
πεσόντες, οὔτε ἀκοντισμῷ ἔτι, οὔτε ἐξελισ-
μοῖς τῶν ἵππων, ἅπερ ἱππομαχίας δίκη ἐ-
χρῶντο, ἀλλὰ διεκπαῖσαι πᾶς τις τὸ καθ'
αὑτὸν, ὡς μόνην ταύτην σωτηρίαν σφίσιν
οὖσαν ἐπειγόμενοι, ἔκοπτόν τε καὶ ἐκόπτον
το ἀφειδῶς, οἷα δὴ οὐχ ὑπὲρ νίκης ἀλλοτρί-
ας ἔτι, ἀλλ' ὑπὲρ σωτηρίας οἰκείας ἀγωνιζό-
μενοι. καὶ ἐνταῦθα πίπτουσι μὲν ἀμφὶ ἑξή-
κοντα τῶν ἑταίρων τοῦ ἀλεξάνδρου. καὶ τι-
τρώσκεται ἡφαιστίων τε αὐτὸς, καὶ κοῖνος,
καὶ μενίδας· ἀλλὰ ἐκράτησε καὶ τούτων ἀλέ-
ξανδρος. καὶ τούτων μὲν ὅσοι διεξέπεσον διὰ
τῶν ἀμφ' ἀλέξανδρον, ἔφευγον ἀνὰ κράτος.
ἀλέξανδρος δὲ ἐγγὺς ἦν προσμῖξαι ἤδη τῷ
δεξιῷ κέρατι τῶν πολεμίων. καὶ ἐν τούτῳ οἱ
θεσσαλοὶ ἱππεῖς, λαμπρῶς ἀγωνισάμενοι,

 οὐχ

οὐχ ὑπελείποντο ἀλεξάνδρου τοῦ ἔργου.
ἀλλὰ γὰρ ἔφθανον ἤδη οἱ ἀπὸ τοῦ κέρως τοῦ
δεξιοῦ τῶν βαρβάρων, ὁπότε ἀλέξανδρος
αὐτοῖς ξυνέμιξεν. ὥς τε ἀποτραπόμενος
ἀλέξανδρος, ἐς τὸ διώκειν αὖθις ὥρμη-
το, καὶ ἐδίωξεν ἔς τε φάος ἦν. καὶ οἱ ἀμφὶ
παρμενίωνα τὸ καθ' αὑτοὺς διώκοντες εἵ-
ποντο. ἀλλὰ ἀλέξανδρος μὲν διαβὰς τὸν
ποταμὸν τὸν λύκον, κατεστρατοπέδευσεν
αὐτοῦ, ὡς ἀναπαῦσαι ὀλίγον τούς τε ἄν-
δρας καὶ τοὺς ἵππους. παρμενίων δὲ, τό, τε
στρατόπεδον τῶν βαρβάρων εἷλε, καὶ τὰ
σκευοφόρα, καὶ τοὺς ἐλέφαντας, καὶ τὰς
καμήλους. ἀλέξανδρος δὲ ἀναπαύσας τοὺς
ἀμφ' αὐτὸν ἱππέας, ἔς τε ἐπὶ μέσας νύκτας,
προὐχώρει αὖθις κατὰ σπουδὴν ἐπὶ ἄρβηλα,
ὡς δαρεῖόν τε αἱρήσων ἐκεῖ, καὶ τὰ χρήμα-
τα, καὶ τὴν ἄλλην κατασκευὴν, τὴν βασι-
λικήν. καὶ ἀφίκετο ἐς ἄρβηλα τῇ ὑστεραίᾳ,
διώξας τοὺς πάντας ἐκ τῆς μάχης, σταδίους
μάλιστα ἐς ἑξακοσίους. καὶ δαρεῖον μὲν οὐ
καταλαμβάνει ἐν ἀρβήλοις, ἀλλ' ἔφθη φεύγων,
οὐδέν τι ἐλιννύσας δαρεῖος. τὰ χρήματα
δὲ



δὲ ἐγκατελείφθη. καὶ ἀσπὶς αὖθις, καὶ τὰ
τόξα ἑάλω. ἀπέθανον δὲ τῶν ἀμφ' ἀλέξαν-
δρον, ἄνδρες μὲν ἐς ἑκατὸν μάλιστα. ἵπ-
ποι δὲ ἔκ τε τῶν τραυμάτων καὶ τῆς κακο-
παθείας, τῆς ἐν τῇ διώξει, ὑπὲρ τοὺς χιλίους.
καὶ τούτων τῆς ἑταιρικῆς ἵππου σχεδόν τι
οἱ ἡμίσεες. τῶν βαρβάρων δὲ, νεκρῶν μὲν
ἐλέγοντο ἐς τριάκοντα μυριάδας. ἑάλω-
σαν δὲ πολὺ πλείονες τῶν ἀποθανόντων,
καὶ οἱ ἐλέφαντες, καὶ τῶν ἁρμάτων ὅσα μὴ
κατεκόπη ἐν τῇ μάχῃ. τοῦτο τέλος τῇ μά-
χῃ ταύτῃ ἐγένετο, ἐπὶ ἄρχοντος ἀθηναίοις
ἀριστοφάνους, μηνὸς πυανεψιῶνος. καὶ ἀ-
ριστάνδρῳ ξυνέβη ἡ μαντεία ἐν τῷ αὐτῷ
μηνὶ, ἐν ὅτῳ ἡ σελήνη ἐκλιπὴς ἐφάνη, τήν
τε μάχην ἀλεξάνδρῳ καὶ τὴν νίκην γενέ-
σθαι. δαρεῖος μὲν δὴ ἐκ τῆς μάχης παρὰ
τὰ ὄρη τὰ ἀρμενίων ἤλαυνεν ἐπὶ μηδίας,
καὶ πέρσαι οἵ τε συγγενεῖς οἱ βασιλέως, καὶ
τῶν μηλοφόρων καλουμένων οἱ πολλοί. προσε-
γένοντο δὲ αὐτῷ κατὰ τὴν φυγὴν, καὶ τῶν
μισθοφόρων ξένων ἐς δισχιλίους· οὓς πάτρων
τε ὁ φωκεὺς, καὶ γλαῦκος ὁ αἰτωλὸς ἦγον.

ταύτῃ δὲ αὐτῷ ἡ φυγὴ ἐπὶ μηδίας ἐγένετο, ὅ τι ἐδόκει τὴν ἐπὶ σούσων τε καὶ βαβυλῶνος ἥξειν ἀλέξανδρον ἐκ τῆς μάχης· ὅτι οἰκουμένη τε ἐκείνη πᾶσα ἦν ἐκείνη, καὶ ὁδὸς τοῖς σκευοφόροις οὐ χαλεπὴ, καὶ ἅμα τοῦ πολέμου τὸ ἆθλον ἡ βαβυλὼν, καὶ τὰ σοῦσα ἐφαίνετο, ἡ δὲ ἐπὶ μηδίας, μεγάλῳ στρατεύματι οὐκ εὔπορος. καὶ οὐκ ἐψεύσθη δαρεῖος. ἀλέξανδρος γὰρ ὡς ἐξ ἀρβήλων ὁρμηθεὶς, τὴν ἐπὶ βαβυλῶνος εὐθὺς προὐχώρει. ἤδη τε οὐ πόρρω βαβυλῶνος ἦν, καὶ τὴν δύναμιν ξυντεταγμένην ὡς ἐς μάχην ἦγεν. καὶ οἱ βαβυλώνιοι πανδημεὶ ἀπήντων αὐτῷ, ξὺν ἱερεῦσι τε σφῶν καὶ ἄρχουσι, δῶρα τε ὡς ἕκαστοι φέροντες, καὶ τὴν πόλιν ἐκδιδόντες, καὶ τὴν ἄκραν, καὶ τὰ χρήματα. ἀλέξανδρος δὲ παρελθὼν εἰς τὴν βαβυλῶνα, τὰ ἱερὰ, ἃ ξέρξης καθεῖλε, ἀνοικοδομεῖν προσέταξε βαβυλωνίοις. τά τε ἄλλα, καὶ τοῦ βήλου τὸ ἱερὸν, ὃν μάλιστα θεὸν τιμῶσι βαβυλώνιοι. σατράπην δὲ κατέστησε βαβυλῶνος, μαζαῖον. ἀπολλόδωρον δὲ τὸν ἀμφιπολίτην στρατηγὸν, τῶν

μετὰ



μετὰ μαζαίου ὑπολειπομένων στρατιωτῶν, καὶ ἀσκληπιόδωρον τὸν φίλωνος, τοὺς φόρους ἐκλέγειν. κατέπεμψε δὲ καὶ εἰς ἀρμενίαν μιθρήνην σατράπην, ὃς τὴν ἐν σάρδεσιν ἀκρόπολιν ἀλεξάνδρῳ ἐνέδωκεν. ἔνθα δὴ καὶ τοῖς χαλδαίοις ἐνέτυχεν, καὶ ὅσα ἐδόκει χαλδαίοις ἀμφὶ τὰ ἱερὰ τὰ ἐν βαβυλῶνι ἔπραξε, τά τε ἄλλα, καὶ τῷ βήλῳ, καθὰ ἐκεῖνοι ἐξηγοῦντο, ἔθυσεν. αὐτὸς δὲ ἐπὶ σούσων ἐστέλλετο. καὶ ἐντυγχάνει αὐτῷ κατὰ τὴν ὁδὸν, ὅ τε παῖς τοῦ σουσίων σατράπου, καὶ παρὰ φιλοξένου ἐπιστολάς. φιλόξενον γὰρ εὐθὺς ἐκ τῆς μάχης ἐπὶ σούσων ἐστάλκει ἀλέξανδρος. τῇ δὲ ἐπιστολῇ τῇ παρὰ φιλοξένου ἀνεγέγραπτο, ὅτι τήν τε πόλιν οἱ σούσιοι παραδεδώκασιν, καὶ τὰ χρήματα πάντα σῶα ἐστὶν ἀλεξάνδρῳ. ἀφίκετο δὲ ἐς σοῦσα ἀλέξανδρος ἐκ βαβυλῶνος ἐν ἡμέραις εἴκοσι. καὶ παρελθὼν ἐς τὴν πόλιν, τά τε χρήματα παρέλαβεν. ὄντα γὰρ ἀργυρίου τάλαντα ἐς πεντακισμύρια, καὶ τὴν ἄλλην κατασκευὴν τὴν βασιλικήν, πολλὰ δὲ καὶ ἄλλα κατελήφθη αὐτοῦ, ὅσα ξέρξης ἀπὸ τῆς ἑλλάδος ἄγων ἦλθε. τά τε ἄλλα, καὶ ἁρμοδίου καὶ



ἀριστο

ἀριστογείτονος χαλκαῖ εἰκόνες. καὶ ταύτας ἀθηναίοις πέμπει ὀπίσω ἀλέξανδρος, καὶ νῦν κεῖνται ἀθήνησιν ἐν κεραμεικῷ αἱ εἰκόνες, ᾗ ἄνιμεν ἐς πόλιν, κατ' ἀντικρὺ μάλιστα τοῦ μητρώου μακρὰν τῶν εὐδανέμων τοῦ βωμοῦ. ὅς τις δὲ μεμύηται τοῖν θεοῖν ἐν ἐλευσῖνι, οἶδε τὸν εὐδανέμου τὸν βωμὸν, ἐπὶ τοῦ δαπέδου ὄντα. ἐνταῦθα θύσας τοῖς πατρίοις νόμοις ἀλέξανδρος, καὶ λαμπάδα ποιήσας, καὶ ἀγῶνα γυμνικὸν, καταλιπὼν σατράπην μὲν τῆς σουσιανοῖς ἀβουλίτην, ἄνδρα πέρσην, φρούραρχον δὲ ἐν τῇ ἄκρᾳ τῶν σούσων μάζαρον τῶν ἑταίρων, καὶ στρατηγὸν ἀρχέλαον τὸν θεοδώρου, προὐχώρει ὡς ἐπὶ πέρσας. ἐπὶ θάλασσαν δὲ κατέπεμψεν ὕπαρχον συρίας καὶ φοινίκης καὶ κιλικίας, μένητα. καὶ τούτῳ ἔδωκεν ἀργυρίου τάλαντα ἐς τρισχίλια φέρειν ἐπὶ θάλασσαν. καὶ ἀπ' αὐτῶν ἀποστεῖλαι παρὰ ἀντίπατρον, ὅσων ἂν δέηται ἀντίπατρος ἐς τὸν λακεδαιμονίους πόλεμον, ἐνταῦθα καὶ ἀμύντας ὁ ἀνδρομένους ξὺν τῇ δυνάμει ἀφίκετο, ἣν ἐκ μακεδονίας ἦγε, καὶ τού

των



των τοὺς μὲν ἱππέας ἐς τὴν ἵππον τὴν ἑταιρικὴν κατέταξεν ἀλέξανδρος, τοὺς πεζοὺς δὲ προσέθηκε ταῖς τάξεσι ταῖς ἄλλαις, κατὰ ἔθνη ἑκάστους ξυντάξας. κατέστησε δὲ καὶ λόχους δύο ἐν ἑκάστῃ ἴλῃ, οὐ πρόσθεν ὄντας λόχους ἱππικούς. καὶ λοχαγοὺς ἐπέστησε, τοὺς κατ' ἀρετὴν προκριθέντας ἐκ τῶν ἑταίρων. ἄρας δὲ ἐκ σούσων, καὶ διαβὰς τὸν πασιτίγριν ποταμὸν, ἐμβάλλει ἐς τὴν οὐξίων γῆν. οὐξίων δὲ οἱ μὲν τὰ πεδία οἰκοῦντες, τοῦ τε σατράπου τῶν περσῶν ἤκουον, καὶ τότε ἀλεξάνδρῳ σφᾶς ἐνέδωσαν. οἱ δὲ ὄρειοι καλούμενοι οὔξιοι, πέρσαις τε οὐχ ὑπήκοοι ἦσαν. καὶ τότε πέμψαντες παρ' ἀλέξανδρον, οὐκ ἄλλως παρήσειν ἔφασαν, τὴν ἐπὶ πέρσας ἰόντα ξὺν τῇ δυνάμει, ἢ λαβεῖν ὅσα καὶ παρὰ τῶν περσῶν βασιλέως ἐπὶ τῇ παρόδῳ ἐλάμβανον. καὶ τούτους ἀποπέμπει ἀλέξανδρος, ἥκειν κελεύσας ἐπὶ τὰ στενὰ, ὧν κρατοῦντες ἐπὶ σφίσιν, ἐδόκουν τὴν πάροδον εἶναι τὴν ἐς πέρσας, ἵνα καὶ παρ' αὐτοῦ λάβοιεν τεταγμένα. αὐτὸς δὲ ἀναλαβὼν τοὺς σωματοφύλακας τοὺς

βασι-

βασιλικοὺς, καὶ τοὺς ὑπασπιστὰς, καὶ τῆς ἄλλης στρατιᾶς ἐς ὀκτακισχιλίους, τῆς νυκτὸς ᾔει ἄλλην ἢ τὴν φανερὰν ἡγησαμένων αὐτῷ τῶν σουσίων. καὶ διελθὼν ὁδὸν τραχεῖαν καὶ δύσπορον, ἐν μιᾷ ἡμέρᾳ ἐπιπίπτει ταῖς κώμαις τῶν οὐξίων· καὶ λείαν τε πολλὴν ἔλαβε, καὶ αὐτῶν ἔτι ἐν ταῖς εὐναῖς ὄντων πολλοὺς κατέκτανε. οἱ δὲ, ἀπέφυγον ἐς τὰ ὄρη. αὐτὸς δὲ ᾔει σπουδῇ ὡς ἐπὶ τὰ στενὰ, ἵνα ἀπαντήσεσθαι οἱ οὔξιοι πανδημεὶ ἐδόκουν, ληψόμενοι τὰ τεταγμένα. κρατερὸν δὲ ἔτι πρόσθεν ἀπέστειλε, τὰ ἄκρα καταληψόμενον. ἔνθα ᾤετο βιαζομένους τοὺς οὐξίους ἀποχωρήσειν. αὐτὸς δὲ πολλῷ τάχει ᾔει. καὶ φθάνει τε κρατήσας τῶν παρόδων, καὶ ξυντεταγμένους τοὺς ἀμφ᾽ αὐτὸν ἔχων ἐξ ὑπερδεξίων χωρίων, ἐπῆγεν ὡς ἐπὶ τοὺς βαρβάρους. οἱ δὲ τῷ τε τάχει τῷ ἀλεξάνδρου ἐκπλαγέντες, καὶ τοῖς χωρίοις οἷς μάλιστα δὴ ἐπεποίθεσαν πλεονεκτούμενοι, ἔφυγον, οὐδὲ ἐς χεῖρας ἐλθόντες. καὶ οἱ μὲν αὐτῶν ὑπὸ τῶν ἀμφ᾽ ἀλέξανδρον ἐν τῇ φυγῇ ἀπέθανον· πολλοὶ δὲ καὶ κατὰ τὴν

ὁδὸν,



ὁδὸν, κρημνώδη οὖσαν· οἱ πλεῖστοι δὲ ὡς ἐπὶ τὰ ὄρη ἀναφεύγοντες, ἐμπίπτουσιν ἐς τοὺς ἀμφὶ κρατερὸν, καὶ ὑπὸ τούτων ἀπώλοντο. ταῦτα τὰ γέρα παρ᾽ ἀλεξάνδρου λαβόντες, χαλεπῶς εὕροντο δεόμενοι παρ᾽ αὐτοῦ τὴν χώραν τὴν σφῶν ἔχοντες, φόρους ὅσα ἔτη ἀλεξάνδρῳ ἀποφέρειν. πτολεμαῖος δὲ ὁ λάγου λέγει, τὴν δαρείου μητέρα δεηθῆναι ὑπὲρ αὐτῶν ἀλεξάνδρου, δοῦναι σφίσι τὴν χώραν οἰκεῖν. ὁ φόρος δὲ ὁ συνταχθεὶς ἦν, ἵπποι ἐς ἔτος ἑκατὸν, καὶ ὑποζύγια πεντακόσια, καὶ πρόβατα τρισμύρια. χρήματα γὰρ οὐκ ἦν οὐξίοις, οὐδὲ ἡ γῆ οἵα ἐργάζεσθαι, ἀλλὰ νομεῖς αὐτῶν οἱ πολλοὶ ἦσαν. ἐκ δὲ τούτου τὰ μὲν σκευοφόρα, καὶ τοὺς θετταλοὺς ἱππέας, καὶ τοὺς ξυμμάχους, καὶ τοὺς μισθοφόρους τοὺς ξένους, καὶ ὅσοι ἄλλοι τοῦ στρατεύματος βαρύτερον ὡπλισμένοι, ξὺν παρμενίωνι ἐκπέμπει, ὡς ἐπὶ πέρσας ἄγειν κατὰ τὴν ἁμαξιτὸν, τὴν ἐς πέρσας φέρουσαν. αὐτὸς δὲ τοὺς πεζοὺς τοὺς μακεδόνας ἀναλαβὼν, καὶ τὴν ἵππον τὴν ἑταιρικὴν, καὶ

τοὺς

τοὺς προδρόμους ἱππέας, καὶ τοὺς ἀγριᾶνας, καὶ τοὺς τοξότας, ᾔει σπουδῇ τὴν διὰ τῶν ὀρῶν. ὡς δὲ ἐπὶ τὰς πύλας τὰς περσίδας ἀφίκετο, καταλαμβάνει αὐτοῦ ἀριοβαρζάνην τὸν περσῶν σατράπην, πεζοὺς μὲν ἐς τετρακισχιλίους ἔχοντα, ἱππέας δὲ ἐς ἑπτακοσίους, διατετειχικότας τὰς πύλας· καὶ αὐτοῦ πρὸς τῷ τείχει ἐστρατοπεδευκότα, ὡς εἴργειν τῆς παρόδου ἀλέξανδρον. τότε μὲν δὴ αὐτοῦ κατεστρατοπεδεύσατο. τῇ δὲ ὑστεραίᾳ ξυντάξας τὴν στρατιὰν, ἐπῆγε τῷ τείχει. ὡς δὲ ἄπορόν τε διὰ δυσχωρίαν ἐφαίνετο αἱρεθῆναι, καὶ πολλὰς πληγὰς οἱ ἀμφ' αὐτὸν ἐλάμβανον, ἐξ ὑπερδεξίου τε χωρίου, καὶ ἀπὸ μηχανῶν βαλλόμενοι, τότε μὲν ἀποχωρεῖ ἐς τὸ στρατόπεδον. τῶν δὲ αἰχμαλώτων φρασάντων ἄλλην ὁδὸν περιάξειν αὐτὸν, ὡς εἴσω παρελθεῖν τῶν πυλῶν, ἐπεὶ τραχεῖαν τὴν ὁδὸν καὶ στενὴν ἐπύθετο, κρατερὸν μὲν αὐτοῦ καταλείπει ἐπὶ στρατοπέδου τήν τε αὐτοῦ τάξιν ἔχοντα, καὶ τὴν μελεάγρου, καὶ τῶν τοξοτῶν ὀλίγους, καὶ τῶν ἱππέων ἐς πεντακοσίους.



σίους. καὶ προστάττει αὐτῷ, ἐπειδὰν ἐκπεριεληλυθότα αὐτὸν αἴσθηται, καὶ προσάγοντα ἤδη τῷ στρατοπέδῳ τῶν περσῶν, αἰσθήσεσθαι δὲ οὐ χαλεπῶς, σημαίνειν γὰρ αὐτῷ τὰς σάλπιγγας, τότε δὲ προσβάλλειν τῷ τείχει. αὐτὸς δὲ προὐχώρει νύκτωρ· καὶ διελθὼν ὅσον ἑκατὸν σταδίους, ἀναλαμβάνει τοὺς ὑπασπιστὰς, καὶ τὴν περδίκκου τάξιν, καὶ τῶν τοξοτῶν τοὺς κουφοτάτους, καὶ τοὺς ἀγριᾶνας, καὶ τῶν ἑταίρων τὴν ἴλην τὴν βασιλικὴν, καὶ τετραρχίαν πρὸς ταύτῃ μίαν ἱππικὴν, καὶ ξὺν τούτοις ᾔει ἐπικάμψας, ὡς ἐπὶ τὰς πύλας, ἵν' οἱ αἰχμάλωτοι ἦγον. ἀμύνταν δὲ, καὶ φιλώταν, καὶ κοῖνον τὴν ἄλλην στρατιὰν, ὡς ἐπὶ τὸ πεδίον ἄγειν. καὶ τὸν ποταμὸν, ὃν ἐχρῆν περᾶσαι ἰόντι ἐπὶ πέρσας, γεφυροῦν ἐκέλευσεν. αὐτὸς δὲ ᾔει ὁδὸν χαλεπὴν, καὶ τραχεῖαν· καὶ ταύτην δρόμῳ πολὺ ἦγε. τὴν μὲν δὴ πρώτην φυλακὴν τῶν βαρβάρων πρὶν φάος ἐπιπεσὼν διέφθειρε, καὶ τῶν δευτέρων τοὺς πολλούς. τῆς τρίτης δὲ οἱ πλείους διέφυγον, καὶ οὐδὲ αὐτοὶ ἐς τὸ στρατόπεδον τὸ

ἀριο

ἀριοβαρζάνου οὐκ ἔφυγον, ἀλλ' αὐτόθεν ὡς εἶχον ὑπὸ τὰ ὄρη πεφοβημένοι· ὥστε ἔλαθεν ἐπὶ τὴν ἕω ἐπιστὰς τῷ στρατοπέδῳ τῶν πολεμίων. καὶ ἅμα μὲν προσέβαλλε τῇ τάφρῳ, ἅμα δὲ αἱ σάλπιγγες ἐσήμαινον τοῖς ἀμφὶ κρατερόν, καὶ κρατερὸς προσῆγε τῷ προτειχίσματι. οἱ δὲ πολέμιοι πάντοθεν ἀμφίβολοι γιγνόμενοι, οὐδὲ ἐς χεῖρας ἐλθόντες, ἔφυγον. ἀλλὰ πανταχόθεν γὰρ εἴργοντο, τῇ μὲν ἀλεξάνδρου ἐπικειμένου, ἄλλῃ δὲ τῶν ἀμφὶ κρατερὸν παραθεόντων, ὥστε ἠναγκάσθησαν οἱ πολλοὶ αὐτῶν, ἐς τὰ τείχη ἀποστρέψαντες φυγεῖν. εἴχετο δὲ καὶ τὰ τείχη πρὸς τῶν μακεδόνων ἤδη. ἀλέξανδρος δὲ τοῦτο ὅπερ ξυνέβη ὑποτοπήσας, πτολεμαῖον ἀπολελοίπει αὐτοῦ, ἔχοντα τῶν πεζῶν ἐς τρισχιλίους. ὥστε οἱ μὲν πλεῖστοι τῶν βαρβάρων ἐν χερσὶ πρὸς τῶν μακεδόνων κατεκόπησαν. οἱ δέ, καὶ ἐν τῇ φυγῇ φοβερᾷ γενομένῃ, κατὰ τῶν κρημνῶν ῥίψαντες, ἀπώλοντο. αὐτὸς δὲ ὁ ἀριοβαρζάνης ξὺν ὀλίγοις ἱππεῦσιν, ἐς τὰ ὄρη ἀπέφυγεν. ἀλέξανδρος δὲ σπουδῇ αὖθις ἦγεν,





ὡς ἐπὶ τὸν ποταμόν, καὶ καταλαμβάνει ἤδη πεποιημένην ἐπ' αὐτοῦ γέφυραν, καὶ διαβαίνει ξὺν τῇ στρατιᾷ εὐπετῶς. ἐντεῦθεν δὲ αὖθις σπουδῇ ἤλαυνεν ἐς πέρσας, ὥστε ἔφθη ἀφικέσθαι πρὶν τὰ χρήματα διαρπάσασθαι τοὺς φύλακας. ἔλαβε δὲ καὶ τὰ ἐν πασαργάδαις χρήματα ἐν τοῖς κύρου τοῦ πρώτου θησαυροῖς. σατράπην μὲν δὴ περσῶν κατέστησε φρασαόρτην, τὸν ῥεομίθρου παῖδα. τὰ βασίλεια δὲ τὰ περσικὰ ἐνέπρησε, παρμενίωνος σώζειν ξυμβουλεύοντος. τά τε ἄλλα ὅτι οὐ καλὸν αὐτοῦ κτήματα ἤδη ἀπολλύναι, καὶ ὅτι οὐχ ὡσαύτως προσέξουσιν αὐτῷ, οἱ κατὰ τὴν ἀσίαν ἄνθρωποι. ὡς οὐδὲ αὐτῷ ἐγνωκότι κατέχειν τῆς ἀσίας τὴν ἀρχήν, ἀλλ' ἀπελθεῖν μόνον νικῶντα. ὁ δέ, τιμωρήσασθαι ἐθέλειν πέρσας ἔφασκεν, ἀνθ' ὧν ἐπὶ τὴν ἑλλάδα ἐλάσαντες, τάς τε ἀθήνας κατέσκαψαν, καὶ τὰ ἱερὰ ἐνέπρησαν. καὶ ὅσα ἄλλα κατὰ τοὺς ἕλληνας εἰργάσαντο, ὑπὲρ τούτων δίκας λαβεῖν. ἀλλ' οὐδ' ἐμοὶ δοκεῖ σὺν νῷ δρᾶσαι τοῦτό γε ἀλέξανδρος, οὐδὲ εἶναί τις

αὕτη περσῶν τῶν πάλαι τιμωρία. ταῦτα
δὲ διαπραξάμενος, προὐχώρει ἐπὶ μηδίας·
ἐκεῖ γὰρ ἐπυνθάνετο εἶναι δαρεῖον. γνώμην
δὲ ἐπεποίητο δαρεῖος, εἰ μὲν ἐπὶ σούσων
καὶ βαβυλῶνος μένοι ἀλέξανδρος, αὐτοῦ
προσμένειν καὶ αὐτὸς ἐν μήδοις, εἰ δή τι νεω-
τερισθείη τῶν ἀμφ' ἀλέξανδρον. εἰ δὲ ἐλαύ-
νοι ἐπ' αὐτὸν, αὐτὸς δὲ ἄνω ἰέναι τὴν ἐπὶ παρ-
θυαίους τε καὶ ὑρκανίαν, ἔς τε ἐπὶ βάκτρα,
τήν τε χώραν φθείρων πᾶσαν, καὶ ἄπορον
ποιῶν ἀλεξάνδρῳ τὴν πρόσω ὁδὸν, τὰς
μὲν δὴ γυναῖκας καὶ τὴν ἄλλην τὴν ἔτι
ἀμφ' αὐτὸν κατασκευὴν, καὶ τὰς ἁρμαμά-
ξας, ἐπὶ τὰς κασπίας καλουμένας πύλας
πέμπει. αὐτὸς δὲ ξὺν τῇ δυνάμει, ἥ τις
ἐκ τῶν παρόντων ξυνείλεκτο αὐτῷ, προσέ-
μενεν ἐν ἐκβατάνοις. ταῦτα ἀκούων ἀλέ-
ξανδρος, προὐχώρει ἐπὶ μηδίας. καὶ παραι-
τάκας μὲν ἐς τὴν χώραν αὐτῶν ἐμβαλὼν,
κατεστρέψατο. καὶ σατραπεύειν ἔταξεν
αὐτῶν, ὀξοάθρην τὸν ἀβουλίτου τοῦ πρόσθε-
ρον σούσων σατράπου παῖδα. αὐτὸς δὲ ὡς
ἠγγέλθη κατὰ τὴν ὁδὸν, ὅτι ἐγνωκὼς εἴη δα-
ρεῖος



ρεῖος ἀπαντᾶν τε αὐτῷ ὡς ἐς μάχην, καὶ
αὖθις διακινδυνεύειν (σκύθας τε γὰρ αὐ-
τῷ ἥκειν, καὶ καδουσίους συμμάχους) τὰ
μὲν ὑποζύγια, καὶ τοὺς τούτων φύλακας, καὶ
τὴν ἄλλην κατασκευὴν ἕπεσθαι ἐκέλευ-
σε. τὴν στρατιὰν δὲ τὴν ἄλλην ἀναλαβὼν,
ἦγεν ἐσταλμένους ὡς ἐς μάχην, καὶ ἀφικνεῖ-
ται δωδεκάτῃ ἡμέρᾳ ἐς μηδίαν· ἔνθα ἔ-
μαθεν οὐκ οὖσαν ἀξιόμαχον δύναμιν δα-
ρείῳ, οὐδὲ καδουσίους ἢ σκύθας αὐτῷ συμ-
μάχους ἥκοντας, ἀλλ' ὅτι φεύγειν ἐγνωκὼς
εἴη δαρεῖος. ὁ δὲ ἔτι μᾶλλον ἦγε σπουδῇ.
ὡς δὲ ἀπεῖχεν ἐκβατάνων, ὅσον τριῶν ἡμε-
ρῶν ὁδὸν, ἐνταῦθα ἀπήντα αὐτῷ βισθά-
νης ὁ ὤχου παῖς, τοῦ πρὸ δαρείου βασιλεύ-
σαντος περσῶν. καὶ οὗτος ἀπήγγειλεν,
ὅτι δαρεῖος ἐς πέμπτην ἡμέραν εἴη πεφευ-
γὼς, ἔχων τά τε χρήματα ἐκ μήδων, ἐς ἑ-
πτακισχίλια τάλαντα καὶ στρατιὰν, ἱππέας
μὲν ἐς τρισχιλίους, πεζοὺς δὲ ἐς ἑξακισχι-
λίους. ἐλθὼν δὲ ὡς ἐκβάτανα ἀλέξανδρος,
τοὺς μὲν θετταλοὺς ἱππέας καὶ τοὺς ἄλλους
ξυμμάχους ἀποπέμπει ὀπίσω ἐπὶ θάλασ-

σαι, τόν τε μισθὸν ἀποδοὺς αὐτοῖς ἐντελῆ
τὸν ξυντεταγμένον, καὶ δισχίλια παρ' αὐ-
τοῦ τάλαντα ἐπιδούς. ὅς τις δὲ ἰδίᾳ βού-
λοιτο ἔτι μισθοφορεῖν παρ' αὐτῷ, ἀπογρά-
φεσθαι ἐκέλευσε. καὶ ἐγένοντο οἱ ἀπογρα-
ψάμενοι, οὐκ ὀλίγοι. ἐπόκιλλον δὲ τὸν πο-
λυειδοῦς, ἔταξε καταγαγεῖν αὐτοὺς ὡς ἐπὶ
θάλασσαν, ἱππέας ἄλλους ἔχοντα ἐς φυ-
λακὴν αὐτῶν. οἱ γὰρ θεσσαλοὶ τοὺς ἵππους αὐ-
τοῦ ἀπέδοντο. ἐπέστειλε δὲ καὶ μένητι, ἐπει-
δὰν ἀφίκωνται τὴν ἐπὶ θάλασσαν ἐπιμε-
ληθῆναι, ὅπως ἐπὶ τριήρων κομισθήσονται
ἐς εὔβοιαν. παρμενίωνα δὲ προσέταξε τὰ
χρήματα τὰ ἐκ περσῶν κομιζόμενα, εἰς τὴν
ἄκραν τὴν ἐν ἐκβατάνοις καταθέσθαι, καὶ
ἁρπάλῳ παραδοῦναι. ἅρπαλον γὰρ ἐπὶ τῶν
χρημάτων κατέλιπε, καὶ φυλακὴν τῶν χρη-
μάτων μακεδόνας ἐς ἑξακισχιλίους, καὶ
ἱππέας, καὶ ψιλοὺς ὀλίγους. αὐτὸν δὲ παρ-
μενίωνα τοὺς ξένους ἀναλαβόντα, καὶ τοὺς
θρᾷκας, καὶ ὅσοι ἄλλοι ἱππεῖς, ἔξω τῆς ἵπ-
που τῆς ἑταιρικῆς, παρὰ τὴν χώραν τὴν κα-
δουσίων ἐλαύνειν ἐς ὑρκανίαν. κλείτῳ δὲ





τῷ τῆς βασιλικῆς ἴλης ἡγεμόνι ἐπέστει-
λεν, ἐπειδὰν ἐκ σούσων εἰς ἐκβάτανα ἀ-
φίκηται (καταλέλειπτο γὰρ ἐν σούσοις
ἀῤῥοστῶν) ἀναλαβόντα τοὺς μακεδόνας
τοὺς ἐπὶ τῶν χρημάτων τότε ὑπολειφθέν-
τας, ἰέναι τὴν ἐπὶ παρθυαίους, ἵνα καὶ
αὐτὸς ἥξειν ἔμελλεν. αὐτὸς δὲ ἀναλαβὼν
τήν τε ἵππον τῶν ἑταίρων, καὶ τοὺς προ-
δρόμους, καὶ τοὺς μισθοφόρους ἱππέας,
ὧν ἐριγύϊος ἡγεῖτο, καὶ τὴν φάλαγγα
τὴν μακεδονικήν, ἔξω τῶν ἐπὶ τοῖς χρή-
μασι ταχθέντων καὶ τοὺς τοξότας καὶ τοὺς
ἀγριᾶνας, ἤλαυνεν ὡς ἐπὶ δαρεῖον. καὶ αὐ-
τῷ κατὰ τὴν ὁδὸν σπουδῇ γιγνομένην,
τῶν τε στρατιωτῶν πολλοὶ κάμνοντες ὑ-
πελείποντο, καὶ ἵπποι ἀπέθνησκον. ἀλ-
λὰ καὶ ὣς ἦγε, καὶ ἀφικνεῖται ἐς ῥάγας,
ἑνδεκάτῃ ἡμέρᾳ. διέχει δὲ ὁ χῶρος οὗτος
ἀπὸ τῶν κασπίων πυλῶν ἐς ῥαγὰς ὁδὸν,
ἡμέρας μιᾶς ἐλαύνοντι, ὡς ἀλέξανδρον ἦ-
γε. δαρεῖος δὲ ἐφθάκει ἤδη παρεληλυθὼς
εἴσω τῶν πυλῶν τῶν κασπίων. τῶν δὲ συμφευ-
γόντων δαρείῳ, πολλοὶ μὲν ἀπολιπόντες

αὐτῶν ἐν τῇ φυγῇ, ἐπὶ τὰ αὑτῶν ἕκαστος ἐπεχώρουν. οὐκ ὀλίγοι δὲ καὶ ἀλεξάνδρῳ σφᾶς ἐνεδίδοσαν. ἀλέξανδρος δὲ, ὡς ἐπέγνω κατὰ πόδας αἱρήσειν δαρεῖον, μείνας αὐτοῦ πέντε ἡμέρας, καὶ ἀναπαύσας τὴν στρατιὰν, μηδίας μὲν σατράπην ἀπέδειξεν ὀξυδάτην, πέρσην ἄνδρα· ὃς ἐτύγχανε πρὸς δαρείου ξυνειλημμένος, καὶ ἐν σούσοις εἰργόμενος. τοῦτο αὐτῷ ἐς πίστιν ἦν πρὸς ἀλέξανδρον, αὐτὸς δὲ ὡς ἐπὶ παρθυαίους ᾔει. καὶ τῇ μὲν πρώτῃ πρὸς τὰς κασπίας πύλας ἐστρατοπέδευσε· τῇ δευτέρᾳ δὲ εἴσω παρῆλθον τῶν πυλῶν, ἔς τε οἰκούμενα ἦν. ἐπισιτισάμενος δὲ αὐτόθι, ὅτι ἔρημον τὴν πρόσω χώραν ἤκουεν, ἐς προνομὴν ἐκπέμπει κοῖνον, ξὺν ἱππεῦσί τε καὶ τῶν πεζῶν ὀλίγοις. καὶ ἐν τούτῳ ἀφικνεῖται παρ' αὐτὸν ἐκ τοῦ δαρείου στρατοπέδου, βαγιστάνης βαβυλώνιος ἀνὴρ τῶν γνωρίμων, καὶ ξὺν τούτῳ ἀντίβηλος, τῶν μαζαίου παίδων. οὗτοι ἀπήγγειλαν, ὅτι ναβαρζάνης τε χιλιάρχης τῶν ξὺν δαρείῳ φευγόντων ἱππέων, καὶ βῆσσος ὁ βακτρίων





σατράπης, καὶ βράζας ὁ ἀραχωτῶν καὶ δραγγῶν σατράπης, ξυνειληφότες εἶεν δαρεῖον. ταῦτα ἀκούσας ἀλέξανδρος, ἔτι μᾶλλον ᾔει σπουδῇ, τοὺς ἑταίρους μόνους ἔχων ἀμφ' αὑτὸν, καὶ τοὺς προδρόμους ἱππέας, καὶ τῶν πεζῶν τοὺς εὐρωστοτάτους τε καὶ κουφοτάτους ἐπιλεξάμενος, οὐδὲ τοὺς ἀμφὶ κοῖνον προσμείνας ἐκ τῆς προνομῆς ἐπανελθεῖν. τοῖς δὲ ὑπολειπομένοις ἐπιστήσας κρατερὸν, προστάττει, μὴ μακρὰς ὁδοὺς ἄγοντα. οἱ δὲ ἀμφ' αὐτὸν, τὰ ὅπλα εἶχον μόνον, καὶ δύο ἡμερῶν σιτία. ἐλθὼν δὲ, τήν τε νύκτα ὅλην καὶ τῆς ἐπιούσης ἡμέρας μέχρι μεσημβρίας ὀλίγον χρόνον ἀναπαύσας τὸν στρατὸν, αὖθις ᾔει ὅλην τὴν νύκτα, καὶ ἅμα ἡμέρᾳ ὑποφαινούσῃ παρῆν ἐς τὸ στρατόπεδον, ὅθεν ὡρμήκει ὀπίσω βαγιστάνης· καὶ τοὺς μὲν πολεμίους κατέλαβε, δαρείου δὲ πέρι ἐπύθετο, αὐτὸν μὲν συνειλημμένον ἄγεσθαι ἐφ' ἁρμαμάξης, βήσσῳ δὲ ἀντὶ δαρείου γίγνεσθαι τὸ κράτος, καὶ ἡγεμόνα ὀνομάσθαι βῆσσον, πρός τε τῶν βακτρίων ἱππέων, καὶ τῶν ἄλλων, ὅσοι βάρβα

ροι ξυνέφευγον δαρείῳ, πλὴν ἀρταβάζου, καὶ τῶν ἀρταβάζου παίδων, καὶ τῶν ἑλλήνων τῶν μισθοφόρων. τούτους δὲ πιστοὺς εἶναι δαρείῳ, καὶ εἴργειν μὲν τὰ γιγνόμενα οὐ δυνατοὺς εἶναι. ἐκτραπέντας δὲ ἔξω τῆς λεωφόρου ὁδοῦ, ὡς ἐπὶ τὰ ὄρη ἰέναι κατὰ σφᾶς, οὐ μετέχοντας τοῖς ἀμφὶ βῆσσον τοῦ ἔργου. γνώμην δὲ πεποιῆσθαι τοὺς ξυλλαβόντας δαρεῖον, εἰ μὲν διώκοντας σφᾶς ἀλέξανδρον πυνθάνοιτο, παραδοῦναι δαρεῖον ἀλεξάνδρῳ, καὶ σφίσι τι ἀγαθὸν εὑρίσκεσθαι. εἰ δὲ τοὔμπαλιν ἐπανεληλυθότα μάθοιεν, τοὺς δὲ στρατιάν τε ξυλλέγειν ὅσην πλείστην δύναιντο, καὶ διασώζειν ἐς τὸ κοινὸν τὴν ἀρχήν. βῆσσον δὲ ἐν τῷ παρόντι δ᾽ ἐξηγεῖσθαι κατοικειότητά τε τὴν δαρείου, καὶ ὅτι ἐν τῇ αὐτοῦ σατραπείᾳ τὸ ἔργον ἐγίνετο. ταῦτα ἀκούσαντι ἀλεξάνδρῳ, ἀνὰ κράτος διωκτέα ἐφαίνετο. καὶ ἤδη μὲν ἐξέκαμνον οἵ τε ἄνδρες, καὶ οἱ ἵπποι, ὑπὸ τῇ ταλαιπωρίᾳ τῇ ξυνεχεῖ. ἀλλὰ καὶ ὣς ἦγε. καὶ διελθὼν ὁδὸν πολλὴν τῆς τε νυκτός, καὶ τῆς ἐπὶ ταύτῃ ἡμέρας, ἐς τε ἐπὶ μεσημ-





βρίαν ἀφικνεῖται ἔς τινα κώμην, ἵνα τῇ προτεραίᾳ ἐστρατοπεδεύκεσαν οἱ δαρεῖον ἄγοντες. ἐνταῦθα ἀκούσας, ὅτι νυκτὸς ποιεῖσθαι τὴν πορείαν ἐγνωσμένον εἴη τοῖς βαρβάροις, ἤλεγχε τοὺς προσχώρους, εἰ δή τινα εἰδεῖεν ἐπιτομωτέραν ὁδὸν ἐπὶ τοὺς φεύγοντας. οἱ δὲ εἰδέναι μὲν ἔφασαν, ἐρήμην δὲ εἶναι τὴν ὁδὸν δι᾽ ἀνυδρίαν. ὁ δέ, ταύτην ἄγειν ἐκέλευσε. καὶ γνοὺς ὅτι οὐχ ἕψονται οἱ πεζοὶ αὐτῷ, σπουδῇ ἐλαύνοντι, τῶν μὲν ἱππέων ἐς πεντακοσίους κατεβίβασεν ἀπὸ τῶν ἵππων. τοὺς ἡγεμόνας δὲ τῶν πεζῶν, καὶ τῶν ἄλλων ἐπιλεξάμενος τοὺς κρατιστεύοντας, ἐπιβῆναι τῶν ἵππων ἐκέλευσεν οὕτως, ὅπως οἱ πεζοὶ ὡπλισμένοι ἦσαν. νικάνορα δὲ τὸν τῶν ὑπασπιστῶν ἡγεμόνα, καὶ ἄτταλον τὸν τῶν ἀγριάνων, κατὰ τὴν ὁδὸν ἥν τινα οἱ ἀμφὶ βῆσσον προὐκεχωρήκεσαν, τοὺς ὑπολειφθέντας ἄγειν ἐκέλευσε. καὶ τούτους, ὡς κουφότατα ἐσταλμένους, τοὺς δὲ ἄλλους πεζούς, ἐν τάξει ἕπεσθαι. αὐτὸς δὲ ἀμφὶ δείλην ἄγειν ἀρξάμενος, δρόμῳ ἦγεν. διελθὼν δὲ τῆς νυκτὸς σταδίους

ἐς τετρακοσίους, ὑπὸ τὴν ἕω τυγχάνει τοῖς βαρβάροις, ἀτάκτως ἰοῦσι καὶ ἀνόπλοις, ὥστε ὀλίγοι μέν τινες αὐτῶν ὡς ἀμυνούμενοι ὥρμησαν. οἱ δὲ πολλοὶ εὐθὺς ὡς ἀλέξανδρον αὐτὸν κατεῖδον, οὐδὲ ἐς χεῖρας ἐλθόντες ἔφυγον. καὶ οἱ τραπέντες ἐς ἀλκὴν ὀλίγων πεσόντων, καὶ οὗτοι ἔφυγον. βῆσσος δὲ, καὶ οἱ ξὺν αὐτῷ, τέως μὲν ἐφ' ἁρμαμάξης δαρεῖον μετὰ σφῶν ἐκόμιζον. ὡς δὲ ὁμοῦ ἤδη ἦν ἀλέξανδρος, δαρεῖον μὲν σατιβαρζάνης καὶ βαρσαέντης κατατρώσαντες, αὐτοῦ ἀπέλιπον. αὐτοὶ δὲ ἔφυγον ξὺν ἱππεῦσιν ἑξακοσίοις. δαρεῖος δὲ ἀποθνήσκει ὀλίγον ὕστερον ἐκ τῶν τραυμάτων, πρὶν ὀφθῆναι ἀλεξάνδρῳ. ἀλέξανδρος δὲ τὸ μὲν σῶμα τοῦ δαρείου ἐς πέρσας ἔπεμψε, θάψαι κελεύσας ἐν ταῖς βασιλικαῖς θήκαις, καθάπερ καὶ οἱ ἄλλοι οἱ πρὸ δαρείου βασιλεῖς. σατράπην δὲ ἀπέδειξε παρθυαίων καὶ ὑρκανίων, ἀμμινάπην παρθυαῖον. ἦν δὲ οὗτος τῶν αἴγυπτον ἐνδόντων ἀλεξάνδρῳ, μετὰ μαζάκου. τληπόλεμος δὲ πυθοφάνους τῶν

ἑταί-



ἑταίρων, ξυνετάχθη αὐτῷ, σκοπεῖν τὰ ἐν παρθυαίοις τε καὶ ὑρκανίοις. τοῦτο τὸ τέλος δαρείῳ ἐγένετο, ἐπὶ ἄρχοντος ἀθηναίοις ἀριστοφῶντος, μηνὸς ἑκατομβαιῶνος. ἀνδρὶ τὰ μὲν πολέμια, εἴπερ τινὶ ἄλλῳ μαλθακῷ τε, καὶ οὐ φρενήρει, ἐς δὲ τὰ ἄλλα οὐδὲν ἀνεπιεικὲς ἔργον ἀποδειξαμένῳ, ἢ οὐδὲ ἐγγενόμενον αὐτῷ ἀποδείξασθαι. ὅτι ὁμοῦ μὲν ἐς τὴν βασιλείαν παρελθεῖν, ὁμοῦ δὲ προσπολεμεῖσθαι πρός τε μακεδόνων καὶ τῶν ἑλλήνων ξυνέβη. οὔκουν οὐδὲ ἐθέλοντι ἐξῆν ἔτι ὑβρίζειν ἐς τοὺς ὑπηκόους ἐν μείζονι κινδύνῳ, ἤπερ ἐκεῖνοι καθεστηκότι. ζῶντι μὲν δὴ ξυμφοραὶ αὐτῷ ἄλλαι ἐπ' ἄλλαις ξυνετάχθησαν. οὐδέ τις ἀνακωχὴ ἐγένετο, ἐπειδὴ πρῶτον ἐς τὴν ἀρχὴν παρῆλθεν. ἀλλὰ εὐθὺς μὲν τὸ τῶν σατραπῶν ἐπὶ γρανικῷ πταῖσμα, ξυνέβη τὸ ἱππικόν. εὐθὺς δὲ ἰωνία τε καὶ αἰολεῖς εἴχοντο, καὶ φρύγες ἀμφότεροι. καὶ λυδία, καὶ κάρες, πλὴν ἁλικαρνασέων. ὀλίγον δὲ ὕστερον καὶ ἁλικάρνασος ἐξῄρητο. ἐπὶ δὲ ἡ παραλία πᾶσά τε ἐς τε ἐπὶ τὴν κιλικίαν, ἔνθενδε ἡ

αὐτοῦ

αὐτοῦ ἐπ' ἰσσῷ ἦλθε, ἵνα τήν τε μητέρα αἰχμαλωτισθεῖσαν, καὶ τὴν γυναῖκα καὶ τοὺς παῖδας ἐπεῖδεν, ἐπὶ τῷδε φοινίκη τε ἀπώλετο, καὶ αἴγυπτος πᾶσα. ἐπὶ δὲ, αὐτὸς ἐν ἀρβήλοις ἔφυγέ τε, καὶ ἐν πρώτοις αἰσχρῶς. καὶ στρατιὰν πλείστην παντὸς τοῦ βαρβαρικοῦ γένους ἀπώλεσε. φυγάς τε ἐκ τούτου τῆς αὐτοῦ ἀρχῆς πλανώμενος, καὶ τελευτῶν πρὸς τῶν ἀμφ' αὐτὸν, ἐς τὰ ἔσχατα προδοθεὶς· βασιλεύς τε ἐν τῷ αὐτῷ καὶ δεσμώτης, ξὺν ἀτιμίᾳ ἀγόμενος, τέλος δὲ πρὸς τῶν οἰκειοτάτων ἐπιβουλευθεὶς, ἀπώλετο. ζῶντι μὲν δαρείῳ τοιαῦτα ξυνηνέχθη. τελευτήσαντι δὲ, ταφή τε ἡ βασιλικὴ, καὶ τῶν παίδων, ὁποία καὶ βασιλεύοντος αὐτοῦ, τροφή τε ἀλεξάνδρου καὶ παίδευσις, καὶ γαμβρὸς ἀλέξανδρος. ὁπότε δὲ ἐτελεύτα, ἐγεγόνει ἀμφὶ τὰ πεντήκοντα ἔτη. ἀλέξανδρος δὲ τοὺς ὑπολειφθέντας ἐν τῇ διώξει τῆς στρατιᾶς ἀναλαβὼν, ἐς ὑρκανίαν προὐχώρει. κεῖται δὲ ὑρκανία χώρα, ἐν ἀριστερᾷ τῆς ὁδοῦ τῆς ἐπὶ βάκτρα φερούσης· καὶ τῇ μὲν, ὄρεσιν ἀπείργεται δα

σέσι



σέσι καὶ ὑψηλοῖς. τὸ πεδίον δὲ αὐτῆς καθήκει ἔς τε ἐπὶ τὴν μεγάλην τὴν ταύτῃ θάλασσαν. ταύτην δὲ ἦγεν, ὅτι ταύτῃ τοὺς ξένους τοὺς ἐπὶ δαρείου διαπεφευγέναι ἐς τὰ τῶν ταπούρων ὄρη ἐπύθετο, καὶ αὐτοὺς ἅμα τοὺς ταπούρους χειρωσόμενος, τριχῇ δὲ διελὼν τὸν στρατὸν, αὐτὸς μὲν τὴν ἐπιτομωτάτην καὶ χαλεπωτάτην ἡγήσατο, τὸ πλεῖστον καὶ ἅμα τὸ κουφότατον τῆς δυνάμεως ἄγων. κρατερὸν δὲ, τήν τε αὐτοῦ τάξιν ἔχοντα, καὶ τὴν ἀμύντου, καὶ τῶν τοξοτῶν ἔστιν οὓς καὶ ὀλίγους τῶν ἱππέων ἐπὶ ταπούρων ἔστειλεν. ἐριγύϊον δὲ, τούς τε ξένους καὶ τὴν λοιπὴν ἵππον ἀναλαβόντα, τὴν λεωφόρον τε καὶ μακροτέραν ἡγεῖσθαι ἐκέλευσε· τὰς ἁμάξας, καὶ τὰ σκευοφόρα, καὶ τὸν ἄλλον ὅμιλον ἄγοντα. ὑπερβαλὼν δὲ τὰ πρῶτα ὄρη, καὶ καταστρατοπεδεύσας αὐτοῦ, ἀναλαβὼν τούς τε ὑπασπιστὰς, καὶ τῆς μακεδονικῆς φάλαγγος τοὺς κουφοτάτους, καὶ τῶν τοξοτῶν ἔστιν οὓς, ᾔει χαλεπὴν ὁδὸν καὶ δύσπορον, φύλακας τῶν ὁδῶν καταλιπὼν, ἵνα σφαλερόν τι αὐτῷ ἐφαίνετο, ὡς μὴ τοῖς ἑπομένοις

κατ'

κατ' ἐκεῖνο, ἐπιθοῖντο οἱ τὰ ὄρη ἔχοντες τῶν βαρβάρων. αὐτὸς δὲ μετὰ τῶν τοξοτῶν διελθὼν τὰ στενὰ, ἐν τῷ πεδίῳ κατεστρατοπέδευσε πρὸς ποταμῷ οὐ μεγάλῳ. καὶ ἐνταῦθα ὄντος αὐτοῦ, ναβραζάνης τε ὁ δαρείου χιλιάρχης, καὶ φραδαφέρνης ὁ ὑρκανίας τε καὶ παρθυαίων σατράπης, καὶ τῶν ἀμφὶ δαρεῖον περσῶν οἱ ἐπιφανέστατοι, ἀφικόμενοι παρέδοσαν σφᾶς αὐτούς. ὑπομείνας δὲ ἐν τῷ στρατοπέδῳ τέσσαρας ἡμέρας, ἀνέλαβε τοὺς ὑπολειφθέντας κατὰ τὴν ὁδὸν, τοὺς μὲν ἄλλους ἀσφαλῶς διελθόντας, τοῖς δὲ ἀγριᾶσιν ὀπισθοφυλακοῦσιν ἐπέθεντο οἱ ὄρειοι τῶν βαρβάρων· καὶ μεῖον ἔχοντες τῷ ἀκροβολισμῷ, ἀπηλλάγησαν. ἄρας δὲ ἐντεῦθεν, προῄει ὡς ἐφ' ὑρκανίας εἰς ζαδράκαρτα πόλιν ὑρκανίων. καὶ ἐν τούτῳ οἱ περὶ κρατερὸν ξυνέμιξαν αὐτῷ, τοῖς μὲν ξένοις τοῖς δαρείου οὐκ ἐντετυχηκότες, τὴν χώραν δὲ ὅσην διαπεπορευμένοι ἦσαν, τὴν μὲν βίᾳ, τὴν δὲ ἐνδιδόντων τῶν κατεχόντων προσπεποιημένοι. ἐνταῦθα καὶ ἐριγύιος ἧκεν ξὺν τοῖς

σκευο-



σκευοφόροις, καὶ ταῖς ἁμάξαις. ὀλίγον δὲ ὕστερον ἀρτάβαζος ἀφίκετο παρ' ἀλέξανδρον, καὶ τῶν παίδων αὐτοῦ κωφὴν, καὶ ἀριβαρζάνης, καὶ ἀρσάμης, καὶ ξὺν τούτοις παρὰ τῶν ξένων τῶν ξὺν δαρείῳ πρέσβεις, καὶ αὐτοφραδάτης, ὁ ταπούρων σατράπης. αὐτοφραδάτῃ μὲν δὴ, τὴν σατραπείαν ἀπέδωκεν. ἀρτάβαζον δὲ καὶ τοὺς παῖδας, ἅμα οἱ ἐν τιμῇ ἦγε, τά τε ἄλλα ἐν τοῖς πρώτοις περσῶν ὄντας, καὶ τῆς ἐς δαρεῖον πίστεως ἕνεκα. τοῖς πρέσβεσι δὲ τῶν ἑλλήνων δεομένοις σπείσασθαί σφισιν ὑπὲρ τοῦ παντὸς ξενικοῦ, ἀπεκρίνατο, ὁμολογίαν μὲν οὐκ ἂν ποιήσασθαι πρὸς αὐτοὺς οὐδεμίαν· ἀδικεῖν γὰρ μεγάλα τοὺς στρατευομένους ἐναντία τῇ ἑλλάδι, παρὰ τοῖς βαρβάροις, παρὰ τὰ δόγματα τὰ ἑλλήνων. ἐκέλευσε δὲ ἥκειν ξύμπαντας, καὶ παραδιδόναι σφᾶς αὐτοὺς ἐπιτρέποντας ἀλεξάνδρῳ, χρῆσθαι ὅ, τι βούλοιτο, ἢ σώζεσθαι ὅπῃ δύναιντο. οἱ δὲ, ἐπιτρέπειν ἔφασαν σφᾶς τε αὐτοὺς, καὶ τοὺς ἄλλους ἀλεξάνδρῳ. ξυμπέμπειν τε ἐκέλευον τὸν ἡγησόμενον αὐτοῖς,

τοῖς, ὡς ἀσφαλῶς διακομισθεῖεν παρ' αὐτόν· εἶναι δὲ ἐλέγοντο ἐς χιλίους καὶ πεντακοσίους. καὶ ἀλέξανδρος πέμπει ἀνδρόνικον τὸν ἀγέῤῥου, καὶ ἀρτάβαζον παρ' αὐτούς. αὐτὸς δὲ προῆγεν ὡς ἐπὶ μάρδους, ἀναλαβὼν τούς τε ὑπασπιστὰς, καὶ τοὺς τοξότας, καὶ τοὺς ἀγριάνας, καὶ τὴν κοίνου καὶ ἀμύντου τάξιν, καὶ τῶν ἑταίρων ἱππέων τοὺς ἡμίσεας, καὶ τοὺς ἱππακοντιστάς. ἤδη γὰρ αὐτῷ καὶ ἱππακοντισταὶ ἦσαν τάξις. ἐπελθὼν δὲ τὸ πολὺ μέρος τῆς χώρας τῶν μάρδων, πολλοὺς μὲν ἀπέκτεινεν αὐτῶν φεύγοντας, οὓς δέ τινας ἐς ἀλκὴν τετραμμένους, πολλοὺς δὲ ζῶντας ἔλαβεν. οὐ γὰρ ἔστιν ὅς τις χρόνῳ ἐμβεβλήκει ἐς τὴν γῆν αὐτῶν ἐπὶ πολέμῳ, διά τε δυσχωρίαν, καὶ ὅτι πένητες οἱ μάρδοι, καὶ μάχιμοι ἐπὶ τῇ πενίᾳ ἦσαν. οὔκουν οὐδὲ ἀλέξανδρον ἐμβαλεῖν ἄν ποτε δείσαντες, ἄλλως τε καὶ προκεχωρηκότα ἤδη ἐς τὸ πρόσω ταύτῃ μᾶλλόν τι ἀφύλακτοι ἡλίσκοντο. πολλοὶ δὲ αὐτῶν καὶ εἰς τὰ ὄρη κατέφυγον, ἃ δὴ ὑπερύψηλά τε καὶ ἀπότομα αὐτοῖς ἐν τῇ χώ-

ρᾳ



ρᾳ ἐστὶν, ὡς πρός γε τάχει οὐχ ἥξοντα ἀλέξανδρον. ἐπεὶ δὲ καὶ ταύτῃ προσῆγεν, οἱ δὲ πέμψαντες πρέσβεις, σφᾶς τε αὐτοὺς ἐνέδοσαν, καὶ τὴν χώραν, καὶ ἀλέξανδρος αὐτοὺς μὲν ἀφῆκεν, σατράπην δὲ ἀπέδειξεν αὐτῶν αὐτοφραδάτην, ὅνπερ καὶ ταπούρων· αὐτὸς δὲ ἐπανελθὼν ἐς τὸ στρατόπεδον, ἔνθαπερ ὡρμήθη ἐς τῶν μάρδων τὴν γῆν, κατέλαβε τοὺς ἕλληνας τοὺς μισθοφόρους ἥκοντας, καὶ τοὺς λακεδαιμονίων πρέσβεις, οἳ παρὰ βασιλέα δαρεῖον ἐπρέσβευον. καλλιστατίδαν τε καὶ παύσιππον, καὶ μόνιμον, καὶ ὀνόμαντα, καὶ ἀθηναίων δρωπίδην, τούτους μὲν δὴ συλλαβὼν, ἐν φυλακῇ εἶχε. τοὺς σινωπέων δὲ, ἀφῆκεν· ὅτι σινωπεῖς οὔτε τοῦ κοινοῦ τῶν ἑλλήνων μετεῖχον ὑπὸ πέρσαις τεταγμένοι, οὐκ ἀπεικότως ποιεῖν ἐδόκουν, παρὰ τὸν βασιλέα σφῶν πρεσβεύοντες. ἀφῆκε δὲ καὶ τῶν ἄλλων ἑλλήνων, ὅσοι πρὸ τῆς εἰρήνης τε καὶ τῆς ξυμμαχίας τῆς πρὸς μακεδόνας γενομένης παρὰ πέρσαις ἐμισθοφόρουν, καὶ καρχηδονίων

ἤρα-

ἡρακλείδην τὸν πρεσβεύοντα ἀφῆκεν· τοὺς δὲ ἄλλους ξυστρατεύεσθαί οἱ ἐπὶ μισθῷ τῷ αὐτῷ ἐκέλευσε. καὶ ἐπέταξεν αὐτοῖς ἀνδρόνικον, ὅσπερ ἤγαγέ τε αὐτοὺς, καὶ ἔνδηλος ἐγεγόνει, οὐ φαῦλον ποιούμενος σῶσαι τοὺς ἄνδρας. ταῦτα δὲ διαπραξάμενος, ἦγεν ὡς ἐπὶ ζευδράκαρτα, τὴν μεγίστην πόλιν τῆς ὑρκανίας, ἵνα καὶ τὰ βασίλεια τοῖς ὑρκανίοις ἦν. καὶ ἐνταῦθα διατρίψας ἡμέρας πεντεκαίδεκα, καὶ θύσας τοῖς θεοῖς, ὡς νόμος, καὶ ἀγῶνα γυμνικὸν ποιήσας, ὡς ἐπὶ παρθυαίους ἦγεν. ἐκεῖθεν δὲ ἐπὶ τὰ τῆς ἀρείας ὅρια, καὶ σουσίαν πόλιν τῆς ἀρείας, ἵνα καὶ σατιβαρζάνης ἧκεν παρ᾽ αὐτὸν, ὁ τῶν ἀρείων σατράπης. τούτῳ μὲν δὴ τὴν σατραπείαν ἀποδοὺς, ξυμπέμπει αὐτῷ ἀνάξιππον τῶν ἑταίρων, δοὺς αὐτῷ τῶν ἱππακοντιστῶν ἐς τεσσαράκοντα, ὡς ἔχοι φύλακας, καθιστάναι τὸν τόπον, τοῦ μὴ ἀδικεῖσθαι τοὺς ἀρείους πρὸς τῆς στρατιᾶς κατὰ τὴν πάροδον. ἐν τούτῳ δὲ ἀφικνοῦνται παρ᾽ αὐτὸν περσῶν τινες, οἳ ἤγγελον, βῆσσον τήν τε τιάραν ὀρθὴν ἔχειν, καὶ τὴν περσι-





περσικὴν στολὴν φοροῦντα, καὶ ἀρταξέρξην καλεῖσθαι ἀντὶ βήσσου, καὶ βασιλέα φάσκειν εἶναι τῆς ἀσίας· ἔχειν τε ἀμφ᾽ αὐτὸν περσῶν τε τοὺς ἐς βάκτρα διαφυγόντας, καὶ αὐτῶν βακτριανῶν πολλούς. προσδοκᾶσθαι δὲ ἥξειν αὐτῷ καὶ σκύθας ξυμμάχους. ἀλέξανδρος δὲ ὁμοῦ ἤδη ἔχων τὴν πᾶσαν δύναμιν, ᾔει ἐπὶ βάκτρων· ἵνα καὶ φίλιππος ὁ μενελάου παρ᾽ αὐτὸν ἀφίκετο ἐκ μηδίας, ἔχων τούς τε μισθοφόρους ἱππέας, ὧν ἡγεῖτο αὐτὸς, καὶ θεσσαλῶν τοὺς ἐθελοντὰς ὑπομέναντας, καὶ τοὺς ξένους τοὺς ἀνδρομάχου. νικάνωρ δὲ ὁ παρμενίωνος, ὁ τῶν ὑπασπιστῶν ἄρχων, τετελευτήκει ἤδη νόσῳ. ἰόντι δὲ ἀλεξάνδρῳ τὴν ἐπὶ βάκτρα, ἐξηγγέλθη σατιβαρζάνης ὁ ἀρείων σατράπης, ἀνάξιππον μὲν, καὶ τοὺς ἱππακοντιστὰς τοὺς ξὺν αὐτῷ ἀπεκτονὼς, ὁπλίζων δὲ τοὺς ἀρείους, καὶ ξυνάγων ἐς ἀρτακόανα πόλιν, ἵνα τὸ βασίλειον ἦν τῶν ἀρείων. ἐκεῖθεν δὲ ὅτι ἔγνωκεν, ἐπειδὰν προκεχωρηκότα ἀλέξανδρον πύθηται, ἰέναι ξὺν τῇ δυνάμει παρὰ βῆσσον, ὡς ξὺν

ἐκείνῳ ἐπιθησόμενος, ὅπῃ ἂν τύχῃ τοῖς μακεδόσιν. ταῦτα ὡς ἐξηγγέλθη αὐτῷ, τὴν μὲν ἐπὶ Βάκτρα ὁδὸν οὐκ ἦγεν. ἀναλαβὼν δὲ τούς τε ἑταίρους ἱππέας, καὶ τοὺς ἱππακοντιστὰς, καὶ τοὺς τοξότας, καὶ τοὺς ἀγριάνας, καὶ τὴν ἀμύντου τε καὶ κοίνου τάξιν, τὴν δὲ ἄλλην δύναμιν αὐτοῦ καταλιπὼν, καὶ ἐπ' αὐτῇ κρατερὸν ἡγεμόνα σπουδῇ ἦγεν, ὡς ἐπὶ Σατιβαρζάνην τε, καὶ τοὺς ἀρείους. καὶ διελθὼν ἐν δυσὶν ἡμέραις σταδίους ἑξακοσίους, πρὸς ἀρτοβόανα ἧκε. σατιβαρζάνης μὲν οὖν, ὡς ἔγνω ἐγγὺς ὄντα ἀλέξανδρον, τῇ ὀξύτητι τῆς ἐφόδου ἐκπλαγεὶς, ξὺν ὀλίγοις ἱππεῦσι τῶν ἀρείων ἔφυγε. πρὸς γὰρ τῶν πολλῶν στρατιωτῶν κατελείφθη ἐν τῇ φυγῇ, ὡς κἀκεῖνοι ἔμαθον προσάγοντα ἀλέξανδρον. ἀλέξανδρος δὲ, ὅσους ξυναιτίους τῆς ἀποστάσεως κατέμαθεν, καὶ ἐν τῷ τότε ἀπολιπόντας τὰς κώμας, τούτους δὲ ἄλλῃ καὶ ἄλλῃ ὀξείας τὰς διώξεις ποιησάμενος, τοὺς μὲν ἀπέκτεινε, τοὺς δὲ ἠνδραπόδισε. σατράπην δὲ ἀρείων ἀπέδειξεν ἀρσάκην, ἄνδρα πέρσην, αὐτὸς δὲ σὺν τοῖς

ἀμφὶ



ἀμφὶ κρατερὸν ὑπολελειμμένοις ὁμοῦ οὖσιν, ἤδη ὡς ἐπὶ τὴν ζαραγγαίων χώραν ἦγε, καὶ ἀφικνεῖται ἵνα τὰ βασίλεια τῶν ζαραγγαίων ἦν. Βαρσαέντης δὲ, ὃς τότε κατεῖχε τὴν χώραν, εἷς ὢν τῶν ξυνεπιθεμένων δαρείῳ ἐν τῇ φυγῇ, προσιόντα ἀλέξανδρον μαθὼν, ἐς ἰνδοὺς τοὺς ἐπὶ τάδε τοῦ ἰνδοῦ ποταμοῦ ἔφυγε. ξυλλαβόντες δὲ αὐτὸν οἱ ἰνδοὶ, παρ' ἀλέξανδρον ἀπέστειλαν. καὶ ἀποθνήσκει πρὸς ἀλεξάνδρου, τῆς ἐς δαρεῖον ἀδικίας ἕνεκα. ἐνταῦθα δὲ καὶ τὴν φιλώτα ἐπιβουλὴν τοῦ παρμενίωνος ἔμαθεν ἀλέξανδρος. καὶ λέγει πτολεμαῖος καὶ ἀριστόβουλος, ὅτι προσηγγελμένη ἤδη οἱ καὶ πρότερον ἐν αἰγύπτῳ, οὐ μέν τοι πιστή γε ἐφάνη τῆς τε φιλίας τῆς πάλαι εἵνεκα, καὶ τῆς ἐξ αὐτοῦ ἐς παρμενίωνά τε τὸν πατέρα τὸν φιλώτα τιμῆς, καὶ ἐς αὐτὸν φιλώταν πίστεως. πτολεμαῖος δὲ ὁ λάγου λέγει, ἐσαχθῆναι ἐς μακεδόνας φιλώταν, καὶ κατηγορῆσαι μὲν αὐτοῦ ἰσχυρῶς ἀλέξανδρον· ἀπολογήσασθαι δὲ αὐτὸν φιλώταν, καὶ τοὺς ἐπιμηνυτὰς τοῦ ἔργου, παρελθόντας ἐξελέγξαι



φιλώ-

φιλώταν τε καὶ τοὺς ἀμφ᾽ αὐτὸν. ἄλλοις τε
ἐλέγχοις οὐκ ἀφανέσι, καὶ μάλιστα δὴ ὅτι
αὐτὸς φιλώτας πεπύσθαι μὲν ἐπιβουλήν
τινα ἀλεξάνδρῳ παρασκευαζομένην συ-
νέφη, ἐξηλέγχετο δὲ κατασιωπήσας ταύ-
την πρὸς ἀλέξανδρον, καίτοι δὶς ἐπὶ τὴν
σκηνὴν ὁσημέραι τὴν ἀλεξάνδρου φοιτῶν.
καὶ φιλώταν μὲν κατακοντισθῆναι πρὸς
τῶν μακεδόνων, καὶ ὅσοι ἄλλοι μετέσχον αὐ
τῷ τῆς ἐπιβουλῆς. ἐπὶ παρμενίωνα δὲ στα-
λῆναι πολυδάμαντα, ἕνα τῶν ἑταίρων,
γράμματα φέροντα παρ᾽ ἀλεξάνδρου,
πρὸς τοὺς στρατηγοὺς τοὺς ἐν μηδίᾳ· κλέαν-
δρόν τε, καὶ σιτάλκην, καὶ μενίδαν. οὗτοι
γὰρ ἐπὶ τῆς στρατιᾶς, ἧς ἦρχε παρμενίων, τε
ταγμένοι ἦσαν. καὶ πρὸς τούτων ἀποθα-
νεῖν παρμενίωνα· τυχὸν μὲν, ὅτι οὐ πιστὸν
ἐδόκει εἶναι ἀλέξανδρος φιλώτα ἐπιβου
λεύοντος, μὴ ξυμμετασχεῖν παρμενίωνα
τῷ παιδὶ τοῦ βουλεύματος. τυχὸν δὲ,
ὅτι εἰ καὶ μὴ ξυμμετέσχε, σφαλερὸς ἤδη ἦν
περιὼν παρμενίων, τοῦ παιδὸς αὐτοῦ ἀνῃ-
ρημένου. ἐν τοσαύτῃ ὢν ἀξιώσει, παρά τε





αὐτῷ ἀλεξάνδρῳ, καὶ ἐς τὸ ἄλλο στράτευ
μα, μὴ ὅτι τὸ μακεδονικὸν, ἀλλὰ καὶ τῶν ἄλ
λων ξένων· ὧν πολλάκις καὶ ἐν μέρει, καὶ
παρὰ τὸ μέρος, κατὰ πρόσταξιν τὴν ἀλεξάν-
δρου, ξὺν χάριτι ἐξηγεῖτο. λέγουσι δὲ καὶ
ἀμύνταν τὸν ἀνδρομένους, κατὰ τὸν αὐτὸν
χρόνον ὑπαχθῆναι ἐς κρίσιν, καὶ πολέμω-
να, καὶ ἄτταλον, καὶ σιμμίαν, τοὺς ἀμύντου
ἀδελφοὺς, ὡς ξυμμετασχόντας καὶ αὐτοὺς
τῆς ἐπιβουλῆς τῆς κατὰ ἀλεξάνδρου, κατὰ
πίστιν τε καὶ ἑταιρίαν τὴν φιλώτα. καὶ
ἐδόκει πιστότερον ἡ ἐπιβουλὴ ἐς τὸ πλῆ-
θος, ὅτι πολέμων εἷς τῶν ἀδελφῶν τῶν ἀ-
μύντου ξυλληφθέντος φιλώτα, ἔφυγεν
ἐς τοὺς πολεμίους· ἀλλ᾽ ἀμύντας γε ξὺν τοῖς
ἀδελφοῖς ὑπομένας τὴν δίκην, καὶ ἀπο-
λογισάμενος ἐν μακεδόσι καρτερῶς, ἀφίε
ται τῆς αἰτίας. καὶ εὐθὺς, ὡς ἀπέφυγεν ἐν
τῇ ἐκκλησίᾳ, ἠξίωσεν ἀφεθῆναί οἱ ἐλθεῖν
παρὰ τὸν ἀδελφὸν, καὶ ἐπαναγαγεῖν αὐ-
τὸν παρὰ τὸν ἀλέξανδρον. καὶ οἱ μακεδό-
νες συγχωροῦσιν, ὁ δὲ ἀπελθὼν αὐτῇ τῇ
ἡμέρᾳ, τὸν πολέμωνα ἐπανήγαγε. καὶ ταύ-

τῇ πολὺ ἔτι μᾶλλον ἢ πρόσθεν ἔξω αἰτίας
ἐφάνη ἀμύντας. ἀλλὰ ὀλίγον γε ὕστερον κώ-
μην τινὰ πολιορκῶν, τοξευθεὶς, ἐκ τῆς πλη-
γῆς ἐτελεύτησε. ὥς τε οὐδὲ πλέον αὐτῷ
γίνεται τὴν κρίσιν ἀποφυγόντι, ὅτι μὴ ἀ-
γαθῷ νομιζομένῳ ἀποθανεῖν. ἀλέξανδρος
δὲ καταστήσας ἐπὶ τοὺς ἑταίρους ἱππάρχας
δύο, ἡφαιστίωνά τε τὸν ἀμύντορος, καὶ
κλεῖτον τὸν δρωπίδου, καὶ δίχα διελὼν
τὴν τάξιν τῶν ἑταίρων, ὅτι οὐδὲ φιλώταν
ἂν ἠβούλετο, ἕνα τοσούτων ἱππέων, ἄλλως
τε καὶ τῶν κρατίστων τοῦ παντὸς ἱππικοῦ,
κατά τε ἀξίωσιν καὶ τὴν ἄλλην ἀρετὴν
ἐξηγεῖσθαι, ἀφικνεῖται ἐς τοὺς πάλαι μὲν
ἀριμάσπας καλουμένους, ὕστερον δὲ εὐεργέ-
τας ἐπονομασθέντας, ὅτι κύρῳ τῷ καμβύ-
σῃ ξυνεπελάβοντο τῆς ἐς σκύθας ἐλά-
σεως. καὶ τούτους ἀλέξανδρος, ὧν τε ἐς
κῦρον ὑπῆρξαν οἱ πρόγονοι αὐτῶν, τιμή-
σας· καὶ αὐτὸς καταμαθὼν ἄνδρας, οὐ
κατὰ τοὺς ἄλλους τοὺς ταύτῃ βαρβάρους
πολιτεύοντας, ἀλλὰ τοῦ δικαίου ἴσα καὶ
τοῖς κρατίστοις τῶν ἑλλήνων μεταποιουμέ-
νους,



νους, ἐλευθέρους τε ἀφῆκε, καὶ χώρας τῆς
ὁμόρου ὅσην αὐτοὶ σφίσιν ᾔτησαν (οὐ πολ-
λὴν δὲ οὐδὲ αὐτοὶ ᾔτησαν) προσέθηκε. ἐν-
ταῦθα θύσας τῷ ἀπόλλωνι, δημήτριον μὲν
ἕνα τῶν σωματοφυλάκων ὑποπτεύσας με-
τασχεῖν φιλώτα τῆς ἐπιβουλῆς, ξυνέλαβε.
σωματοφύλακα δὲ ἀντὶ δημητρίου ἀπέδει-
ξε πτολεμαίου τὸν λάγου. ταῦτα δὲ διαπρα-
ξάμενος, προῄει ὡς ἐπὶ βάκτρα τε καὶ βῆσ-
σον, δράγγας τε καὶ δραγωγοὺς ἐν τῇ παρό-
δῳ προσαγαγόμενος. παρεστήσατο δὲ καὶ τοὺς
ἀραχώτας, καὶ σατράπην κατέστησεν ἐπ' αὐ-
τοῖς μένωνα. ἐπῆλθε δὲ καὶ τῶν ἰνδῶν τοὺς προσ-
χώρους, ἀραχώτας. ξύμπαντα δὲ ταῦτα ἔθνη
διὰ χιόνος τε πολλῆς, καὶ ξὺν ἀπορίας τῶν
ἐπιτηδείων, καὶ τῶν στρατιωτῶν ταλαιπωρίας
ἐπῆλθε. μαθὼν δὲ τοὺς ἀρείους αὖθις ἀφεστά-
ναι σατιβαρζάνου ἐς τὴν χώραν αὐτῶν ἐμ-
βάλλοντος σὺν ἱππεῦσι δισχιλίοις, οὓς πα-
ρὰ βήσσου ἔλαβε, ἀποστέλλει παρ' αὐτοὺς ἀρ-
τάβαζόν τε τὸν πέρσην, καὶ ἐριγύϊον, καὶ
κάρανον, τῶν ἑταίρων. προσέταξε δὲ καὶ φρα-
ταφέρνην τὸν τῶν παρθυαίων σατράπην,

 ξυνεμ-

ξυνεμβαλεῖν αὐτοῖς ἐς τοὺς ἀρείους. καὶ γί-
γνεται μάχη τῶν ἀμφὶ ἐριγύϊον καὶ κάρα-
νον, πρὸς σατιβαρζάνην καρτερά. οὐδὲ
πρόσθεν οἱ βάρβαροι ἐνέκλιναν, πρὶν σα-
τιβαρζάνην ξυμπεσόντα ἐριγυίῳ, ὡς ἐρι-
γυΐου πληγέντος δόρατι ἐς τὸ πρόσωπόν
που, ἀποθανεῖν. τότε δὲ ἐγκλίναντες οἱ
βάρβαροι, προτροπάδην ἔφευγον.   ἐν
τούτῳ δὲ ἀλέξανδρος πρὸς τὸν καύκασον
τὸ ὄρος ἦγεν, ἵνα καὶ πόλιν ἔκτισε, καὶ ὠνό-
μασεν ἀλεξάνδρειαν. καὶ θύσας ἐνταῦθα
τοῖς θεοῖς, ὅσοις νόμος αὐτῷ, ὑπερέβαλε τὸ
ὄρος τὸν καύκασον. σατράπην μὲν τῇ χώ-
ρᾳ ἐπιτάξας προέξην, ἄνδρα πέρσην. τῶν
δὲ ἑταίρων, νειλόξενον τὸν σατύρου, ἐπί-
σκοπον ξὺν στρατιᾷ ἀπολιπών. τὸ δὲ ὄρος
ὁ καύκασος, ὑψηλὸν μέν ἐστιν, ὥσπερ τι
ἄλλο τῆς ἀσίας. ὡς λέγει ἀριστόβουλος, ψι-
λὸν τὸ πολὺ αὐτοῦ τόγε ταύτῃ. μακρὸν γὰρ
ὄρος προπαρατέταται ὁ καύκασος. ὥς
τε καὶ τὸν ταῦρον τὸ ὄρος, ὃς δὴ τὴν κιλι-
κίαν τε καὶ παμφυλίαν ἀπείργει, ἀπὸ τοῦ
καυκάσου εἶναι λέγουσι, καὶ ἄλλα ὄρη με-
γάλα



γάλα διακεκριμένα ἀπὸ τοῦ καυκάσου, ἄλ-
λῃ καὶ ἄλλῃ ἐπωνυμίᾳ κατὰ ἔθνη τῶν ἑκά-
στων, ἀλλὰ ἔν γε τούτῳ τῷ καυκάσῳ οὐδὲν
ἄλλο, ὅτι μὴ τέρμινθοι πεφύκασι, καὶ σίλ-
φιον, ὡς λέγει ἀριστόβουλος. ἀλλὰ καὶ ὣς
ἐπῳκεῖτο πολλοῖς ἀνθρώποις, καὶ πρόβα-
τα πολλὰ καὶ κτήνη ἐνέμοντο, ὅτι καὶ χαί-
ρουσι τῷ σιλφίῳ τὰ πρόβατα. καὶ εἰ ἐκ
πολλοῦ πρόβατον σιλφίου αἴσθοιτο, καὶ
θεῖ ἐπ' αὐτὸ, καὶ τότε ἄνθος ἐπινέμεται,
καὶ τὴν ῥίζαν ὀρύττων, καὶ ταύτην κατε-
σθίει. ἐπὶ τῷδε ἐν κυρήνῃ ὡς μακροτάτω ἀ-
πελαύνουσι τὰς ποίμνας τῶν χωρίων, ἵνα
καὶ αὐτοῖς τὸ σίλφιον φύεται. οἱ δὲ, καὶ πε-
ριφράσσουσι τὸν χῶρον, τοῦ μηδὲ ὑπελάσαι
ἐν αὐτῷ τὰ πρόβατα, δυνατὰ γενέσθαι εἴ-
σω παρελθεῖν, ὅτι πολλοῦ ἄξιον κυρηναί-
οις τὸ σίλφιον. βῆσσος δὲ ἔχων ἀμφ' αὐτὸν
περσῶν τε τοὺς μετασχόντας αὐτῷ τῆς
δαρείου συλλήψεως, καὶ αὐτῶν βακτρίων
ἐς ἑπτακισχιλίους, καὶ δάας τοὺς ἐπὶ τάδε
τοῦ τανάϊδος ποταμοῦ ἐποικοῦντας,
ἔφθειρε τὴν ὑπὸ τῷ ὄρει τῷ καυκάσῳ, ὡς
ἐρημίᾳ

ἐρημίᾳ τε τῆς χώρας τῆς ἐν μέσῳ αὐτοῦ τε καὶ ἀλεξάνδρου. καὶ ἀπορίᾳ τῶν ἐπιτηδείων, ἀπείρξων ἀλέξανδρον τοῦ μὴ ἐλαύνειν πρόσω. ἀλλ' ἀλέξανδρος ἤλαυνεν οὐδὲν μεῖον, χαλεπῶς μὲν διά τε χιόνος πολλῆς, καὶ ἐνδείᾳ τῶν ἀναγκαίων, ᾔει δὲ ὅμως. βῆσσος δὲ ἐπεὶ ἐξηγγέλλετο αὐτῷ, οὐ πόρρω ἤδη ὢν ἀλέξανδρος διαβὰς τὸν ὦξον ποταμὸν, τὰ μὲν πλοῖα ἐφ' ὧν διέβη κατέκαυσεν, αὐτὸς δὲ ἐς ναύτακα τῆς σογδιανῆς χώρας ἐπεχώρει. εἵποντο δὲ αὐτῷ, οἵ τε ἀμφὶ σπιταμένην καὶ ὀξυάρτην, ἔχοντες τοὺς ἐκ τῆς σογδιανῆς ἱππέας, καὶ δάας οἱ ἀπὸ τοῦ τανάϊδος. οἱ δὲ τῶν βακτρίων ἱππεῖς, ὡς φεύγειν ἐγνωκότα ἔμαθον βῆσσον, ἄλλος ἄλλῃ ἐπὶ τὰ σφῶν ἕκαστοι ἀπηλλάγησαν. ἀλέξανδρος δὲ ἐς δράψακα ἀφικόμενος, καὶ ἀναπαύσας τὴν στρατιὰν, ἐς ἄορνούς τε ἦγε καὶ βάκτρα, αἳ δὴ μέγισταί εἰσι πόλεις ἐν τῇ βακτρίων χώρᾳ. καὶ ταύτας τε ἐξ ἐφόδου ἔλαβε, καὶ φυλακὴν ἐν τῇ ἄκρᾳ τῆς ἀόρνου ἀπέλιπε, καὶ ἐπὶ ταύτης ἀρχέλαον τὸν ἀνδρόκλου

τῶν



τῶν ἑταίρων. τοῖς δὲ ἄλλοις βακτρίοις οὐ χαλεπῶς προσχωρήσασιν, ἐπέταξε σατράπην ἀρτάβαζον τὸν πέρσην. αὐτὸς δὲ ἦγεν ὡς ἐπὶ τὸν ὦξον ποταμόν. ὁ δὲ ὦξος ποταμὸς ῥεῖ μὲν ἐκ τοῦ ὄρους τοῦ καυκάσου. ἔστι δὲ ποταμῶν μέγιστος τῶν ἐν τῇ ἀσίᾳ, ὅσους γε δὴ ἀλέξανδρος καὶ οἱ ξὺν ἀλεξάνδρῳ ἐπῆλθον, πλὴν τῶν ἰνδῶν ποταμῶν. οἱ δὲ ἰνδοὶ, πάντων ποταμῶν μέγιστοί εἰσιν. ἐξίησι δὲ ὁ ὦξος ἐς τὴν μεγάλην θάλασσαν, τὴν κατὰ ὑρκανίαν. διαβαίνειν δὲ ἐπιχειροῦντι αὐτῷ τὸν ποταμὸν, πάντῃ ἄπορον ἐφαίνετο. τὸ μὲν γὰρ εὖρος ἦν ἐς ἓξ μάλιστα σταδίους· βάθος, οὐ πρὸς λόγον τοῦ εὔρους, ἀλλὰ πολὺ δή τι βαθύτερος, καὶ ψαμμώδης. καὶ ῥεῦμα ὀξὺ, ὡς τὰ καταπηγνύμενα πρὸς αὐτοῦ τοῦ ῥοῦ ἐκστρέφεσθαι ἐκ τῆς γῆς, οὐ χαλεπῶς, οἷα δὴ οὐδὲ βεβαίως κατὰ ψάμμου ἱδρυμένα. ἄλλως τε καὶ ἀπορία ὕλης ἐν τοῖς τόποις ἦν· καὶ τριβὴ πολλὴ ἐφαίνετο, εἰ μακρόθεν μετίοιεν, ὅσα ἐς γεφύρωσιν τοῦ πόρου. ξυναγαγὼν οὖν τὰς διφθέρας, ὑφ' αἷς ἐσκήνουν οἱ στρατιῶται,

φορυτοῦ

φορυτοῦ ἐμπλῆσαι ἐκέλευσεν ὡς ξηροτάτου, καὶ καταδῆσαί τε καὶ ξυῤῥάψαι ἀκριβῶς, τοῦ μὴ ἐνδύεσθαι ἐς αὐτὰς τοῦ ὕδατος. ἐμπλησθεῖσαι δὲ καὶ ξυῤῥαφεῖσαι, ἱκαναὶ ἐγένοντο διαβιβάσαι τὴν στρατιὰν, ἐν πέντε ἡμέραις. πρὶν δὲ διαβαίνειν τὸν ποταμὸν, τῶν τε μακεδόνων ἐπιλέξας τοὺς πρεσβυτάτους, καὶ ἤδη ἀπολέμους, καὶ τῶν θεσσαλῶν τοὺς ἐθελοντὰς καταμείναντας, ἐπ᾽ οἴκου ἀπέστειλεν. ἐκπέμπει δὲ καὶ στασάνορα, ἕνα τῶν ἑταίρων ἐς ἀρείους, προστάξας ἀρσάκην μὲν τὸν σατράπην τῶν ἀρείων ξυλλαβεῖν, ὅτι ἐθελοκακεῖν αὐτῷ ἀρσάκης ἔδοξεν. αὐτὸν δὲ σατράπην εἶναι ἀντ᾽ ἐκείνου ἀρείων. περάσας δὲ τὸν ὄξον ποταμὸν, ἦγε κατὰ σπουδὴν, ἵνα βῆσον εἶναι ξὺν τῇ δυνάμει ἐπυνθάνετο. καὶ ἐν τούτῳ ἀφικνοῦνται παρὰ σπιταμένους καὶ δαταφέρνου, πρὸς αὐτὸν ἀγγέλλοντες, ὅτι σπιταμένης καὶ δαταφέρνης εἰ πεμφθείη αὐτοῖς ὀλίγη στρατιὰ, καὶ ἡγεμὼν τῇ στρατιᾷ, ξυλλήψονται βῆσον, καὶ παραδώσουσιν ἀλεξάνδρῳ, ἐπεὶ καὶ νῦν ἀδέσ-





μῳ φυλακῇ φυλάσσεσθαι πρὸς αὐτῶν βῆσσον. ταῦτα ἀκούσας ἀλέξανδρος, αὐτὸς μὲν ἀναπαύων ἦγε τὴν στρατιὰν, σχολαιότερον ἢ πρόσθεν. πτολεμαῖον δὲ τὸν λάγου ἀποστέλλει τῶν τε ἑταίρων ἱππαρχίας τρεῖς ἄγοντα, καὶ τοὺς ἱππακοντιστὰς ἅπαντας. πεζῶν δὲ, τήν τε φιλώτα τάξιν, καὶ τῶν ὑπασπιστῶν χιλιαρχίαν μίαν, καὶ τοὺς ἀγριᾶνας πάντας, καὶ τῶν τοξοτῶν τοὺς ἡμίσεας, σπουδῇ ἐλαύνειν κελεύσας, ὡς σπιταμένην τε καὶ δαταφέρνην. ὁ πτολεμαῖος ᾔει ὡς ἐτέτακτο. καὶ διελθὼν ἐν ἡμέραις τέσσαρσι σταθμοὺς δέκα, ἀφικνεῖται ἐς τὸ στρατόπεδον, οὗ τῇ προτεραίᾳ ηὐλισμένοι ἦσαν οἱ ἀμφὶ τὸν σπιταμένην βάρβαροι. ἐνταῦθα ἔμαθε πτολεμαῖος, ὅτι οὐ βέβαια τῷ σπιταμένῃ καὶ δαταφέρνῃ ἡ γνώμη ἐστὶν, ἀμφὶ τῇ παραδόσει τοῦ βήσσου. τοὺς μὲν δὴ πεζοὺς κατέλιπε, προστάξας ἕπεσθαι ἐν τάξει. αὐτὸς δὲ ξὺν τοῖς ἱππεῦσιν ἐλάσας, ἀφίκετο πρὸς κώμην τινὰ, ἵν᾽ ὁ βῆσσος ἦν, ξὺν ὀλίγοις στρατιώταις. οἱ γὰρ ἀμφὶ τὸν σπιταμένην, μετακεχωρήκεσαν

ἤδη ἐκεῖθεν, καταιδεσθέντες αὐτοὶ παρα-
δοῦναι τὸν βῆσσον. πτολεμαῖος δὲ περι-
στήσας ἐν κύκλῳ τῆς κώμης τοὺς ἱππέας
(ἦν γάρ τι καὶ τεῖχος περιβεβλημένον)
καὶ πύλας κατ᾽ αὐτὸ, ἐπεκηρυκεύετο τοῖς
ἐν τῇ κώμῃ βαρβάροις, ἀπαθεῖς σφᾶς ἐ-
παλλάσσεσθαι παραδόντας βῆσσον. οἱ δὲ
ἐδέχοντο τοὺς ξὺν πτολεμαίῳ ἐς τὴν κώ-
μην. καὶ πτολεμαῖος ξυλλαβὼν βῆσσον,
ὀπίσω ἐπανῄει. προπέμψας δὲ, ἤρετο ἀλέ-
ξανδρον, ὅπως χρὴ ἐς ὄψιν ἄγειν ἀλε-
ξάνδρου βῆσσον. καὶ ἀλέξανδρος γυμ-
νὸν ἐν κλειῷ δήσαντα, οὕτως ἐκέλευσεν,
καὶ καταστήσαντα ἐν δεξιᾷ τῆς ὁδοῦ, ᾗ
αὐτός τε καὶ ἡ στρατιὰ παρελεύσεσθαι ἔ-
μελλε. καὶ πτολεμαῖος, οὕτως ἐποίησεν.
ἀλέξανδρος δὲ ἰδὼν τὸν βῆσσον, ἐπιστή-
σας τὸ ἅρμα, ἤρετο, ἀνθ᾽ ὅτου τὸν βασιλέα
τὸν αὐτοῦ καὶ ἅμα καὶ οἰκεῖον καὶ εὐεργέ-
την γενόμενον δαρεῖον, τὰ μὲν πρῶτα ξυ-
νέλαβε, καὶ δήσας ἦγεν, ἔπειτα ἀπέκτει-
νεν. καὶ ὁ βῆσσος, οὐ μόνῳ οἱ ταῦτα δό-
ξαντα πρᾶξαι ἔφη, ἀλλὰ ξὺν τοῖς τότε ἀμ-
φὶ



φὶ δαρεῖον οὖσιν, ὡς σωτηρίαν σφίσιν εὑ-
ρέσθαι παρὰ ἀλεξάνδρου. ἀλέξανδρος δὲ,
ἐπὶ τοῖσδε μαστιγοῦν ἐκέλευσεν αὐτὸν, καὶ
ἐπιλέγειν τὸν κήρυκα ταῦτα ἐκεῖνα, ὅσα
αὐτὸς ὑπὲρ βήσσῳ ἐν τῇ πίστει ὠνείδισε. βῆσ-
σος μὲν δὴ οὕτως αἰκισθεὶς, ἀποπέμπε-
ται ἐς βάκτρα ἀποθανούμενος. καὶ ταῦ-
τα πτολεμαῖος ὑπὲρ βήσσου ἀνέγραψεν.
ἀριστόβουλος δὲ, τοὺς ἀμφὶ σπιταμένην τε
καὶ δαταφέρνην, πτολεμαίῳ ἀγαγεῖν βῆσ-
σον, καὶ παραδοῦναι ἀλεξάνδρῳ γυμνὸν ἐν
κλειῷ δήσαντας. ἀλέξανδρος δὲ ἀναπλη-
ρώσας τὸ ἱππικὸν ἐκ τῶν αὐτόθεν ἵππων,
πολλοὶ γὰρ αὐτῷ ἵπποι ἔν τε τῇ ὑπερβολῇ
τοῦ καυκάσου, καὶ ἐν τῇ ἐπὶ τὸν ὄξον τε καὶ ἀπὸ
τοῦ ὄξου πορείᾳ ἐξέλιπον, ὡς ἐπὶ μαράκαν-
δα ἦγε (τὰ δέ ἐστι βασίλεια τῆς σογδιανῆς
χώρας) ἐνθένδε ἐπὶ τὸν τάναϊν ποταμὸν
προῄει. τῷ δὲ ταναΐδι τούτῳ, ὃν δὴ καὶ ὀρ-
ξάντην ἄλλῳ ὀνόματι πρὸς τῶν ἐπιχωρίων
βαρβάρων καλεῖσθαι λέγει ἀριστόβουλος,
αἱ πηγαὶ μὲν ἐκ τοῦ καυκάσου ὄρους καὶ
αὐτῷ εἰσίν. ἐξίησι δὲ καὶ οὗτος ὁ ποταμὸς
ἐς

ἐς τὴν ὑρκανίαν θάλασσαν. ἄλλος δ' ἂν εἴη τάναϊς, ὑπὲρ ὅτου λέγει ὁ ἡρόδοτος ὁ λογοποιὸς, ὄγδοον εἶναι τὸν ποταμὸν τὸν σκυθικὸν τάναϊν, καὶ ῥέειν μὲν ἐκ λίμνης μεγάλης ἀνίσχοντα, ἐκδιδόναι δὲ ἐς λίμνην ἔτι μείζω τὴν καλουμένην μαιῶτιν. καὶ τὸν τάναϊν τοῦτον, εἰσὶν οἳ ὅρον ποιοῦσι τῆς ἀσίας καὶ τῆς εὐρώπης. οἷς δὴ ἀπὸ τοῦ μυχοῦ τοῦ πόντου τοῦ εὐξείνου λίμνη τε ἡ μαιῶτις, καὶ ὁ ἐς ταύτην ἐξιεὶς ποταμὸς ὁ τάναϊς οὗτος, διείργει τὴν ἀσίαν τε καὶ τὴν εὐρώπην, καθάπερ οἱ κατὰ γάδειρά τε καὶ τοὺς ἀντιπέρα γαδείρων λίβυας τοὺς νομάδας θάλασσα, τὴν λιβύην αὖ καὶ τὴν εὐρώπην διείργει. οἷς γε δὴ ἡ λιβύη ἀπὸ τῆς ἀσίας τῆς ἄλλης τῷ νείλῳ ποταμῷ διακέκριται. ἐνταῦθα ἀποσκεδασθέντες τινὲς τῶν μακεδόνων ἐς προνομὴν, κατακόπτονται ὑπὸ τῶν βαρβάρων. οἱ δὲ δράσαντες τὸ ἔργον, ἀπέφυγον εἰς ὄρος τραχύτατον, καὶ πάντη ἀπότομον. ἦσαν δὲ τὸ πλῆθος, ἐς τρισμυρίους. καὶ ἐπὶ τούτους ἀλέξανδρος τοὺς κουφοτάτους τῆς στρατιᾶς ἀναλαβὼν,

λαβὼν,



λαβὼν, ἦγε. ἔνθα δὴ προσβολαὶ πολλαὶ ἐγίγνοντο τοῖς μακεδόσιν ἐς τὸ ὄρος. καὶ τὰ μὲν πρῶτα ἀπεκρούοντο, βαλλόμενοι ἐκ τῶν βαρβάρων, καὶ ἄλλοι τε πολλοὶ τραυματίαι ἐγένοντο, καὶ αὐτὸς ἀλέξανδρος ἐς τὴν κνήμην τοξεύεται διαμπὰξ, καὶ τῆς περόνης τι ἀποθραύεται αὐτῷ ἐκ τοῦ τοξεύματος. ἀλλὰ καὶ ὣς ἔλαβέ τε τὸ χωρίον, καὶ τῶν βαρβάρων οἱ μὲν αὐτοῦ κατεκόπησαν ὑπὸ τῶν μακεδόνων· πολλοὶ δὲ καὶ κατὰ τῶν πετρῶν ῥίψαντες σφᾶς ἀπέθανον, ὥστε ἐκ τρισμυρίων οὐ πλείους ἀποσωθῆναι ὀκτακισχιλίων.

# ΑΡΡΙΑΝΟΥ ΑΛΕΞΑΝΔΡΟΥ ΑΝΑΒΑΣΕΩΣ

## ΙΣΤΟΡΙΩΝ ΤΕΤΑΡΤΗ.

ΟΥ ΠΟΛΛΑΙΣ δὲ ἡμέραις ὕστερον, ἀφικνοῦνται παρ᾽ ἀλέξανδρον πρέσβεις, παρά τε σκυθῶν τῶν ἀβίων καλουμένων, οὓς ὅμηρος δικαιοτάτους ἀνθρώπους εἰπὼν ἐν τῇ ποιήσει, ἐπῄνεσεν. οἰκοῦσι δὲ ἐν τῇ ἀσίᾳ οὗτοι αὐτόνομοι, οὐχ ἥκιστα διὰ πενίαν τε καὶ δικαιότητα. καὶ παρὰ τῶν ἐκ τῆς εὐρώπης σκυθῶν, οἳ δὴ τὸ μέγιστον ἔθνος σκυθικὸν ἐν τῇ εὐρώπῃ ἐποικοῦσιν, καὶ τούτοις ξυμπέμπει ἀλέξανδρος τῶν ἑταίρων, πρόφασιν μὲν κατὰ πρεσβείαν, φιλίαν ξυνθησομένους. ὁ δὲ νοῦς τῆς πομπῆς, ἐς κατασκοπήν τι μᾶλλον ἔφερε, φύσεώς τε τῆς χώρας τῆς σκυθικῆς, καὶ πλήθους αὐτῶν, καὶ νομαίων, καὶ ὁπλίσεων, ἥντινα ἔχοντες στέλλονται ἐς τὰς μάχας. αὐτὸς δὲ πρὸς τῷ ταναΐδι ποταμῷ ἐπενόει πόλιν



πόλιν οἰκίσαι, καὶ ταύτην ἑαυτοῦ ἐπώνυμον. ὅ, τε γὰρ χῶρος, ἐπιτήδειος αὐτῷ ἐφαίνετο, αὐξῆσαι τὴν πόλιν ἐπὶ μέγα, καὶ ἐν καλῷ οἰκισθήσεσθαι τῆς ἐπὶ σκύθας, εἴποτε ξυμβαίνοι ἐλάσεως καὶ τῆς προφυλακῆς τῆς χώρας, πρὸς τὰς καταδρομὰς τῶν πέραν τοῦ ποταμοῦ ἐποικούντων βαρβάρων. ἐδόκει δ᾽ ἂν καὶ μεγάλη ἡ γενέσθαι πόλις, πλήθει τε τῶν ἐς αὐτὴν ξυνοικιζομένων, καὶ τοῦ ὀνόματος τῇ λαμπρότητι. καὶ ἐν τούτῳ οἱ πρόσχωροι τῷ ποταμῷ βάρβαροι, τούς τε τὰ φρούρια ἐν ταῖς πόλεσι σφῶν ἔχοντας στρατιώτας τῶν μακεδόνων ξυλλαβόντες, ἀπέκτειναν, καὶ τὰς πόλεις ἐς ἀσφάλειάν τινα μᾶλλον ὠχύρουν. ξυνεπελάβοντο δὲ αὐτοῖς τῆς ἀποστάσεως καὶ τῶν σογδιανῶν οἱ πολλοί, ἐπαρθέντες πρὸς τῶν ξυλλαβόντων βῆσσον, ὥς τε καὶ τῶν βακτριανῶν, ἔστιν οὓς σφίσιν οὗτοι ξυναπέστησαν· εἴτε δὴ καὶ δείσαντες ἀλέξανδρον, εἴτε καὶ λόγον ἐπὶ τῇ ἀποστάσει διδόντες. ὅτι ἐς ἕνα ξύλλογον ἐπηγγέλθη ἀλέξανδρος συνελθεῖν τοὺς ὑπάρχους τῆς χώρας ἐκείνης, ἐς ζαριάσπα τὴν μεγίστην πόλιν,

ὡς ἐπ' ἀγαθῷ οὐδενὶ τοῦ ξυλλόγου γιγνομένου. ταῦτα ὡς ἀπηγγέλθη ἀλεξάνδρῳ, παραγγείλας τοῖς πεζοῖς κατὰ λόχους κλίμακας ποιεῖσθαι, ὅσαι ἑκάστῳ λόχῳ ἐπηγγέλθησαν, αὐτὸς μὲν ἐπὶ τὴν πρώτην ἀπὸ τοῦ στρατοπέδου ὁρμηθεὶς πόλιν προὐχώρει, ᾗ ὄνομα ἦν γάζα. ἐν γὰρ ἑπτὰ πόλεις συμπεφευγέναι ἐλέγοντο, οἱ ἐκ τῆς χώρας βάρβαροι. κρατερὸν δὲ ἐκπέμπει πρὸς τὴν καλουμένην κυρούπολιν, ὥσπερ μεγίστη πασῶν, καὶ ἐν αὐτῇ οἱ πλεῖστοι ξυνειλεγμένοι ἦσαν τῶν βαρβάρων. παρήγγελτο δὲ αὐτῷ, στρατοπεδεῦσαι πλησίον τῆς πόλεως, καὶ τάφρον τε ἐν κύκλῳ αὐτῆς ὀρύξαι, καὶ χάρακα περιβαλέσθαι, καὶ τὰς μηχανὰς ὅσαις χρῆσθαι ξυμπηγνύναι. ὡς πρὸς τοὺς ἀμφὶ κρατερὸν τὴν γνώμην τετραμμένοι οἱ ἐκ τῆς πόλεως ταύτης, ἀδύνατοι ὦσι ταῖς ἄλλαις πόλεσι ἐπωφελεῖν. αὐτὸς δὲ ἐπὶ τὴν γάζαν ἐπεὶ ἀφίκετο, ὡς εἶχεν ἐξ ἐφόδου, σημαίνει προσβάλλειν τῷ τείχει, γηΐνῳ τε καὶ οὐχ ὑψηλῷ ὄντι, προσθέντας ἐν κύκλῳ πάντοθεν τὰς κλίμακας. οἱ δὲ σφενδονῆ-

ται

ται αὐτῷ, καὶ οἱ τοξόται καὶ οἱ ἀκοντισταὶ, ὁμοῦ τῇ ἐφόδῳ τῶν πεζῶν ἐσηκόντιζον ἐς τοὺς προμαχομένους ἀπὸ τοῦ τείχους, καὶ βέλη ἀπὸ μηχανῶν ἠφίετο. ὥστε ὀξέως μὲν ὑπὸ τοῦ πλήθους τῶν βελῶν ἐγυμνώθη τὸ τεῖχος τῶν προμαχομένων, ταχεῖα δὲ ἡ πρόσθεσις τῶν κλιμάκων, καὶ ἡ ἀνάβασις τῶν μακεδόνων ἡ ἐπὶ τὸ τεῖχος ἐγίγνετο· τοὺς μὲν δὴ ἄνδρας πάντας ἀπέκτειναν, οὕτως ἐξ ἀλεξάνδρου προστεταγμένον· γυναῖκας δὲ, καὶ παῖδας, καὶ τὴν ἄλλην λείαν, διήρπασαν. ἔνθεν δὲ εὐθὺς ἦγεν ἐπὶ τὴν δευτέραν ἀπ' ἐκείνης πόλιν, ᾠκισμένην. καὶ ταύτην τῷ αὐτῷ τε τρόπῳ, καὶ τῇ αὐτῇ ἡμέρᾳ λαμβάνει, καὶ τοὺς ἁλόντας τὰ αὐτὰ ἔπραξεν. ὁ δὲ ἦγεν ἐπὶ τὴν τρίτην πόλιν, ἐν ᾧ δὲ αὐτὸς ξὺν τοῖς πεζοῖς ἀμφὶ ταῦτα εἶχε, τοὺς ἱππέας ἐκπέμπει ἐς τὰς δύο τὰς πλησίον πόλεις, προστάξας παραφυλάττειν τοὺς ἀνθρώπους τοὺς ἔνδον· μή ποτε τὴν ἅλωσιν αἰσθόμενοι τῶν πλησίον πόλεων, καὶ ἅμα τὴν αὐτοῦ οὐ διὰ μακρὰν ἔφοδον, οἱ δὲ ἐς φυγὴν τραπέντες, ἄποροι



αὐτῷ

αὐτῷ διώκειν γένονται. καὶ ξυνέβη δὲ οὕτως, ὅπως εἴκασεν. καὶ ἐνδέοντι ἐγένετο αὐτοῦ ἡ πομπὴ τῶν ἱππέων. οἱ γὰρ τὰς δύο τὰς οὕπω ἑαλωκυίας πόλεις ἔχοντες τῶν Βαρβάρων, ὡς καπνόν τε εἶδον ἀπὸ τῆς πρὸς σφῶν πόλεως ἐμπιπραμένης, καί τινες ἀπὸ τοῦ πάθους αὐτοῦ διαφυγόντες, αὐτάγγελτοι τῆς ἁλώσεως ἐγένοντο· ὡς τάχους ἕκαστοι εἶχον, ἀθρόοι ἐκ τῶν πόλεων φεύγοντες, ἐμπίπτουσιν εἰς τὸ στῖφος τῶν ἱππέων ξυντεταγμένον. καὶ κατεκόπησαν οἱ πλεῖστοι αὐτῶν. οὕτω δὴ τὰς πέντε πόλεις ἐν δυσὶν ἡμέραις ἑλών τε καὶ ἐξανδραποδισάμενος, ᾔει ἐπὶ τὴν μεγίστην αὐτῶν τὴν κύρου πόλιν. ἡ δὲ τετειχισμένη τε ἦν ὑψηλοτέρῳ τείχει, ἤπερ αἱ ἄλλαι, οἷα δὴ ὑπὸ κύρου οἰκισθεῖσα, καὶ τοῦ πλείστου καὶ μαχιμωτάτου τῶν ταύτῃ Βαρβάρων ἐς ταύτην συμπεφευγότος, οὐχ ὡσαύτως ῥᾳδία ἐξ ἐφόδου ἑλεῖν τοῖς μακεδόσιν ἐγίγνετο. ἀλλὰ μηχανὰς γὰρ προσάγων τῷ τείχει ἀλέξανδρος, ταύτῃ μὲν κατασείειν ἐπενόει τὸ τεῖχος, καὶ κατὰ τὸ ἀεὶ παραῤ-

ῥηγνύμενον



ῥηγνύμενον αὐτοῦ τὰς προσβολὰς ποιεῖσθαι. αὐτὸς δὲ ὡς κατεῖδε τοὺς ἔκρους τοῦ ποταμοῦ, ὃς διὰ τῆς πόλεως χείμαρρος ὢν διέρχεται, ξηρός ἐν τῷ τότε ὕδατος, καὶ οὐ ξυνεχὴς τοῖς τείχεσιν, ἀλλ' οἷος παρασχεῖν πάροδον τοῖς στρατιώταις διαδῦναι ἐς τὴν πόλιν, ἀναλαβὼν τούς τε σωματοφύλακας, καὶ τοὺς ὑπασπιστὰς, καὶ τοὺς τοξότας, καὶ τοὺς ἀγριᾶνας, τετραμμένων τῶν Βαρβάρων πρὸς τὰς μηχανὰς, καὶ τοὺς ταύτῃ προσμαχομένους λανθάνει, κατὰ τοὺς ἔκρους ξὺν ὀλίγοις τὸ πρῶτον παρελθὼν ἐς τὴν πόλιν. ἀναῤῥήξας δὲ ἔνδοθεν τῶν πυλῶν, αἱ κατὰ τοῦτο τὸ χωρίον ἦσαν, δέχεται τοὺς ἄλλους στρατιώτας ἐντός. ἔνθα δὲ οἱ Βάρβαροι ἐχομένην ἤδη τὴν πόλιν αἰσθόμενοι, ἐπὶ τοὺς ἀμφ' ἀλέξανδρον ὅμως ἐτράπησαν, καὶ γίνεται προσβολὴ αὐτῶν καρτερά. καὶ βάλλεται λίθῳ αὐτὸς ἀλέξανδρος βιαίως τήν τε κεφαλὴν καὶ τὸν αὐχένα, καὶ κρατερὸς τοξεύματι, καὶ πολλοὶ ἄλλοι τῶν ἡγεμόνων. ἀλλὰ καὶ ὣς ἐξέωσαν ἐκ τῆς ἀγορᾶς τοὺς Βαρβάρους, καὶ ἐν τούτῳ οἱ

 κατὰ

κατὰ τὸ τεῖχος προσβεβληκότων ἔρημον,
ἤδη τὸ τεῖχος τῶν προμαχομένων αἱροῦσιν.
ἐν μὲν δὴ τῇ πρώτῃ καταλήψει τῆς πό-
λεως ἀπέθανον τῶν πολεμίων μάλιστα ἐς
ὀκτακισχιλίους· οἱ δὲ λοιποί, ἦσαν γὰρ οἱ
πάντες ἐς μυρίους καὶ ὀκτακισχιλίους οἱ
ξυνεληλυθότες, καταφεύγουσιν ἐς τὴν
ἄκραν. καὶ τούτους περιστρατοπεδεύσας
ἀλέξανδρος, ἡμέραν μίαν ἐφρούρησεν. οἱ δὲ
ἐνδείᾳ ὕδατος, ἐνεχείρισαν σφᾶς ἀλε-
ξάνδρῳ· τὴν δὲ ἑβδόμην πόλιν, ἐξ ἐφόδου
ἔλαβε. πτολεμαῖος μὲν λέγει, ὅτι αὐτοὺς
σφᾶς ἐνδόντας· ἀριστόβουλος δέ, ὅτι βίᾳ
καὶ ταύτην ἐξεῖλε, καὶ ὅτι πάντας τοὺς κα-
ταληφθέντας, ἐν αὐτῇ ἀπέκτεινε. πτολε-
μαῖος δέ, κατανεῖμαι λέγει αὐτὸν τοὺς ἀν-
θρώπους τῇ στρατιᾷ· καὶ δεδεμένους κελεῦ-
σαι φυλάττεσθαι, ἔς τ' ἂν ἐκ τῆς χώρας ἀ-
παλλάττηται αὐτός, ὡς μηδένα ἀπολείπε-
σθαι τῶν τὴν ἀπόστασιν πραξάντων. ἐν τού-
τῳ δὲ τῶν ἐκ τῆς ἀσίας σκυθῶν, στρατιὰ ἀ-
φικνεῖται πρὸς τὰς ὄχθας τοῦ ποταμοῦ τοῦ
τανάιδος, ἀκούσαντες οἱ πολλοὶ αὐτῶν,
ὅτι



ὅτι ἔστιν οἳ καὶ τῶν ἐπέκεινα τοῦ ποταμοῦ
βαρβάρων, ἐπ' ἀλεξάνδρου ἀφεστῶσιν, ὡς
εἰ δή τι λόγου ἄξιον νεωτερίζοιτο, καὶ αὐ-
τοὶ ἐπιθησόμενοι τοῖς μακεδόσιν. καὶ οἱ ἀμ-
φὶ σπιταμένην δὲ ἀπηγγέλθη, ὅτι τοὺς ἐν
μαρακάνδοις καταληφθέντας ἐν τῇ ἄκρᾳ,
πολιορκοῦσιν. ἔνθα δὴ ἀλέξανδρος ἐπὶ
μὲν τοὺς ἀμφὶ σπιταμένην, ἀνδρόμαχόν τε
ἀποστέλλει, καὶ μενέδημον, καὶ κάρανον, ἱπ-
πέας μὲν ἔχοντας τῶν ἑταίρων, ὡς ἑξήκον-
τα, καὶ τῶν μισθοφόρων ὀκτακοσίους, ὧν κά-
ρανος ἡγεῖτο. πεζοὺς δὲ μισθοφόρους, ἐς
χιλίους πεντακοσίους. ἐπιτάσσει δὲ αὐτοῖς,
φαρνούχην τὸν ἑρμηνέα, τὸ μὲν γένος λύ-
κιον, τὸν φαρνούχην, ἔμπειρον δὲ τῆς τε
φωνῆς τῶν ταύτῃ βαρβάρων ἔχοντα, καὶ
τὰ ἄλλα ὁμιλῆσαι αὐτοῖς δεξιὸν φαινόμε-
νον. αὐτὸς δὲ τὴν πόλιν, ἣν ἐπενόει, τειχί-
σας ἐν ἡμέραις εἴκοσι, καὶ ξυνοικίσας ἐς αὐ-
τὴν τῶν τε ἑλλήνων μισθοφόρων, καὶ ὅς τις
τῶν προσοικούντων βαρβάρων ἐθελοντὴς
μετέσχε τῆς ξυνοικίσεως, καί τινας καὶ τῶν
ἐκ τοῦ στρατοπέδου μακεδόνων, ὅσοι ἀπό-
μαχοι

μαχοι ἦσαν· θύσας τοῖς θεοῖς, ὡς νόμος αὐτῷ, καὶ ἀγῶνα ἱππικόν τε καὶ γυμνικὸν ποιήσας, ὡς οὐκ ἀπαλλασσομένους ἑώρα τοὺς σκύθας ἀπὸ τῆς ὄχθης τοῦ ποταμοῦ, ἀλλ' ἐκτοξεύοντας ἐς τὸν ποταμὸν ἑωρῶντο, οὐ πλατὺν ταύτῃ ὄντα, καί τινα καὶ πρὸς ὕβριν τοῦ ἀλεξάνδρου βαρβαρικῶς ἐθρασύνοντο, ὡς οὐκ ἂν τολμήσαντα ἀλέξανδρον ἅψασθαι σκυθῶν· ἢ μαθόντα ἄν, ὅ,τι περ τὸ διάφορον σκύθαις τε καὶ τοῖς ἀσιανοῖς βαρβάροις. ὑπὸ τούτων παροξυνόμενος, ἐπενόει διαβαίνειν ἐπ' αὐτούς, καὶ τὰς διφθέρας παρεσκεύαζεν ἐπὶ τῷ πόρῳ. θυομένῳ δὲ ἐπὶ τῇ διαβάσει, τὰ ἱερὰ οὐκ ἐγίγνετο. ὁ δὲ βαρέως μὲν ἔφερε, οὐ γιγνομένων· ὅμως δὲ ἐκαρτέρει, καὶ ἔμενε. ὡς δὲ οὐκ ἀνίεσαν οἱ σκύθαι, αὖθις ἐπὶ τῇ διαβάσει, ἐθύετο· καὶ αὖ ἐς κίνδυνον αὐτῷ σημαίνεσθαι ἀρίστανδρος ὁ μάντις ἔφραζε. ὁ δέ, κρεῖσσον ἔφη ἐς ἔσχατον κινδύνου ἐλθεῖν, ἢ καταστραμμένον ξύμπασαν ὀλίγου δεῖν τὴν ἀσίαν, γέλωτα εἶναι σκύθαις, καθάπερ δαρεῖος ὁ ξέρξου πατὴρ πάλαι ἐγέ-

νετο.



νετο. ἀρίστανδρος δέ, οὐκ ἔφη παρὰ τὰ ἐκ τοῦ θείου σημαινόμενα, ἄλλα ἀποδείξασθαι, ὅτι ἄλλα ἐθέλει ἀκοῦσαι ἀλέξανδρος. ὁ δέ, ὡς αἵ τε διφθέραι αὐτῷ παρεσκευασμέναι ἦσαν ἐπὶ τῷ πόρῳ, καὶ ὁ στρατὸς ἐξωπλισμένος ἀφεστήκει τῷ ποταμῷ, αἵ τε μηχαναὶ ἀπὸ ξυνθήματος ἐξηκόντιζον ἐς τοὺς σκύθας παριππεύοντας ἐπὶ τῇ ὄχθῃ, καὶ ἔστιν οἳ αὐτῶν ἐτιτρώσκοντο ἐκ τῶν βελῶν· εἷς δὲ δὴ διὰ τοῦ γέρρου καὶ τοῦ θώρακος διαμπὰξ πληγεὶς, πίπτει ἀπὸ τοῦ ἵππου. οἱ μὲν, ξυνεπλάγησαν πρός τε τῶν βελῶν τὴν διὰ μακροῦ ἄφεσιν, καὶ ὅτι ἀνὴρ ἀγαθὸς αὐτοῖς τετελευτήκει, καὶ ὀλίγον ἀνεχώρησαν ἀπὸ τῆς ὄχθης. ἀλέξανδρος δὲ τεταραγμένους πρὸς τὰ βέλη ἰδών, ὑπὸ σαλπίγγων ἐπέρα τὸν ποταμὸν, αὐτὸς ἡγούμενος. εἵπετο δὲ αὐτῷ καὶ ἡ ἄλλη στρατιά, πρώτους μὲν δὴ τοὺς τοξότας καὶ σφενδονήτας ἀποβιβάσας, σφενδονᾶν καὶ τοξεύειν ἐκέλευσεν ἐς τοὺς σκύθας, ὡς μὴ πελάζειν αὐτοὺς τῇ φάλαγγι τῶν πεζῶν ἐκβαινούσῃ, πρὶν τὴν ἵππον αὐτῷ διαβῆναι πᾶσαν. ὡς δὲ ἀθρόοι ἐπὶ τῇ ὄχθῃ ἐγένοντο, ἀφῆκεν ἐπὶ

τοὺς

τοὺς σκύθας, τὸ μὲν πρῶτον μίαν ἱππαρχίαν τῶν ξένων, καὶ τῶν σαρισσοφόρων ἴλας τέσσαρας. καὶ τούτους δεξάμενοι οἱ σκύθαι, καὶ ἐν κύκλοις περιιππεύοντες, ἔβαλλόν τε πολλοὶ ὀλίγους, αὐτοὶ οὐ χαλεπῶς διεφύγγανον. ἀλέξανδρος δὲ τούς τε τοξότας καὶ τοὺς ἀγριάνας καὶ τοὺς ἄλλους ψιλούς, ὧν βάλακρος ἦρχεν ἀναμίξας τοῖς ἱππεῦσιν, ἐπῆγεν ἐπὶ τοὺς σκύθας. ὡς δὲ ὁμοῦ ἤδη ἐγίνοντο, ἐλάσαι ἐκέλευσεν ἐς αὐτοὺς τῶν τε ἑταίρων τρεῖς ἱππαρχίας, καὶ τοὺς ἱππακοντιστὰς ξύμπαντας. καὶ αὐτὸς δὲ τὴν λοιπὴν ἵππον ἄγων σπουδῇ, ἐνέβαλεν ὀρθίαις ταῖς ἴλαις. οὔκουν ἔτι οἷοί τε ἦσαν ἐξελίσσειν τὴν ἱππασίαν ἐς κύκλους, ὡς πρόσθεν ἔτι. ὁμοῦ μὲν γὰρ ἡ ἵππος προσέκειτο αὐτοῖς· ὁμοῦ δὲ οἱ ψιλοί, ἀναμεμιγμένοι τοῖς ἱππεῦσιν, οὐκ εἴων τὰς ἐπιστροφὰς ἀσφαλεῖς ποιεῖσθαι. ἔνθα λαμπρὰ ἤδη φυγὴ τῶν σκυθῶν ἦν. καὶ πίπτουσι μὲν ἐς χιλίους, καὶ εἷς τῶν ἡγεμόνων σατράκης. ἑάλωσαν δὲ ἐς ἑκατὸν καὶ πεντήκοντα. ὡς δὲ ἡ δίωξις ὀξεῖα τε καὶ διὰ





καύματος πολλοῦ ταλαιπώρως ἐγίγνετο, δίψει τε ἡ στρατιὰ πᾶσα εἴχετο· καὶ αὐτὸς ἀλέξανδρος ἐλαύνων, πίνει ὁποῖον ἦν ὕδωρ ἐν τῇ γῇ ἐκείνῃ. καὶ γὰρ ἦν πονηρὸν τὸ ὕδωρ, ῥεῦμα ἀθρόον κατασκήπτει αὐτῷ ἐς τὴν γαστέρα. καὶ ἐπὶ τῷδε ἡ δίωξις οὐκ ἐπὶ πάντων σκυθῶν ἐγένετο. εἰ δὲ μὴ, δοκοῦσιν ἄν μοι καὶ πάντες διαφθαρῆναι ἐν τῇ φυγῇ, εἰ μὴ ἀλεξάνδρῳ τὸ σῶμα ἐκάμνεν, ὃ αὐτὸς ἐς ἔσχατον κινδύνου ἐλθὼν, ἐκομίσθη ὀπίσω ἐς τὸ στρατόπεδον. καὶ οὕτω ξυνέβη ἡ μαντεία ἀριστάνδρῳ. ὀλίγον δὲ ὕστερον παρὰ τοῦ βασιλέως σκυθῶν, ἀφικνοῦνται παρ' ἀλέξανδρον πρέσβεις ὑπὲρ τῶν πραχθέντων, ἐς ἀπολογίαν ἐκπεμφθέντες, ὅτι οὐκ ἀπὸ τοῦ κοινοῦ τῶν σκυθῶν ἐπράχθη, ἀλλὰ καθ' ἁρπαγὴν λῃστρικῷ τρόπῳ σταλέντων· καὶ αὐτὸς ὅτι ἐθέλοι ποιεῖν τὰ ἐπαγγελλόμενα. καὶ τούτῳ φιλάνθρωπα ἐπιστέλλει ἀλέξανδρος· ὅτι οὔτε ἀπιστοῦντα μὴ ἐπεξιέναι καλὸν αὐτῷ ἐφαίνετο, οὔτε κατὰ καιρὸν ἦν ἐν τῷ τότε ἐπεξιέναι. οἱ δὲ ἐν μαρακάνδοις ἐκ

ἐπικειμένους τε καὶ τῶν ἀμφ᾽ αὐτὸν, ἐπεκ-
δραμόντων, ἀπέκτειναν τε τῶν πολεμίων.
ἔστιν οὓς ἐν τῷ ἀπώσασθαι ξυμπεσόντας. καὶ αὐ-
τοὶ ἀπαθεῖς ἀπεχώρησαν ἐς τὴν ἄκραν. ὡς
δὲ καὶ οἱ ὑπ᾽ ἀλεξάνδρου ἐσταλμένοι ἐς
μαράκανδα ἤδη προσάγοντες σπιθαμέ-
νει ἐξηγγέλλοντο, τὴν μὲν πολιορκίαν ἐκ-
λείπει τῆς ἄκρας· αὐτὸς δὲ ὡς ἐς τὰ βασί-
λεια τῆς σογδιανῆς ἀνεχώρει. φαρνούχης δὲ,
καὶ οἱ ξὺν αὐτῷ σπεύδοντες ἐξελάσαι αὐ-
τὸν παντάπασιν ἐπὶ τὰ ὅρια τῆς σογδια-
νῆς, ξυνεπίπτουσιν ὑποχωροῦντι, καὶ εἰς τοὺς νο-
μάδας τοὺς σκύθας οὐδενὶ λογισμῷ ξυ-
νεσβάλλουσιν. ἔνθα δὴ προσλαβὼν ὁ σπι-
ταμένης τῶν σκυθῶν ἱππέων ἐς ἑξακοσίους,
προσεπαίρεται ὑπὸ τῆς ξυμμαχίας τῆς σκυ-
θικῆς, μὴ δέξασθαι ἐπιόντας τοὺς μακεδό-
νας. παραταξάμενος δὲ ἐν χωρίῳ ὁμαλῷ
πρὸς τῇ ἐρήμῳ τῆς σκυθικῆς, ὑπομεῖναι μὲν
τοὺς πολεμίους, ἢ αὐτὸς ἐς αὐτοὺς ἐμβαλεῖν
οὐκ ἤθελε. περιϊππεύων δὲ, ἐτόξευεν ἐς
τὴν φάλαγγα τῶν πεζῶν. καὶ ἐπελαυνόν-
των μὲν αὐτοῖς τῶν ἀμφὶ φαρνούχην, ἔφευ-

γον



γον εὐπετῶς, οἷα δὴ ὠκυτέρων τε αὐτοῖς
καὶ ἐν τῷ τότε ἀκμαιοτέρων ὄντων τῶν
ἵππων. τοῖς δὲ ἀμφὶ ἀνδρόμαχον, ὑπό τε τῆς
ξυνεχοῦς πορείας, καὶ ἅμα χιλοῦ ἀπορίᾳ,
κεκάκωτο ἡ ἵππος. μένουσι δὲ ἢ ὑποχωροῦ-
σιν ἐπέκειντο εὐρώστως, οἱ σκύθαι. ἔνθα δὴ
πολλῶν μὲν τιτρωσκομένων ἐκ τῶν τοξευ-
μάτων. ἔστι δὲ ὧν καὶ πιπτόντων, ἐς πλαί-
σιον πλινθίον τάξαντες τοὺς στρατιώτας, ἀ-
πεχώρουν ὡς ἐπὶ τὸν ποταμὸν τὸν πολυτί-
μητον, ὅτι νάπος ταύτῃ ἦν. ὡς μή τε τοῖς
βαρβάροις εὐπετὲς ἔτι εἶναι ἐκτοξεύειν ἐς
αὐτοὺς, σφίσι τε οἱ πεζοὶ ὠφελιμώτεροι ὦ-
σι. κάρανος δὲ ὁ ἱππάρχης οὐκ ἀνακοινώσας
ἀνδρομάχῳ, διαβαίνειν ἐπεχείρησε τὸν πο-
ταμὸν, ὡς ἀσφαλὲς ταύτῃ καταστήσων τοὺς
ἵππους. καὶ οἱ πεζοὶ αὐτῷ ἐπηκολούθησαν,
οὐκ ἐκ παραγγέλματος, ἀλλὰ φοβερᾷ τε
καὶ οὐδενὶ κόσμῳ ἐγένετο αὐτοῖς ἡ ἔσβασις,
ἡ ἐς τὸν ποταμὸν κατὰ κρημνώδεις τὰς ὄχθας.
καὶ οἱ βάρβαροι αἰσθόμενοι τὴν ἁμαρτίαν
τῶν μακεδόνων, αὐτοῖς ἵπποις ἔνθεν καὶ ἔν-
θεν ἐσβάλλουσιν ἐς τὸν πόρον. καὶ οἱ μὲν

τῶν

τῶν ἤδη διαβεβηκότων καὶ ἀποχωρούντων ἔχον, οἱ δὲ τοὺς διαβαίνοντας ἀντιμέτωποι ταχθέντες, ἀνέωθουν ἐς τὸν ποταμόν· οἱ δὲ κατὰ τῶν πλαγίων, ἐξετόξευον ἐς αὐτούς· οἱ δὲ, τοῖς ἔτι διαβαίνουσι ἐπέκειντο. ὥστε ἀπορίᾳ πάντοθεν ξυνεχόμενοι οἱ μακεδόνες, ἐς νῆσον τινὰ τῶν ἐν τῷ ποταμῷ ξυμφεύγουσιν οὐ μεγάλην. καὶ περιστάντες αὐτοὺς οἵ σκύθαι τε καὶ οἱ ξὺν σπιταμένει ἱππεῖς, ἐν κύκλῳ πάντας κατετόξευσαν· ὀλίγους δὲ ἠνδραποδίσαντο αὐτῶν, καὶ τούτους πάντας ἀπέκτειναν. ἀριστόβουλος δὲ ἐνέδρᾳ τὸ πολὺ τῆς στρατιᾶς διαφθαρῆναι λέγει, τῶν σκυθῶν ἐν παραδείσῳ κρυφθέντων. οἱ ἐκ τοῦ ἀθανοῦς ἐπεγένοντο τοῖς μακεδόσιν ἐν αὐτῷ τῷ ἔργῳ, ἵνα τὸν μὲν φαρνούχην παραχωρεῖν τῆς ἡγεμονίας τοῖς ξυμπεμφθεῖσι μακεδόσιν, ὡς οὐκ ἐμπείρως ἔχοντα ἔργων πολεμικῶν, ἀλλ' ἐπὶ τῷ καθομιλῆσαι τοὺς βαρβάρους μᾶλλόν τι πρὸς ἀλεξάνδρου, ἢ ἐπὶ τῷ ἐν ταῖς μάχαις ἐξηγεῖσθαι ἐσταλμένον· τοὺς δὲ μακεδόνας τὲ εἶναι καὶ ἑτέρους βασιλέως· ἀνδρόμαχον δὲ καὶ

κάρανον,



κάρανον, καὶ μενέδημον, οὐ δέξασθαι τὴν ἡγεμονίαν. τὸ μέν τοι ὡς μὴ δοκεῖν, παρὰ τὰ ἐπηγγελμένα ὑπὸ ἀλεξάνδρου αὐτούς τι κατὰ σφᾶς νεωτερίζειν· τὸ δὲ, καὶ ἐν αὐτῷ τῷ δεινῷ οὐκ ἐθελήσαντας, εἰ δή τι πταίσαιεν μὴ ὅσον κατ' ἄνδρα μόνον μετέχειν αὐτοὺς, ἀλλὰ καὶ ὡς τὸ πᾶν αὐτοὺς κακῶς ἐξηγησαμένους. ἐν τούτῳ δὴ τῷ θορύβῳ τε καὶ τῇ ἀταξίᾳ, ἐπιθεμένους αὐτοῖς τοὺς βαρβάρους κατακόψαι πάντας, ὥς τε ἱππέας μὴ πλέονας τῶν τεσσαράκοντα ἀποσωθῆναι, πεζοὺς δὲ ἐς τριακοσίους. ταῦτα δὲ ὡς ἠγγέλθη ἀλεξάνδρῳ, ἤλγησέ τε τῷ πάθει τῶν στρατιωτῶν, καὶ ἔγνω σπουδῇ ἐλαύνειν ὡς ἐπὶ σπιταμένην τε καὶ τοὺς ἀμφ' αὐτὸν βαρβάρους. ἀναλαβὼν οὖν τῶν τε ἑταίρων ἱππέων τοὺς ἡμίσεας, καὶ τοὺς ὑπασπιστὰς ξύμπαντας, καὶ τοὺς τοξότας, καὶ τοὺς ἀγριᾶνας, καὶ τῆς φάλαγγος τοὺς κουφοτάτους, ἤει ἐπὶ μαράκανδα, ἵνα ἐπανήκειν σπιταμένην ἐπυνθάνετο, καὶ αὖθις πολιορκεῖν τοὺς ἐν τῇ ἄκρᾳ. καὶ αὐτὸς μὲν ἐν τρισὶν ἡμέραις διελθὼν χιλίους καὶ πεν-

 τακοσίους

πεντακοσίους σταδίους, τῇ τετάρτῃ ἐπὶ τὴν ἕω προσῆγε τῇ πόλει. σπιθαμένης δὲ, καὶ οἱ ἀμφ' αὐτὸν, ὡς ἐξηγγέλθη προσάγων ἀλέξανδρος, οὐκ ἔμειναν· ἀλλ' ἐκλιπόντες τὴν πόλιν, φεύγουσιν. ὁ δὲ ἐχόμενος αὐτῶν, ἐδίωκεν. ὡς δὲ ἐπὶ χῶρον ἧκεν, οὗ ἡ μάχη ἐγένετο, θάψαι τοὺς στρατιώτας ἐκ τῶν παρόντων, εἵπετο ἐς τε ἐπὶ τὴν ἔρημον τοῖς φεύγουσιν· ἐκεῖθεν δὲ ἀναστρέφων, ἐπόρθει τὴν χώραν, καὶ τοὺς ἐν τοῖς ἐρύμασι καταπεφευγότας τῶν βαρβάρων ἔκτεινεν, ὅτι ξυνεπιθέσθαι ἐξηγγέλλοντο καὶ αὐτοὶ τοῖς μακεδόσι. καὶ ἐπῆλθε πᾶσαν τὴν χώραν, ὅσην ὁ ποταμὸς ὁ πολυτίμητος ἐπάρδων ἐπέρχεται. ἵνα δὲ ἀφανίζεται τοῦ ποταμοῦ τὸ ὕδωρ, ἐντεῦθεν ἤδη τὸ ἐπέκεινα ἔρημος ἡ χώρα ἐστίν. ἀφανίζεται δὲ καίπερ πολλοῦ ὄντος ὕδατος, ἐς τὴν ψάμμον. καὶ ἄλλοι ποταμοὶ ὡσαύτως ἐκεῖ ἀφανίζονται, μεγάλοι καὶ ἀέναοι, ὅ, τε ἔπαρδος, ὃς ῥεῖ διὰ μάρδων τῆς χώρας· καὶ ἄρειος, ὅτου ἐπώνυμος ἡ τῶν ἀρείων γῆ ἐστιν· καὶ ἐτύμανδρος, ὃς διὰ εὐεργετῶν ῥεῖ· καὶ εἰσὶ



εἰσὶ ξύμπαντες οὗτοι, τηλικοῦτοι ποταμοί, ὥς τε οὐδεὶς αὐτῶν μείων ἐστὶ τοῦ πηνειοῦ τοῦ θεσσαλικοῦ ποταμοῦ, ὃς διὰ τῶν τεμπῶν ῥέων ἐκδιδοῖ ἐς θάλασσαν. ὁ δὲ πολυτίμητος, πολὺ ἔτι μείζων ἢ κατὰ τὸν πηνειόν ποταμόν ἐστι. ταῦτα δὲ διαπραξάμενος, ἐς ζαρίασπα ἀφίκετο, καὶ αὐτοῦ καταμένει ἔς τε παρελθεῖν τὸ ἀκμαῖον τοῦ χειμῶνος. ἐν τούτῳ δὲ ἀφίκοντο παρ' αὐτὸν, φραταφέρνης τε ὁ παρθυαίων σατράπης, καὶ στασάνωρ ὁ ἐς ἀρείους ἀποπεμφθεὶς, ὡς ἀρσάκην συλληψόμενος. τόν τε ἀρσάκην δεδεμένον ἄγοντες, καὶ βραζάνην, ὅν τινα βῆσσος τῆς παρθυαίων σατραπείας κατέστησε, καὶ τινὰς ἄλλους τῶν τότε ξὺν βήσσῳ ἀποστάντων. ἧκον δὲ ἐν τῷ αὐτῷ ἐπόκιλλος, καὶ μελαμνίδας, καὶ πτολεμαῖος ὁ τῶν θρακῶν στρατηγὸς, ἀπὸ θαλάσσης, οἳ τά τε χρήματα ξὺν μένητι πεμφθέντα, καὶ τοὺς συμμάχους ὡς ἐπὶ θάλασσαν κατήγαγον. καὶ ἄσανδρος δὲ ἐν τούτῳ ἧκε, καὶ νέαρχος, στρατιὰν ἑλλήνων μισθοφόρων ἄγοντες. καὶ βῆσσός τε ὁ συρίας σατράπης, καὶ ἀσκληπιόδω

ρος, ὁ ὕπαρχος τῆς θαλάσσης. καὶ οὗτοι στρατιὰν ἄγοντες. ἔνθα δὴ ξύλλογον ἐκ τῶν παρόντων ξυναγαγὼν ἀλέξανδρος, παρήγαγεν ἐς αὐτοὺς βῆσσον. καὶ κατηγορήσας τὴν δαρείου προδοσίαν, τήν τε ῥῖνα βήσσου ἀποτμηθῆναι, καὶ τὰ ὦτα ἄκρα ἐκέλευσε· αὐτὸν δὲ ἐς ἐκβάτανα ἄγεσθαι, ὡς ἐκεῖ ἐν τῷ μήδων τε καὶ περσῶν ξυλλόγῳ ἀποθανούμενον. καὶ ἐγὼ οὔτε τὴν ἄγαν ταύτην τιμωρίαν βήσσου ἐπαινῶ, ἀλλὰ βαρβαρικὴν εἶναι τίθεμαι τῶν ἀκρωτηρίων τὴν λώβην, καὶ ὑπαχθῆναι ἀλέξανδρον ξύμφημι ἐς ζῆλον τοῦ μηδικοῦ τε καὶ περσικοῦ πλούτου, καὶ τῆς κατὰ τοὺς βαρβάρους βασιλέας, οὐκ ἴσης ἐς τοὺς ὑπηκόους ξυνδιαιτήσεως. ἐσθῆτά τε ὅτι μηδικὴν ἀντὶ τῆς μακεδονικῆς τε καὶ πατρίου ἡρακλείδης ὢν μετέλαβε, οὐδαμῇ ἐπαινῶ. καὶ τὴν κίταριν τὴν περσικὴν τῶν νενικημένων, ἀντὶ ὧν αὐτὸς ὁ νικῶν πάλαι ἐφόρει ἀμεῖψαι οὐκ ἐπῃδέσθη, οὐδὲν τούτων ἐπαινῶ. ἀλλ' εἴπερ τι ἄλλο, καὶ τὰ ἀλεξάνδρου μεγάλα πράγματα ἐς τεκμήριον

σιν



σιν τίθεμαι· ὡς οὔτε τὸ σῶμα ὅτῳ εἴη καρτερὸν, οὔτε ὅς τις γένει ἐπιφανὴς, οὔτε κατὰ πόλεμον εἰ δή τις διευτυχοίη ἔτι μᾶλλον, ἢ ἀλέξανδρος· οὐδὲ εἰ τὴν λιβύην τις πρὸς τῇ ἀσίᾳ, καθάπερ οὖν ἐπενόει ἐκεῖνος, ἐκπεριπλεύσας κατάσχοι· οὐδὲ εἰς τὴν εὐρώπην, ἐπὶ τῇ ἀσίᾳ τε καὶ λιβύῃ τρίτην, τούτων οὐδέν τι ὄφελος ἐς εὐδαιμονίαν ἀνθρώπου, εἰ μὴ σωφρονεῖν, ἐν ταὐτῷ ὑπάρχοι τούτῳ τῷ ἀνθρώπῳ τῷ τὰ μεγάλα ὡς δοκεῖ πράγματα πράξαντι. ἔνθα δὴ καὶ τὸ κλείτου τοῦ δρωπίδου πάθημα, καὶ τὴν ἀλεξάνδρου ἐπ' αὐτῷ συμφορὰν, εἰ καὶ ὀλίγον ὕστερον ἐπράχθη, οὐκ ἔξω τοῦ καιροῦ ἀφηγήσομαι. εἶναι μὲν γὰρ ἡμέραν ἱερὰν τοῦ διονύσου μακεδόσι, καὶ θύειν διονύσῳ ὅσα ἔτη ἐν αὐτῇ ἀλέξανδρον, τὸν δὲ τοῦ διονύσου μὲν ἐν τῷ τότε ἀμελῆσαι λέγουσι. διοσκούροιν δὲ θῦσαι· ὅτου δὴ ἐπιφραδέντα, τοῖν διοσκούροιν τὴν θυσίαν. πόρρω δὲ τοῦ πότου προϊόντος (καὶ γὰρ καὶ τὰ τῶν πότων ἤδη ἀλεξάνδρῳ ἐς τὸ βαρβαρικώτερον νενεωτέριστο) ἀλλ' ἐν γε



τῷ

τῷ πότῳ τότε ὑπὲρ τοῖν διοσκούροιν λόγους γίγνεσθαι, ὅπως ἐς δία ἀνηνέχθη αὐτοῖν ἡ γένεσις, ἀφαιρεθεῖσα τυνδαρέω. καί τινας τῶν παρόντων κολακείᾳ τῇ ἀλεξάνδρου (οἷα δὴ ἄνδρες διέφθειράν τε ἀεί, καὶ οὔποτε παύσονται ἐπιτρίβοντες τὰ τῶν ἀεὶ βασιλέων πράγματα) κατ' οὐδὲν ἀξιοῦν συμβάλλειν ἀλεξάνδρῳ τε καὶ τοῖς ἀλεξάνδρου ἔργοις τὸν πολυδεύκην καὶ τὸν κάστορα. οἱ δέ, οὐδὲ τοῦ ἡρακλέους ἀπείχοντο ἐν τῷ πότῳ. ἀλλὰ τὸν φθόνον γὰρ ἐμποδὼν ἵστασθαι τοῖς ζῶσι, τὸ μὴ οὐ τὰς δικαίας τιμὰς αὐτοῖς ἐκ τῶν ξυνόντων γίγνεσθαι. κλεῖτον δὲ δῆλον μὲν εἶναι πάλαι ἤδη ἀχθόμενον τῷ τε ἀλεξάνδρου, τῇ ἐς τὸ βαρβαρικώτερον μετακινήσει, καὶ τῶν κολακευόντων αὐτὸν τοῖς λόγοις. τότε δὲ καὶ αὐτὸν πρὸς τοῦ οἴνου παροξυνόμενον, οὐκ ἐᾶν οὔτε ἐς τὸ θεῖον ὑβρίζειν, οὔτε ἐς τῶν πάλαι ἡρώων ἔργα ἐκφαυλίζοντας χάριν ταύτην ἄχαριν προστιθέναι ἀλεξάνδρῳ. εἶναι γὰρ οὖν οὐδὲ τὰ ἀλεξάνδρου οὕτω τι μεγάλα καὶ θαυμαστά, ὡς ἐκεῖνοι ἐπαίρουσιν.



σιν. οὔκουν μόνον καταπρᾶξαι αὐτά, ἀλλὰ τὸ γὰρ πολὺ μέρος μακεδόνας εἶναι τὰ ἔργα. καὶ τοῦτον τὸν λόγον ἀνιᾶσαι ἀλέξανδρον, λεχθέντα. οὐδὲ ἐγὼ ἐπαινῶ τὸν λόγον, ἀλλὰ ἱκανὸν γὰρ εἶναι τίθεμαι ἐν τοιᾷδε παροινίᾳ τὸ καθ' αὑτὸν σιγῶντα ἔχειν, μὴ δὲ τὰ αὐτὰ τοῖς ἄλλοις ἐς κολακείαν πλημμελεῖν. ὡς δὲ καὶ τῶν φιλίππου τινὲς ἔργων, ὅτι οὐ μεγάλα οὐδὲ θαυμαστὰ φιλίππῳ κατεπράχθη, οὐδὲ μετὰ ξὺν δίκῃ ἐπεμνήσθησαν, χαριζόμενοι καὶ οὗτοι ἀλεξάνδρῳ, τὸν κλεῖτον ἤδη οὐκ ἔτι ἐν ἑαυτοῦ ὄντα, προσβύειν μὲν τὰ τοῦ φιλίππου, καταβάλλειν τε ἀλέξανδρόν τε, καὶ τὰ τούτου ἔργα, παροινοῦντα ἤδη τὸν κλεῖτον τά τε ἄλλα, καὶ πολὺν εἶναι ὀνειδίζοντα ἀλεξάνδρῳ, ὅτι πρὸς αὐτοῦ ἄρα ἐσώθη, ὁπότε ἡ ἱππομαχία ἡ ἐπὶ γρανίκῳ ξυνειστήκει πρὸς πέρσας. καὶ δὴ τὴν δεξιὰν τὴν αὐτοῦ σοβαρῶς ἀνατείναντα, αὕτη σε ἡ χεὶρ (φάναι) ὦ ἀλέξανδρε ἐν τῷ τότε ἔσωσε. καὶ ἀλέξανδρον οὐκ ἔτι φέρειν τοῦ κλείτου τὴν παροινίαν τε καὶ ὕβριν, ἀλλὰ ἀναπηδᾶν γὰρ ξὺν ὀργῇ

ἐπ' αὐτόν, κατέχεσθαι δὲ ὑπὸ τῶν ξυμπάντων. κλεῖτον δὲ, οὐκ ἀνιέναι ὑβρίζοντα. ἀλέξανδρος δὲ ἐβόα, ἀνακαλῶν τοὺς ὑπασπιστάς. οὐδενὸς δὲ ὑπακούοντος, ἐν τοιῷδε (ἔφη) καθεστηκέναι δαρεῖον, ὁπότε πρὸς βήσσου τε καὶ τῶν ἀμφὶ βῆσσον ξυλληφθεὶς ἤγετο, οὐδὲν ἄλλο ὅτι μὴ ὄνομα ἦν βασιλέως. οὔκουν ἔτι ὄνους τε εἶναι κατέχειν αὐτὸν τοὺς ἑταίρους, ἀλλ' ἀναπηδήσαντα γάρ, οἱ μὲν λόγχην ἁρπάσαι λέγουσι τῶν σωματοφυλάκων τινός, καὶ ταύτῃ παίσαντα κλεῖτον ἀποκτεῖναι· οἱ δὲ σάρισσαν, παρὰ τῶν φυλάκων τινὸς καὶ ταύτην. ἀριστόβουλος δὲ, ὅθεν μὲν ἡ παροινία ὡρμήθη οὐ λέγει. κλείτου δὲ γενέσθαι μόνου τὴν ἁμαρτίαν, ὅν γε ὠργισμένου ἀλεξάνδρου, καὶ ἀναπηδήσαντος ἐπ' αὐτὸν ὡς διαχρησομένου, ἀπαχθῆναι μὲν διὰ θυρῶν ἔξω ὑπὲρ τὸ τεῖχός τε καὶ τὴν τάφρον τῆς ἄκρας, ἵνα ἐγένετο πρὸς πτολεμαίου τοῦ λάγου τοῦ σωματοφύλακος. οὐ καρτερήσαντα δὲ, ἀναστρέψαι αὖθις, καὶ περιπετῆ ἀλεξάνδρῳ γενέσθαι κλεῖτον ἀνακαλοῦντι, καὶ φά-





ναι, ὅτι οὗτός τοι ἐγὼ ὁ κλεῖτος ὦ ἀλέξανδρε. καὶ ἐν τούτῳ πληγέντα τῇ σαρίσσῃ ἀποθανεῖν. καὶ ἐγὼ κλεῖτον μὲν τῆς ὕβρεως τῆς ἐς τὸν βασιλέα τὸν αὐτοῦ, μεγάλως τι μέμφομαι. ἀλέξανδρον δὲ τῆς συμφορᾶς οἰκτείρω, ὅτι δυοῖν κακοῖν ἐν τῷ τότε ἡττημένον ἐπέδειξεν αὐτόν, ὑφ' ὅτων δὴ καὶ τοῦ ἑτέρου οὐκ ἐπέοικεν ἄνδρα σωφρονοῦντα ἐξηττᾶσθαι, ὀργῆς τε καὶ παροινίας. ἀλλὰ τὰ ἐπὶ τοῖσδε αὖ ἐπαινῶ ἀλεξάνδρου, ὅτι παραυτίκα ἔγνω σχέτλιον ἔργον ἐργασάμενος. καὶ λέγουσιν εἰσὶν οἱ τῶν ἀλεξάνδρου, ὅτι ἐρείσας τὴν σάρισσαν πρὸς τὸν τοῖχον, ἐπιπίπτειν ἐγνώκει αὐτῇ· ὡς οὐ καλὸν αὐτῷ ζῆν, ἀποκτείναντι φίλον αὐτοῦ ἐν τῷ οἴνῳ. οἱ πολλοὶ μὲν ξυγγραφεῖς τοῦτο μὲν οὐ λέγουσιν. ἀπελθόντα δὲ ἐς τὴν εὐνήν, κεῖσθαι ὀδυρόμενον, αὐτόν τε τὸν κλεῖτον ὀνομαστὶ ἀνακαλοῦντα· καὶ τὴν κλείτου μὲν ἀδελφήν, αὐτὸν δὲ ἀναθρεψαμένην, λανίκην τὴν δρωπίδου παῖδα, ὡς καλὰ ἄρα αὐτῇ τροφεῖα ἀποτετικὼς εἴη ἀνδρωθείς, ἥ γε τοὺς μὲν παῖδας τοὺς ἑαυτῆς ὑπὲρ αὐ-

τοῦ μαχομένους ἐπεῖδεν ἀποθανόντας τὸν
ἀδελφὸν δὲ αὐτῆς αὐτὸς αὐτοχειρίᾳ ἔκτει-
νε· φονέα τε τῶν φίλων οὐ διαλείπειν αὑτὸν
ἀνακαλοῦντα, ἄσιτόν τε καὶ ἄποτον καρ-
τερεῖν ἔς τε ἐπὶ τρεῖς ἡμέρας, οὐδέν τινα ἄλ-
λην θεραπείαν θεραπεῦσαι τὸ σῶμα. καὶ
ἐπὶ τούτοις τῶν μαντέων τινὲς μῆνιν ἐκ διο-
νύσου ᾖδον, ὅτι ἡ θυσία ἐξελείφθη ἀλεξάν-
δρῳ ἡ τοῦ διονύσου. καὶ ἀλέξανδρος μό-
γις πρὸς τῶν ἑταίρων πεισθεὶς, σίτου τε ἥψα-
το, καὶ τὸ σῶμα κακῶς ἐθεράπευσε. καὶ
τῷ διονύσῳ τὴν θυσίαν ἐπέδωκε, ἐπεὶ οὐ
δὲ αὐτῷ ἄκοντι ἦν ἐς μῆνιν τοῦ θείου μᾶλ
λόν τι ἢ τὴν αὐτοῦ κακότητα ἀναφέρεσθαι
τὴν ξυμφοράν. ταῦτα μεγάλως τι ἐπαι-
νῶ ἀλεξάνδρου, τὸ μήτε ἀπαυθαδιάσα-
σθαι ἐπὶ κακῷ, μήτε προστάτην τε καὶ ξυ-
νήγορον κακίονα ἔτι γενέσθαι τοῦ ἁμαρτη-
θέντος, ἀλλὰ συμφῆσαι γὰρ ἐπταικέναι ἄν-
θρωπόν γε ὄντα. εἰσὶ δὲ, ἀνάξαρχον τὸν σο-
φιστὴν ἐλθεῖν μὲν παρ᾽ ἀλέξανδρον κλη-
θέντα, ὡς παραμυθησόμενον. εὑρόντα δὲ
κείμενον, καὶ ἐπιστένοντα, ἐπιγελάσαν-
τα,



τα, ἀγνοεῖν (φάναι) διότι ἐπὶ τῷδε οἱ πά-
λαι σοφοὶ ἄνδρες τὴν δίκην πάρεδρον
τῷ διῒ ἐποίησαν. ὡς ὅ, τι ἂν πρὸς τοῦ διὸς
κυρωθῇ, τοῦτο ξὺν δίκῃ πεπραγμένον.
καὶ οὖν καὶ τὰ ἐκ βασιλέως μεγάλου γι-
γνόμενα, δίκαια χρῆναι νομίζεσθαι, πρῶτα
μὲν πρὸς αὐτοῦ βασιλέως, ἔπειτα πρὸς
τῶν ἄλλων ἀνθρώπων. ταῦτα εἰπόντα πα-
ραμυθήσασθαι μὲν ἀλέξανδρον ἐν τῷ τό-
τε. κακὸν δὲ μέγα, ὡς ἐγώ φημι, ἐξεργά-
σασθαι ἀλεξάνδρῳ, καὶ μεῖζον ἔτι ἢ ὅτῳ
τότε ξυνείχετο. εἴπερ οὖν σοφοῦ ἀνδρὸς
τήνδε ἔγνω τὴν δόξαν, ὡς οὐ τὰ δίκαια
ἄρα χρὴ σπουδῇ ἐπιλεγόμενον πράττειν
τὸν βασιλέα, ἀλλὰ ὅ, τι ἂν καὶ ὁπωσοῦν ἐκ
βασιλέως πραχθῇ, τοῦτο δίκαιον νομίζειν.
ἐπεὶ καὶ προσκυνεῖσθαι ἐθέλειν ἀλέξαν-
δρον λόγος κατέχει, ὑπούσης μὲν αὐτῷ
καὶ τῆς ἀμφὶ τοῦ ἄμμωνος πατρὸς μᾶλλόν
τι ἢ φιλίππου δόξης. θαυμάζοντα δὲ ἤδη
τὰ περσῶν καὶ μήδων τῆς τε ἐσθῆτος τῇ
ἀμείψει, καὶ τῆς ἄλλης θεραπείας τῇ μετα-
κοσμήσει, οὐκ ἐνδεῆσαι δὲ οὐδὲ πρὸς τοῦτο
αὐτῷ

αὐτὸν τῶν κολακείᾳ ἐς αὐτὸν ξυνόντας, ἄλλους τέ τινας, καὶ δὴ καὶ τῶν σοφιστῶν τῶν ἀμφ' αὐτὸν ἀνάξαρχόν τε, καὶ ἄγιν ἀργεῖον ἐποποιόν. καλλισθένην δὲ τὸν ὀλύνθιον, ἀριστοτέλους τε τῶν λόγων διακηκοότα, καὶ τὸν τρόπον ὄντα ὑπαγροικότερον, οὐκ ἐπαινῶ ταῦτα. τούτου μὲν δὴ ἕνεκα καὶ αὐτὸς καλλισθένει ξυμφέρομαι. ἐκεῖνα δὲ οὐκ ἔτι ἐπιεικῆ δοκῶ τοῦ καλλισθένους, εἴπερ ἀληθῆ ξυγγέγραπται, ὅτι ὑφ' αὐτῷ εἶναι ἀπέφαινε, καὶ τῇ αὐτοῦ ξυγγραφῇ ἀλέξανδρόν τε καὶ τὰ ἀλεξάνδρου ἔργα. οὔκουν αὐτὸς ἀφῖχθαι ἀλεξάνδρου δόξαν κτησόμενος, ἀλλὰ ἐκεῖνον εὐκλεᾶ ἐς ἀνθρώπους ποιήσων, καὶ οὖν καὶ τοῦ θείου τὴν μετουσίαν ἀλεξάνδρῳ οὐκ ἐξ ὧν ὀλυμπιὰς ὑπὲρ τῆς γενέσεως αὐτοῦ ψεύδεται ἀνηρτῆσθαι, ἀλλ' ἐξ ὧν ἂν αὐτὸς ὑπὲρ ἀλεξάνδρου συγγράψας ἐξενέγκῃ ἐς ἀνθρώπους. εἰσὶ δὲ, οἳ καὶ τάδε ἀνέγραψαν· ὡς ἄρα ἤρετό ποτε αὐτὸν φιλώτας, ὅντινα οἴοιτο μάλιστα τιμηθῆναι πρὸς τῆς ἀθηναίων πόλεως. τὸν δὲ ἀποκρίνασθαι, ἁρμόδιον καὶ ἀριστογείτονα,

σογείτονα,



σογείτονα, ὅτι τὸν ἕτερον τοῖν τυράννοιν ἔκτειναν, καὶ τυραννίδα ὅτι κατέλυσαν· ἐρέσθαι αὖθις τὸν φιλώταν, εἰ τῷ τύραννον κτείναντι ὑπάρχει, παρ' οὕς τινας ἐθέλει τῶν ἑλλήνων φυγόντι σώζεσθαι. καὶ ἀποκρίνασθαι αὖθις καλλισθένην, καὶ μὴ παρ' ἄλλους παρ' ἀθηναίους, ὅτι φυγόντι ὑπάρχει σώζεσθαι. τούτους γὰρ καὶ πρὸς εὐρυσθέα πολεμῆσαι ὑπὲρ τῶν παίδων τῶν ἡρακλέους, τυραννοῦντα ἐν τῷ τότε τῆς ἑλλάδος. ὑπὲρ δὲ τῆς προσκυνήσεως, ὅπως ἠναντιώθη ἀλεξάνδρῳ, καὶ τοιόσδε κατέχει λόγος. ξυγκεῖσθαι μὲν γὰρ τῷ ἀλεξάνδρῳ πρὸς τοὺς σοφιστάς τε, καὶ τοὺς ἀμφ' αὐτὸν περσῶν καὶ μήδων τοὺς δοκιμωτάτους, μνήμην τοῦ λόγου τοῦδε ἐν πότῳ ἐμβαλεῖν. ἄρξαι δὲ τοῦ λόγου ἀνάξαρχον, ὡς πολὺ δικαιότερον ἂν θεὸν νομιζόμενον ἀλέξανδρον, διονύσου τε καὶ ἡρακλέα. μὴ ὅτι τῶν ἔργων ἕνεκα, ὅσα καὶ ἡλίκα καταπέπρακται ἀλεξάνδρῳ, ἀλλὰ καὶ ὅτι διόνυσος μὲν θηβαῖος ἦν, οὐδέν τι προσήκων μακεδόσι, καὶ ἡρακλῆς ἀργεῖος, οὐδὲ οὗ-

τος

τὸ προσῆκον, ὅτι μὴ ἐπὶ γένος τὸ ἀλεξάνδρου. ἡρακλείδην γὰρ εἶναι ἀλέξανδρον. μακεδόνας δὲ αὖ τὸν σφῶν βασιλέα δικαιότερον θείαις τιμαῖς κοσμοῦντας· καὶ γὰρ οὐδὲ ἐκεῖνο εἶναι ἀμφίλογον, ὅτι ἀπελθόντα γε ἐξ ἀνθρώπων, ὡς θεὸν τιμήσουσι. πόσῳ δὴ δικαιότερον ζῶντα γεραίρειν, ἤπερ τελευτήσαντα, ἐν οὐδὲν ὄφελος τῷ τιμωμένῳ; λεχθέντων δὲ τούτων τε καὶ τοιούτων λόγων πρὸς ἀναξάρχου, τοὺς μὲν μετεσχηκότας τῆς βουλῆς ἐπαινεῖν τὸν λόγον, καὶ δὴ ἐθέλειν ἄρχεσθαι τῆς προσκυνήσεως. τοὺς μακεδόνας δὲ τοὺς πολλοὺς μαχομένους τῷ λόγῳ, σιγῇ ἔχειν. καλλισθένην δὲ ὑπολαβόντα, ἀλέξανδρον μὲν (εἰπεῖν) ὦ ἀνάξαρχε, οὐδενὸς ἀνάξιον ἀποφαίνω τιμῆς, ὅσαι ξύμμετροι ἀνθρώπῳ. ἀλλὰ διακεκρίσθαι γὰρ τοῖς ἀνθρώποις, ὅσαι τε ἀνθρώπιναι τιμαί, καὶ ὅσαι θεῖαι, πολλοῖς μὲν καὶ ἄλλοις, καθάπερ ναῶν τε οἰκοδομήσει, καὶ ἀγαλμάτων ἀναστάσει, καὶ τεμένει. ὅτι τοῖς θεοῖς τίς ἐξαιρεῖται, καὶ θύεται ἐκείνοις, καὶ σπένδεται. καὶ ὕμνοι μὲν ἐς τοὺς θεοὺς ποιοῦνται,

ἔπαινοι



ἔπαινοι δὲ ἐς ἀνθρώπους. ἀτὰρ οὐχ ἥκιστα τῷ τῆς προσκυνήσεως νόμῳ. τοὺς μὲν γὰρ ἀνθρώπους φιλεῖσθαι πρὸς τῶν ἀσπαζομένων, τὸ θεῖον δὲ ἄνω που ἱδρυμένον, καὶ οὐδὲ ψαῦσαι αὐτοῦ θέμις εἶναι· τῷδε ἄρα τῇ προσκυνήσει γεραίρεται. καὶ χοροὶ τοῖς θεοῖς ἵστανται, καὶ παιᾶνες ἐπὶ τοῖς θεοῖς ᾄδονται. καὶ οὐδέν γε θαυμαστόν, ὁπότε γε καὶ αὐτῶν τῶν θεῶν ἄλλοις ἄλλαι τιμαὶ πρόσκεινται, καὶ καὶ μάλιστα, ἥρωσιν ἄλλαι, καὶ αὗται ἀποκεκριμέναι τοῦ θείου. οὐκοῦν εἰκὸς ξύμπαντα ταῦτα ταράσσοντας, τοὺς μὲν ἀνθρώπους ἐς σχῆμα ὑπέρογκον καθιστάναι τῶν τιμῶν ταῖς ὑπερβολαῖς, τοὺς θεοὺς δὲ τόγε ἐπὶ σφίσιν ἐς ταπεινότητα οὐ πρέπουσαν καταβάλλειν, τὰ ἴσα ἀνθρώποις τιμῶντας. οὐκοῦν οὐδὲ ἀλέξανδρον ἀνασχέσθαι ἄν, εἰ τῶν ἰδιωτῶν τις ἐσποιοῖτο ταῖς βασιλικαῖς τιμαῖς χειροτονίᾳ ἢ ψήφῳ οὐ δικαίᾳ. πολὺ ἂν οὖν δικαιότερον τοὺς θεοὺς δυσχεραίνειν, ὅσοι ἄνθρωποι ἐς τὰς θείας τιμὰς σφᾶς ἐσποιοῦσιν, ἢ πρὸς ἄλλων ἐσποιούμενοι ἀνέχονται. ἀλέξανδρον δὲ πόῤῥω

τοῦ

τοῦ ἱκανοῦ ἀνδρῶν ἀγαθῶν τὸν ἄριστον εἶ-
ναί τε, καὶ δοκεῖν καὶ βασιλέων τὸν βασι-
λικώτατον, καὶ στρατηγῶν τὸν ἀξιοστρατη-
γότατον. καί σε εἴπερ τινὰ ἄλλον, ὦ ἀνά-
ξαρχε, εἰσηγητήν τε τούτων τῶν λόγων ἐ-
χρῆν γίγνεσθαι, καὶ κωλυτὴν τῶν ἐναντίων
ἐπὶ σοφίᾳ τε καὶ παιδεύσει ἀλεξάνδρῳ
ξυνόντα. οὔκουν ἄρχειν τε τῶνδε τοῦ λόγου
πρέπον ἦν, ἀλλὰ μεμνῆσθαι γὰρ οὐ καμβύ-
σῃ, οὐδὲ ξέρξῃ ξυνόντα ἢ συμβουλεύον-
τα, ἀλλὰ φιλίππου μὲν παιδὶ, ἡρακλεί-
δῃ δὲ ἀπὸ γένους, καὶ αἰακίδῃ, ὅτου οἱ πρό-
γονοι ἐξ ἄργους εἰς μακεδονίαν ἦλθον, οὐδὲ
βίᾳ, ἀλλὰ νόμῳ μακεδόνων ἄρχοντες δι-
ετέλεσαν. οὔκουν οὐδὲ αὐτῷ τῷ ἡρακλεῖ
ζῶντι ἔτι θεῖαι τιμαὶ παρ᾽ ἑλλήνων ἐγένον-
το, ἀλλ᾽ οὐδὲ τελευτήσαντι πρόσθεν, ἢ πρὸς
τοῦ θεοῦ τοῦ ἐν δελφοῖς ἐπιθεσπισθῆναι, ὡς
θεὸν τιμᾶν ἡρακλέα. εἰ δὲ ὅτι ἐν τῇ βαρβά-
ρῳ γῇ ὀλίγοι γίγνονται, βαρβαρικὰ χρὴ
ἔχειν τὰ φρονήματα, καὶ ἐγὼ τῆς ἑλλάδος
μεμνῆσθαί σε ἀξιῶ, ὦ ἀλέξανδρε, ἧς ἕνεκα
ὁ πᾶς στόλος σοι ἐγένετο, προσθῆναι τὴν
ἀσίαν



ἀσίαν τῇ ἑλλάδι. καὶ οὖν ἐνθυμήθητι ἐκεῖ-
σε ἐπανελθὼν, ἆρα γε καὶ τοὺς ἕλληνας τοὺς
ἐλευθερωτάτους προσαναγκάσεις ἐς τὴν
προσκύνησιν, ἢ ἑλλήνων μὲν ἀφέξῃ, μακεδό-
σι δὲ προσθήσεις τήνδε τὴν ἀτιμίαν. ἢ δια-
κεκριμένα ἔσται σοι αὐτῷ τὰ τῶν τιμῶν ἐν
ἅπασιν, ὡς πρὸς ἑλλήνων μὲν καὶ μακεδό-
νων ἀνθρωπίνως τε καὶ ἑλληνικῶς τιμᾶ-
σθαι. πρὸς δὲ τῶν βαρβάρων μόνον βαρβα-
ρικῶς. εἰ δὲ ὑπὲρ κύρου τοῦ καμβύσου λέγε-
ται, τὸ πρῶτον προσκυνηθῆναι ἀνθρώπων
κῦρον, καὶ ἐπὶ τῷδε ἐμμεῖναι πέρσαις τε
καὶ μήδοις τήνδε τὴν ταπεινότητα, χρὴ
ἐνθυμεῖσθαι, ὅτι τὸν κῦρον ἐκεῖνον σκύθαι
ἐσωφρόνησαν, πένητες ἄνδρες καὶ αὐτό-
νομοι, καὶ δαρεῖον ἄλλοι αὖ σκύθαι. καὶ ξέρ-
ξην ἀθηναῖοι, καὶ λακεδαιμόνιοι, καὶ ἀρταξέρ-
ξην κλέαρχος καὶ ξενοφῶν, καὶ οἱ ξὺν τού-
τοις μύριοι, καὶ δαρεῖον τουτονὶ ἀλέξανδρος,
μὴ προσκυνούμενος. ταῦτα δὴ καὶ τοιαῦ-
τα εἰπόντα καλλισθένην, ἀνιάσαι μὲν με-
γάλως τὸν ἀλέξανδρον, μακεδόσι δὲ ἀδελ-
φὰ εἰπεῖν. καὶ τοῦτο γνόντα ἀλέξανδρον,

πέμψαντι κυκλῶσαι μακεδόνας, μεμνῆσθαι ἔτι τῆς προσκυνήσεως. ἀλλὰ σιγῆς γὰρ γενομένης ἐπὶ τοῖς λόγοις, ἀναστάντας περσῶν τοὺς πρεσβυτέρους, ἐφεξῆς προσκυνεῖν. λεοννάτον δὲ ἕνα τῶν ἑταίρων, ἐπειδή τι ἐδόκει τῶν περσῶν αὐτῷ οὐκ ἐν κόσμῳ προσκυνῆσαι. τὸν δὲ ἐπιγελάσαι τῷ σχήματι τοῦ πέρσου, ὡς ταπεινόν. καὶ τούτῳ χαλεπήναντα τότε ἀλέξανδρον, ξυναλλαγῆναι αὖθις. ἀναγέγραπται δὲ δὴ καὶ τοιόσδε λόγος, προπίνειν φιάλην χρυσῆν ἐν κύκλῳ ἀλέξανδρον, πρῶτον μὲν τούτοις πρὸς οὕς τινας ξυνέκειτο αὐτῷ τὰ τῆς προσκυνήσεως. τὸν δὲ πρῶτον ἐκπιόντα τὴν φιάλην, προσκυνῆσαί τε ἀναστάντα, καὶ φιληθῆναι πρὸς αὐτοῦ, καὶ τοῦτο ἐφεξῆς διὰ πάντων χωρῆσαι. ὡς δὲ ἐς καλλισθένην ἧκεν ἡ πρόποσις, ἀναστῆναι μὲν καλλισθένην, καὶ ἐκπιεῖν τὴν φιάλην. καὶ προσελθόντα, ἐθέλειν φιλῆσαι, οὐ προσκυνήσαντα. τὸν δὲ τυχεῖν μὲν τότε διαλεγόμενον ἡφαιστίωνι. οὔκουν προσέχειν τὸν νοῦν, καὶ τὰ περὶ προσκυνήσεως ἐπιτελῆ αὐτῷ καλλισθένει

ἐγέ



ἐγένετο. ἀλλὰ δημήτριον γὰρ τὸν πυθώνακτος, ἕνα τῶν ἑταίρων, ὡς προσῄει αὐτῷ ὁ καλλισθένης φιλήσων, φάναι, ὅτι οὐ προσκυνήσας πρόσεισι, καὶ τὸν ἀλέξανδρον οὐ παρασχεῖν φιλῆσαι ἑαυτόν. τὸν δὲ καλλισθένην, φιλήματι (φάναι) ἔλαττον ἔχων ἄπειμι. καὶ τούτων ἐγὼ ὅσα ἐς ὕβριν τὴν ἀλεξάνδρου τὴν ἐν τῷ παραυτίκα, καὶ ἐς σκαιότητα τὴν καλλισθένους φέροντα, οὐδὲν οὐδαμῆ ἐπαινῶ· ἀλλὰ τὸ καθ' αὑτὸν γὰρ κοσμίως τίθεσθαι, ἐξαρκεῖν φημί, αὔξοντα ὡς ἀνυστὸν τὰ βασιλέως πράγματα, ὅτῳ τις ξυνεῖναι οὐκ ἀπηξίωσεν. οὔκουν ἀπεικότως δι' ἀπεχθείας γενέσθαι ἀλεξάνδρῳ καλλισθένην τίθεμαι, ἐπὶ τῇ ἀκαίρῳ τε παρρησίᾳ, καὶ ὑπερόγκῳ ἀβελτηρίᾳ, ἐφ' ὅτῳ τεκμαίρομαι μὴ χαλεπῶς πιστευθῆναι τοὺς κατειπόντας καλλισθένους, ὅτι μετέσχε τῆς ἐπιβουλῆς τῆς γενομένης ἀλεξάνδρῳ ἐκ τῶν παίδων· τοὺς δέ, ὅτι καὶ ἐπῆρεν αὐτὸς εἰς τὸ ἐπιβουλεῦσαι. ξυνέβη δὲ τὰ τῆς ἐπιβουλῆς ὧδε. ἐκ φιλίππου ἦν ἤδη καθεστηκὸς



τῶν

τῶν ἐν τέλει μακεδόνων τοὺς παῖδας, ὅσοι
ἐς ἡλικίαν ἐμειρακίσαντο, καταλέγεσθαι
ἐς θεραπείαν τοῦ βασιλέως, τά τε περὶ τὴν
ἄλλην δίαιταν τοῦ σώματος διακονεῖσθαι
βασιλεῖ, καὶ κοιμώμενον φυλάσσειν τούτοις
ἐπετέτραπτο· καὶ ὁπότε ἐξελαύνει βασι-
λεύς, τοὺς ἵππους παρὰ τῶν ἱπποκόμων δε-
χόμενοι ἐκεῖνοι προσῆγον, καὶ ἀνέβαλλον
οὗτοι βασιλέα τὸν περσικὸν τρόπον, καὶ
τῆς ἐπὶ θήρᾳ φιλοτιμίας βασιλεῖ κοινωνοὶ
ἦσαν. τούτων καὶ ἑρμόλαος ἦν, σωπόλιδος
μὲν παῖς· φιλοσοφίᾳ δὲ ἐδόκει προσέχειν
τὸν νοῦν, καὶ καλλισθένην θεραπεύειν. ἐπὶ
τῷ δὲ ὑπὲρ τούτου λόγος προὐβαίνει, ὅτι
ἐν θήρᾳ προσφερομένου ἀλεξάνδρου συός,
ἔφθη βαλὼν τὸν σῦν ὁ ἑρμόλαος. καὶ ὁ μὲν
σῦς πίπτει βληθείς. ἀλέξανδρος δὲ τοῦ
καιροῦ ὑστερήσας, ἐχαλέπηνε τῷ ἑρμολάῳ,
καὶ κελεύει αὐτὸν πρὸς ὀργὴν πληγὰς λα-
βεῖν, ὁρώντων τῶν ἄλλων παίδων, καὶ τὸν
ἵππον αὐτοῦ ἀφείλετο. τοῦτον τὸν ἑρμόλαον
ἀλγήσαντα τῇ ὕβρει, φράσαι πρὸς σώστρα-
τον τὸν ἀμύντου, ἡλικιώτην τε αὐτοῦ καὶ
ἐραστὴν



ἐραστὴν ὄντα, ὅτι οὐ βιωτὸν εἴη μὴ τιμωρη-
σαμένῳ ἀλέξανδρον τῆς ὕβρεως. καὶ τὸν
σώστρατον οὐ χαλεπῶς συμπεῖσαι, μετα-
σχεῖν τοῦ ἔργου, ἅτε ἐρῶντα. ὑπὸ τούτου δὲ
ἀναπεισθῆναι ἀντίπατρόν τε τὸν ἀσκλη-
πιοδώρου τοῦ συρίας σατραπεύσαντος,
καὶ ἐπιμένην τὸν ἀρσέου, καὶ ἀντικλέα τὸν
θεοκρίτου, καὶ φιλώταν τὸν καρσίδος τοῦ
θρᾳκός. ὡς οὖν περιῆκεν ἐς ἀντίπατρον ἡ
νυκτερινὴ φυλακή, ταύτῃ τῇ νυκτὶ ξυγ-
κείμενον εἶναι ἀποκτεῖναι ἀλέξανδρον καὶ
κοιμωμένῳ ἐπιπεσόντας. ξυμβῆναι δὲ οἱ μὲν
αὐτομάτως λέγουσιν, ἐς τε ἡμέραν πίνειν
ἀλέξανδρον. ἀριστόβουλος δὲ ὧδε ἀνέγρα-
ψε· σύραν γυναῖκα ἐφομαρτεῖν ἀλεξάν-
δρῳ, κάτοχον ἐκ τοῦ θείου γιγνομένην. καὶ
ταύτην τὸ μὲν πρῶτον γέλωτα εἶναι ἀλε-
ξάνδρῳ τε, καὶ τοῖς ἀμφ' αὐτόν. ὡς δὲ τὰ
πάντα ἐν τῇ κατοχῇ ἀληθεύουσα ἐφαίνε-
το, οὐκέτι ἀμελεῖσθαι ὑπ' ἀλεξάνδρου, ἀλλ'
εἶναι γὰρ τῇ σύρᾳ πρόσοδον πρὸς τὸν βασι-
λέα, καὶ νύκτωρ, καὶ μεθ' ἡμέραν, καὶ κα-
θεύδοντι πολλάκις ἤδη ἐπιστῆναι. καὶ δὴ

τότε ἀπαλλασσομένου ἐκ τοῦ πότου, κατε-
χομένην ἐκ τοῦ θείου ἐντυχεῖν, καὶ δεῖσθαι
ἐπανελθόντα πίνειν ὅλην τὴν νύκτα. καὶ
ἀλέξανδρον θεῖόν τι εἶναι νομίσαντα, ἐπα-
νελθεῖν τε καὶ πίνειν, καὶ οὕτω τοῖς παισὶ
διαπεσεῖν τὸ ἔργον. τῇ δὲ ὑστεραίᾳ ἐπιμέ-
νης ὁ ἀρσέου τῶν μετεχόντων τῆς ἐπιβου-
λῆς, φράζει τὴν πρᾶξιν χαρικλεῖ τῷ με-
νάνδρου, ἐραστῇ ἑαυτοῦ γεγονότι· χαρικλῆς
δὲ φράζει εὐρυλόχῳ τῷ ἀδελφῷ τοῦ ἐπιμέ-
νους. καὶ ὁ εὐρύλοχος ἐλθὼν ἐπὶ τὴν σκη-
νὴν ἀλεξάνδρου, πτολεμαίῳ τῷ λάγου τῷ
σωματοφύλακι καταλέγει ἅπαν τὸ πρᾶ-
γμα. ὁ δὲ ἀλεξάνδρῳ ἔφρασε, καὶ ἀλέξαν-
δρος ξυλλαβεῖν κελεύει, ὧν τὰ ὀνόματα
εἶπεν ὁ εὐρύλοχος. καὶ οὗτοι στρεβλούμε-
νοι, σφῶν τε αὐτῶν κατεῖπον τὴν ἐπιβου
λὴν, καὶ τινὰς καὶ ἄλλους ὀνόμασαν. ἀριστό-
βουλος μὲν λέγει, ὅτι καὶ καλλισθένην ἐ-
πᾶραι σφᾶς ἔφασαν ἐς τὸ τόλμημα· καὶ
πτολεμαῖος ὡσαύτως λέγει. οἱ δὲ πολλοὶ
οὐ ταύτην λέγουσι, ἀλλὰ διὰ μῖσος γὰρ
τὸ ἤδη ὂν πρὸς καλλισθένην ἐς ἀλέξαν-
δρον,



δρον, καὶ ὅτι ὁ ἑρμόλαος ἐς τὰ μάλιστα
ἐπιτήδειος ἦν τῷ καλλισθένει, οὐ χαλε-
πῶς πιστεῦσαι τὰ χείρω ὑπὲρ καλλισθέ-
νους ἀλέξανδρον. ἤδη δέ τινες καὶ τάδε
ἀνέγραψαν· τὸν ἑρμόλαον προαχθέντα ἐς
τοὺς μακεδόνας, ὁμολογεῖν τε ἐπιβουλεῦ-
σαι· καὶ γὰρ οὐκ εἶναι ἔτι ἐλευθέρῳ ἀνδρὶ,
φέρειν τὴν ὕβριν τὴν ἀλεξάνδρου· πάν-
τα καταλέγοντα, τήν τε φιλώτα οὐκ ἔν-
δικον τελευτὴν, καὶ τοῦ πατρὸς αὐτοῦ
παρμενίωνος ἔτι ἐκνομωτέραν, καὶ τῶν
ἄλλων τῶν τότε ἀποθανόντων, καὶ τὴν κλεί-
του ἐν μέθῃ ἀναίρεσιν, καὶ τὴν ἐσθῆτα τὴν
μηδικὴν, καὶ τὴν προσκύνησιν τὴν βουλευ
θεῖσαν, καὶ οὔπω πεπαυμένην, καὶ πότους
τε καὶ ὕπνους τοὺς ἀλεξάνδρου. ταῦτα οὐ
φέροντα ἔτι, ἐλευθερῶσαι ἐθελῆσαι ἑαυ-
τὸν καὶ τοὺς ἄλλους μακεδόνας. τοῦτον μὲν δὴ
αὐτόν τε καὶ τοὺς ξὺν αὐτῷ ξυλληφθέντας,
καταλευσθῆναι πρὸς τῶν παρόντων. καλλι-
σθένην δὲ ἀριστόβουλος μὲν λέγει δεδεμέ-
νον ἐν πέδαις ξυμπεριάγεσθαι τῇ στρατιᾷ,
ἔπειτα νόσῳ τελευτῆσαι. πτολεμαῖος δὲ ὁ

 λάγου,

λάγου, στρεβλωθέντα καὶ κρεμασθέντα ἀποθανεῖν. οὕτως οὐδὲ οἱ πάνυ πιστοὶ ἐς τὴν ἀφήγησιν, καὶ ξυγγενόμενοι ἐν τῷ τότε ἀλεξάνδρῳ, ὑπὲρ τῶν γνωρίμων τε καὶ οὐ λαθόντων σφᾶς ὅπως διεπράχθη, ξύμφωνα ἀνέγραψαν. πολλὰ δὲ καὶ ἄλλα ὑπὲρ τούτων αὐτῶν ἄλλοι ἄλλως ἀφηγήσαντο. ἀλλ' ἐμοὶ τὰ ἀποχρῶντα ἔστιν ἀναγεγραμμένα, ταῦτα μὲν δὴ οὐ πολλῷ ὕστερον πραχθέντα, ἐγὼ ἐν τοῖσδε τοῖς ἀμφὶ κλεῖτον ξυνενεχθεῖσιν ἀλεξάνδρῳ ἀνέγραψα τούτοις μᾶλλον, ὅτι οἰκεῖα ὑπολαβὼν ἐς τὴν ἀφήγησιν. παρ' ἀλέξανδρον δὲ ἧκε καὶ αὖθις σκυθῶν τῶν ἐκ τῆς εὐρώπης πρεσβεία, ξὺν τοῖς πρέσβεσιν, οἷς αὐτὸς ἐς σκύθας ἔστειλεν, ὁ μὲν δὴ τότε βασιλεὺς τῶν σκυθῶν, ὅτε οὗτοι ὑπ' ἀλεξάνδρου ἐπέμποντο, τετελευτηκὼς ἐτύγχανεν· ἀδελφὸς δὲ ἐκείνου ἐβασίλευε. ἦν δὲ ὁ νοῦς τῆς πρεσβείας, ἐθέλειν ποιεῖν πάντα τὰ ἐξ ἀλεξάνδρου ἐπαγγελλόμενον σκύθας. καὶ δῶρα ἔφερον ἀλεξάνδρῳ παρὰ τοῦ βασιλέως τῶν σκυθῶν, ὅσα μέγιστα νομίζεται ἐν σκύθαις. καὶ

τὴν



τὴν θυγατέρα ὅτι ἐθέλει ἀλεξάνδρῳ δοῦναι γυναῖκα, βεβαιότητος οὕνεκα τῆς πρὸς ἀλέξανδρον φιλίας τε καὶ συμμαχίας. εἰ δὲ ἀπαξιοῖ τὴν σκυθῶν βασίλειαν γῆμαι ἀλέξανδρος, ἀλλὰ τῶν γε σατραπῶν τῶν τῆς σκυθικῆς χώρας, καὶ ὅσοι ἄλλοι δυνάσται κατὰ τὴν γῆν τὴν σκυθίδα, τούτων τὰς παῖδας ἐθέλειν δοῦναι τοῖς πιστοτάτοις τῶν ἀμφ' ἀλέξανδρον. ἥξειν δὲ καὶ αὐτὸς ἔφασκεν, εἰ κελεύοιτο ὡς παρ' αὐτοῦ ἀλεξάνδρου, ἀκούσας ὅσα ἐπαγγέλλοι. ἀφίκετο δὲ ἐν τούτῳ παρ' ἀλέξανδρον καὶ φαρασμάνης ὁ χωρασμίων βασιλεὺς, ξὺν ἱππεῦσι χιλίοις καὶ πεντακοσίοις. ἔφασκε δὲ ὁ φαρασμάνης, ὅμορος οἰκεῖν τῷ τε κόλχων γένει, καὶ ταῖς γυναιξὶ ταῖς ἀμαζόσιν. καὶ εἰ ἐθέλει ἀλέξανδρος ἐπὶ κόλχους τε καὶ ἀμαζόνας ἐλάσας, καταστρέψασθαι τὰ ἐπὶ τὸν πόντον τὸν εὔξεινον, ταύτῃ καθήκοντα γένη, ὁδῶν τε ἡγεμὼν ἔσεσθαι ἐπηγγέλλετο, καὶ τὰ ἐπιτήδεια τῇ στρατιᾷ παρασκευάσειν. τοῖς τε οὖν παρὰ τῶν σκυθῶν ἥκουσι φιλάνθρωπα ἀποκρίνεται ἀλέξανδρος,

ξανδρος, καὶ ἐς τὸν τότε καιρὸν ξυμφορά· γάμου δὲ οὐδὲν δεῖσθαι σκυθικοῦ. καὶ φαρασμάνην ἐπαινέσας τε, καὶ φιλίαν καὶ ξυμμαχίαν πρὸς αὐτὸν ξυνθέμενος, αὐτῷ μὲν τότε οὐκ ἔφη ἐν καιρῷ εἶναι, ἐλαύνειν ἐπὶ τὸν πόντον. ἀρταβάζῳ δὲ τῷ πέρσῃ, ὅτῳ τὰ βακτρίων δὴ ἀλεξάνδρου ἐπιτετάχει, καὶ ὅσοι ἄλλοι πρόσχωροι τούτῳ σατράπαι, ξυστήσας φαρασμάνην ἀποπέμπει ἐς τὰ ἤθη αὐτοῦ. αὐτῷ δὲ τὰ ἰνδῶν ἔφη ἐν τῷ τότε μέλλειν, τούτους καταστρεψάμενος, πᾶσαν δὴ ἔχειν τὴν ἀσίαν. ἐχομένης δὲ τῆς ἀσίας, ἐπανιέναι ἐς τὴν ἑλλάδα. ἐκεῖθεν γὰρ ἐφ᾽ ἑλλησπόντου τε καὶ τῆς προποντίδος ξὺν τῇ δυνάμει πάσῃ, τῇ τε ναυτικῇ καὶ τῇ πεζικῇ, ἐλάσειν εἴσω τοῦ πόντου. καὶ ἐς τὸ τότε ἠξίου ἀποθέσθαι φαρασμάνην, ὅσα ἐν τῷ παραυτίκα ἐπηγγέλλετο. αὐτὸς δὲ ἐπὶ τὸν ὦξον τε ποταμὸν ᾔει αὖθις, καὶ ἐς τὴν σογδιανὴν χώραν προχωρεῖν ἐγνώκει, ὅτι πολλοὺς τῶν σογδιανῶν ἐς τὰ ἐρύματα ξυμπεφευγέναι ἠγγέλλετο, οὐδὲ ἐθέλειν κατακούειν τοῦ σατράπου, ὅσ

τις



τις αὐτοῖς δὴ ἀλεξάνδρου ἐπιτετακτο. στρατοπεδεύοντος δὲ αὐτοῦ ἐπὶ τῷ ποταμῷ τῷ ὤξῳ, οὐ μακρὰν τῆς σκηνῆς τῆς αὐτοῦ ἀλεξάνδρου, πηγὴ ὕδατος, καὶ ἄλλη ἐλαίου πλησίον αὐτῆς ἀνέσχε. καὶ πτολεμαίῳ τῷ λάγου τῷ σωματοφύλακι, ἐπειδὴ ἐσηγγέλθη τὸ τέρας, πτολεμαῖος ἀλεξάνδρῳ ἔφρασεν. ἀλέξανδρος δὲ ἔθυε ἐπὶ τῷ φάσματι, ὅσα οἱ μάντεις ἐξηγοῦντο. ἀρίστανδρος δὲ, πόνων εἶναι σημεῖον, τοῦ ἐλαίου τὴν πηγὴν ἔφασκεν, ἀλλὰ καὶ νίκην ἐπὶ τοῖς πόνοις σημαίνειν. διαβὰς οὖν ξὺν μέρει τῆς στρατιᾶς ἐς τὴν σογδιανὴν, πολυπέρχοντα δὲ καὶ ἄτταλον καὶ γοργίαν καὶ μελέαγρον αὐτοῦ ἐν βάκτροις ὑπολιπόμενος, τούτοις μὲν παρήγγελλε, τήν τε χώραν ἐν φυλακῇ ἔχειν, ὡς μήτι νεωτερίσωσιν οἱ ταύτῃ βάρβαροι, καὶ τοὺς ἔτι ἀφεστηκότας αὐτῶν ἐξαιρεῖν. αὐτὸς δὲ ἐς πέντε μέρη διελὼν τὴν ἅμα οἱ στρατιὰν, τοῦ μὲν ἡφαιστίωνα ἄρχειν ἐπέταξε. τῆς δὲ τετάρτης τάξεως, κοῖνος καὶ ἀρτάβαζος ἡγοῦντο αὐτῶν. τὴν δὲ πέμπτην μοῖραν ἀναλαβὼν αὐτὸς, ἐπῄει τὴν χώραν ὡς ἐπὶ μαράκανδα.

καὶ

καὶ οἱ ἄλλοι, ὡς ἑκάστοις προὐχώρει, ἐπῄε-
σαν, τοὺς μέν τινας τῶν ἐς τὰ ἐρύματα ξυμ-
πεφευγότων βίᾳ ἐξαιροῦντες, τοὺς δὲ καὶ
ὁμολογίᾳ προσχωροῦντας σφίσιν ἀναλαμ-
βάνοντες. ὡς δὲ ξύμπασα αὐτῷ ἡ δύνα-
μις, ἐπελθοῦσα τῶν σογδιανῶν τῆς χώρας
τὴν πολλὴν, ἐς μαράκανδα ἀφίκετο, ἡφαι-
στίωνα μὲν ἐκπέμπει, τὰς ἐν τῇ σογδιανῇ
πόλεις συνοικίζειν· κοῖνον δὲ καὶ ἀρτάβα-
ζον, ὡς ἐς σκύθας, ὅτι ἐς σκύθας καταπε-
φευγέναι σπιταμένης τε αὐτῷ ἐξηγγέλλε-
το. αὐτὸς δὲ ξὺν τῇ λοιπῇ στρατιᾷ ἐπιὼν τὴν
σογδιανῆς, ὅσα ἔτι πρὸς τῶν ἀφεστηκότων κα-
τείχετο, ταῦτα οὐ χαλεπῶς ἐξῄρει. ἐν τού-
τοις δὲ ἀλεξάνδρου ὄντος, σπιταμένης τε
καὶ σὺν αὐτῷ τῶν σογδιανῶν τινὲς φυγά-
δων, ἐς τῶν σκυθῶν καλουμένων τὴν χώ-
ραν ξυμπεφευγότες, ξυναγαγόντες τῶν
μασσαγετῶν ἱππέας ἑξακοσίους, ἀφίκοντο
πρός τι φρούριον, τῶν κατὰ τὴν βακτρια-
νήν. καὶ τῷ τε φρουράρχῳ οὐδὲν πολέμιον
προσδεχομένῳ ἐπιπεσόντες, καὶ τοῖς ξὺν
τούτῳ τὴν φυλακὴν ἔχουσι, τοὺς μὲν στρα-
τιώτας



τιώτας διέφθειραν, τὸν φρούραρχον δὲ ἑλόν-
τες ἐς φυλακὴν εἶχον. θαῤῥήσαντες δὲ
ἐπὶ τοῦ φρουρίου τῇ καταλήψει, ὀλίγαις
ἡμέραις ὕστερον ζαριάσποις πελάσαντες,
τῇ μὲν πόλει προσβαλεῖν ἀπέγνωσαν. λεί-
αν δὲ πολλὴν περιβαλλόμενοι, ἤλαυνον. ἦ-
σαν δὲ ἐν τοῖς ζαριάσποις, νόσῳ ὑπολε-
λειμμένοι τῶν ἱππέων ἑταίρων οὐ πολλοί.
καὶ ξὺν τούτοις, πείθων τε ὁ σωσικλέους
ἐπὶ τῆς βασιλικῆς θεραπείας τοῖς ἐν ζα-
ριάσποις τεταγμένος, καὶ ἀριστόνικος ὁ
κιθαρῳδός. καὶ οὗτοι αἰσθόμενοι τῶν σκυ-
θῶν τὴν καταδρομὴν (ἤδη γὰρ ἐκ τῆς νό-
σου ἀναῤῥωσθέντες, ὅπλα τε ἔφερον, καὶ
τῶν ἵππων ἐπέβαινον) ξυναγαγόντες τοὺς
τε μισθοφόρους ἱππέας ἐς ὀγδοήκοντα, οἳ
ἐπὶ φυλακῇ τῶν ζαριασπῶν ὑπολελειμμέ-
νοι ἦσαν, καὶ τῶν παίδων τινὰς τῶν βασιλι-
κῶν, ἐκβοηθοῦσιν ἐπὶ τοὺς μασσαγέτας. καὶ
τῇ μὲν πρώτῃ προσβολῇ, οὐδὲν ὑποπτεύ-
σασι τοῖς σκύθαις ἐπιπεσόντες, τήν τε
λείαν ξύμπασαν ἀφείλοντο αὐτούς, καὶ τῶν
ἀγόντων τὴν λείαν οὐκ ὀλίγους ἀπέκτει-
ναν.

ναι. ἐπανιόντων δὲ αὐτοῖ ἀτάκτως, ἅτε οὐδενὸς ἐξηγουμένου, ἐνεδρευθέντων πρὸς σπιταμένους καὶ τῶν σκυθῶν, τῶν μὲν ἑταίρων ἀποβάλλουσιν ἑπτά, τῶν δὲ μισθοφόρων ἱππέων ἑξήκοντα. καὶ ἀριστόνικος ὁ κιθαρῳδὸς αὐτοῦ ἀποθνήσκει, οὐ κατὰ κιθαρῳδὸν ἀνὴρ ἀγαθὸς γενόμενος. πείθων τε τρωθεὶς, ζῶν λαμβάνεται πρὸς τῶν σκυθῶν. καὶ ταῦτα ὡς κρατερῷ ἐξηγγέλθη, σπουδῇ ἤδη ἐπὶ μασαγέτας ἤλαυνεν. οἱ δὲ ὡς ἐπύθοντο πλησίον ἐπελαύνοντα σφίσι κρατερὸν, ἔφευγον ἀνακράτος, ὡς ἐπὶ τὴν ἐρήμην. καὶ κρατερὸς ἑπόμενος αὐτῶν, αὐτοῖς τε ἐκείνοις περιπίπτει, οὐ πόρρω τῆς ἐρήμου, καὶ ἄλλοις ἱππεῦσι μασαγετῶν ὑπὲρ τοὺς χιλίους. καὶ μάχη γίνεται τῶν μακεδόνων καὶ τῶν σκυθῶν κρατερὰ, καὶ ἐνίκων οἱ μακεδόνες. τῶν δὲ σκυθῶν ἀπέθανον μὲν ἑκατὸν, καὶ πεντήκοντα ἱππεῖς. οἱ δὲ ἄλλοι οὐ χαλεπῶς ἐπὶ τὴν ἐρήμην διεσώθησαν, ὅτι ἄπορον ἦν προσωτέρω τοῖς μακεδόσι διώκειν. καὶ ἐν τούτῳ ἀλέξανδρος ἀρτάβαζον μὲν τῆς σατραπείας τῆς βακτρι-

ων



ων, ἀπαλλάττει δεηθὲν διὰ γῆρας. ἀμύνταν δὲ, τὸν νικολάου σατράπην ἀντ' αὐτοῦ καθίστησι. κοῖνον δὲ ἀπολείπει αὐτοῦ, τήν τε αὐτοῦ τάξιν, καὶ τὴν μελεάγρου ἔχοντα, καὶ τῶν ἑταίρων ἱππέων ἐς τετρακοσίους, καὶ τοὺς ἱππακοντιστὰς πάντας, καὶ τῶν βακτριανῶν καὶ σογδιανῶν, καὶ ὅσοι ἄλλοι μετὰ ἀμύντου ἐτάχθησαν προστάξας ἅπασιν, ἀκούειν κοίνου, καὶ διαχειμάζειν αὐτοῦ ἐν τῇ σογδιανῇ, τῆς τε χώρας ἕνεκα τῆς φυλακῆς, καὶ εἴ πῃ ἄρα σπιταμένην περιφερόμενον ἐπὶ τὸν χειμῶνα ἐνεδρεύσαντας ξυλλαβεῖν. σπιταμένης δὲ, καὶ οἱ ἀμφ' αὐτὸν, ὡς φρουρᾶς τε πάντα κατειλημμένα ἑώρων ἐκ τῶν μακεδόνων, καί σφισιν ἄπορα πάντα τὰ τῆς φυγῆς ἐγίγνετο, ὡς ἐπὶ κοῖνόν τε καὶ τὴν ξὺν τούτῳ στρατιὰν ἐτράποντο, ὡς ταύτῃ μᾶλλόν τι ἀξιόμαχοι ἐσόμενοι, ἀφικόμενοι δὲ ἐς γαβὰς, χωρίον τῆς σογδιανῆς, ὀχυρὸν, ἐν μεθορίῳ τῆς τε σογδιανῶν γῆς καὶ τῆς μασαγετῶν σκυθῶν ᾠκισμένον, ἀναπείθουσιν οὐ χαλεπῶς τῶν σκυθῶν ἱππέας ἐς τρισχιλίους συνεμβαλεῖν σφίσιν ἐς τὴν σογδιανήν.

νῦν. οἱ δὲ σκύθαι οὗτοι ἀπορίᾳ τε πολλῇ
ἔχονται, καὶ ἅμα ὅτι οὔτε πόλεις εἰσὶν αὐ-
τοῖς, οὔτε ἑδραῖοι οἰκοῦσιν, ὡς δεδιέναι
ἂν περὶ τῶν φιλτάτων, οὐ χαλεποὶ ἀνα-
πεισθῆναί εἰσιν ἐς ἄλλον καὶ ἄλλον πόλε-
μον. ὡς δὲ κοῖνός τε καὶ οἱ ἀμφ' αὐτὸν ἔμα-
θον προσιόντας τοὺς ξὺν σπιταμένου ἱπ-
πέας, ἀπαντῶσι καὶ αὐτοὶ μετὰ τῆς στρα-
τιᾶς. καὶ γίγνεται αὐτοῖς μάχη καρτερά,
καὶ νικῶσιν οἱ μακεδόνες· ὥστε τῶν μὲν
βαρβάρων ἱππέων ὑπὲρ τοὺς ὀκτακοσίους
πεσεῖν ἐν τῇ μάχῃ, τῶν δὲ ξὺν κοίνῳ ἱππέας
μὲν ἐς εἴκοσι καὶ πέντε, πεζοὺς δὲ δώδε-
κα. οἵ τε οὖν σογδιανοί, οἱ ἔτι ὑπολειπόμε-
νοι ξὺν σπιταμένῃ, καὶ τῶν βακτρίων πολ
λοί, ἀπολείπουσιν ἐν τῇ φυγῇ σπιταμένην·
καὶ ἀφικόμενοι παρὰ κοῖνον, παρέδωσαν
σφᾶς αὐτοὺς κοίνῳ. οἵ τε μασσαγέται οἱ σκύ
θαι κακῶς πεπραγότες, τὰ μὲν σκευοφό-
ρα τῶν ξυμπαραταξαμένων σφίσι βακ-
τρίων τε καὶ σογδιανῶν, διήρπασαν. αὐτοὶ
δὲ ξὺν σπιταμένῃ ἐς τὴν ἔρημον ἔφευγον.
ὡς δὲ ἐξηγγέλλετο αὐτοῖς ἀλέξανδρος ἐν
ὁρμῇ



ὁρμῇ ὢν ἐπὶ τὴν ἔρημον ἐλαύνειν, ἀποτε-
μόντες τοῦ σπιταμένου τὴν κεφαλὴν, πα-
ρὰ ἀλέξανδρον πέμπουσιν, ὡς ἀποστρέ-
ψοντες ἀπὸ σφῶν αὐτὸν τούτῳ τῷ ἔργῳ.
καὶ ἐν τούτῳ κοῖνός τε ἐς ναύτακα παρ'
ἀλέξανδρον ἐπανέρχεται, καὶ οἱ ἀμφὶ κρα-
τερόν τε καὶ φραταφέρνην, τὸν τῶν παρθυ
αίων σατράπην, καὶ στασάνωρ ἀρείων,
πεπραγμένων σφίσι πάντων ὅσα ἐξ ἀλε-
ξάνδρου ἐτέτακτο. ἀλέξανδρος δὲ περὶ
ναύτακα ἀναπαύων τὴν στρατιὰν, ὅτι περ
ἀκμαῖον τοῦ χειμῶνος, φραταφέρνην μὲν
ἀποστέλλει ἐς μάρδους, καὶ ταπείρους, φρα-
δάτην ἐπανάξοντα τὸν σατράπην, ὅτι
πολλάκις ἤδη μετάπεμπτος ἐξ ἀλεξάν-
δρου γιγνόμενος, οὐχ ὑπήκουε καλοῦντι.
στασάνωρα δὲ ἐς δράγγας σατράπην ἐκ-
πέμπει, ἐς μήδους δὲ ἀτροπάτην ἐπὶ σα-
τραπείᾳ. καὶ ταύτῃ τῇ μήδων, ὅτι ὀξυδά-
της ἐθελοκακεῖν αὐτῷ ἐφαίνετο. σταμένην
δὲ ἐπὶ βαβυλῶνος στέλλει, ὅτι μαζαῖος ὁ
βαβυλῶνος ὕπαρχος τετελευτηκέναι αὐ-
τῷ ἐξηγγέλλετο. σώπολιν δὲ καὶ ἐπόκιλλον

καὶ μένιδαν ἐς μακεδονίαν ἐκπέμπει, τὴν στρατιὰν τὴν ἐκ μακεδονίας αὐτῷ ἀνάξοντας. ἅμα δὲ τῷ ἦρι ὑποφαίνοντι, προὐχώρει ὡς ἐπὶ τὴν ἐν τῇ σογδιανῇ πέτραν, ἐς ἣν πολλοὺς μὲν τῶν σογδιανῶν ξυμπεφευγέναι αὐτῷ ἐξηγγέλλετο. καὶ ἡ ὀξυάρτου δὲ γυνὴ τοῦ βακτρίου, καὶ αἱ παῖδες αἱ ὀξυάρτου, ἐς τὴν πέτραν ταύτην ξυμπεφευγέναι ἐλέγοντο, ὀξυάρτου αὐτὰς ὡς ἐς ἀνάλωτον δῆθεν τὸ χωρίον ἐκεῖνο ὑπεκθεμένου· ὅτι καὶ αὐτὸς ἀφεστήκει ἀπ' ἀλεξάνδρου. ταύτης γὰρ ἐξαιρεθείσης, οὐκέτι οὐδὲν ὑπολειφθήσεσθαι ἐδόκει τῶν σογδιανῶν, τοῖς νεωτερίζειν ἐθέλουσιν. ὡς δὲ ἐπέλασαν τῇ πέτρᾳ, καταλαμβάνει πάντῃ ἀπότομον ἐς τὴν προσβολήν. σιτία τε ξυγκεκομισμένους τοὺς βαρβάρους, ὡς ἐς χρόνιον πολιορκίαν, καὶ χιὼν πολλὴ ἐπιπεσοῦσα, τήν τε πρόσβασιν ἀπορωτέραν ἐποίει τοῖς μακεδόσι· καὶ ἅμα ἐν ἀφθονίᾳ ὕδατος τοὺς βαρβάρους ἦγε. ἀλλὰ καὶ ὣς προσβάλλειν ἐδόκει τῷ χωρίῳ· καὶ γάρ τι καὶ ὑπέρογκον ὑπὸ τῶν βαρβάρων λε-

χθὲν



χθὲν, ἐς φιλοτιμίαν ξὺν ὀργῇ ἐμβεβλήκει ἀλέξανδρον· προκληθέντες γὰρ ἐς ξύμβασιν, καὶ προτεινομένου σφίσιν ὅτι σώοις ὑπάρχει ἐπὶ τὰ σφέτερα ἀπαλλαγῆναι, παραδοῦσι τὸ χωρίον. οἱ δὲ σὺν γέλωτι βαρβαρίζοντες, πτηνοὺς ἐκέλευον ζητεῖν στρατιώτας ἀλέξανδρον, οἵτινες αὐτῷ ἐξαιρήσουσι τὸ ὄρος, ὡς τῶν γε ἄλλων ἀνθρώπων οὐδὲ μίαν ὤραν σφίσιν οὖσαν. ἔνθα δὴ ἐκήρυξεν ἀλέξανδρος τῷ μὲν πρώτῳ ἀναβάντι, δώδεκα τάλαντα εἶναι τὸ γέρας· δευτέρῳ δὲ ἐπὶ τούτῳ, τὰ δεύτερα, καὶ τρίτῳ τὰ ἐφεξῆς· ὡς τελευταῖον εἶναι τῷ τελευταίῳ ἀνελθόντι, τριακοσίους δαρεικοὺς τὸ γέρας. καὶ τοῦτο τὸ κήρυγμα παρώξυνεν ἔτι μᾶλλον ἄλλως τοὺς μακεδόνας ὡρμημένους. ξυνταξάμενοι δὲ ὅσοι πετροβατεῖν ἐν ταῖς πολιορκίαις αὐτῷ μεμελετήκεσαν, τριακοσίους τὸν ἀριθμόν· καὶ πασσάλους μικροὺς σιδηροῦς, οἷς αἱ σκηναὶ καταπεπήγεσαν αὐτοῖς, παρασκευάσαντες τοῦ καταπηγνύναι αὐτοὺς, ἔς τε τὴν χιόνα

 ὅπου

ὅπου πεπηγυῖα φανείη, καὶ ὅπου τι τῆς χώρας ἔρημον χιόνος ὑποφαίνοιτο, καὶ τούτους καλωδίοις ἐκ λίνου ἰσχυροῦ ἐκδήσαντες τῆς νυκτὸς, προὐχώρουν κατὰ τὸ ἀποτομώτατόν τε τῆς πέτρας, καὶ ταύτῃ ἀφυλακτότατον. καὶ τούτους τοὺς πασσάλους καταπηγνύντες, τοὺς μὲν εἰς τὴν γῆν ὅπου διεφαίνετο, τοὺς δὲ καὶ τῆς χιόνος ἐς τὰ μάλιστα οὐ θρυφθησόμενα, ἀνεῖλκον σφᾶς αὐτοὺς ἄλλοι ἄλλῃ τῆς πέτρας. καὶ τούτων ἐς τριάκοντα μὲν ἐν τῇ ἀναβάσει διεφθάρησαν· ὥστε οὐδὲ τὰ σώματα αὐτῶν ἐς ταφὴν εὑρέθη, ἐκπεσόντα ἄλλῃ καὶ ἄλλῃ τῆς χιόνος. οἱ δὲ λοιποὶ ἀναβάντες ὑπὸ τὴν ἕω, καὶ τὸ ἄκρον τοῦ ὄρους καταλαβόντες, σινδόνας κατέσειον ὡς ἐπὶ τὸ στρατόπεδον τῶν μακεδόνων· οὕτως αὐτοῖς ἐξ ἀλεξάνδρου παρηγγελμένον. πέμψας δὲ κήρυκα, ἐμβοῆσαι ἐκέλευσε τοῖς προφυλάσσουσι τῶν βαρβάρων, μὴ διατρίβειν ἔτι, ἀλλὰ παραδιδόναι σφᾶς· ἐξευρῆσθαι γὰρ δὴ τοὺς πτηνοὺς ἀνθρώπους, καὶ ἔχεσθαι ὑπ' αὐτῶν τοῦ ὄρους τὰ ἄκρα. καὶ ἅμα ἐδεί-

κνυον



κνυον τοὺς ὑπὲρ τῆς κορυφῆς στρατιώτας. οἱ δὲ βάρβαροι ἐκπλαγέντες τῷ παραλόγῳ τῆς ὄψεως, καὶ πλείονάς τε ὑποτοπήσαντες εἶναι τοὺς κατέχοντας τὰ ἄκρα, καὶ ἀκριβῶς ὡπλισμένους, ἐνέδοσαν σφᾶς αὐτοὺς, οὕτω πρὸς τὴν ὄψιν τῶν ὀλίγων ἐκείνων μακεδόνων φοβεροὶ ἐγένοντο. ἔνθα δὴ ἄλλων τε πολλῶν γυναῖκες καὶ παῖδες ἐλήφθησαν, καὶ ἡ γυνὴ ἡ ὀξυάρτου, καὶ οἱ παῖδες. καὶ γὰρ ἦν ὀξυάρτου παῖς παρθένος ἐν ὥρᾳ γάμου ῥωξάνη ὄνομα, ἣν δὴ καλλίστην τῶν ἀσιανῶν γυναικῶν λέγουσιν ὀφθῆναι τοῖς ἀλεξάνδρῳ στρατεύσαντες, μετά γε τὴν γυναῖκα δαρείου. καὶ ταύτην ἰδόντα ἀλέξανδρον, ἐς ἔρωτα ἐλθεῖν αὐτῆς. ἐρασθέντα δὲ, οὐκ ἐθελῆσαι ὑβρίσαι καθάπερ αἰχμάλωτον, ἀλλὰ γῆμαι γὰρ οὐκ ἀπαξιῶσαι. καὶ τοῦτο ἐγὼ ἀλεξάνδρου τὸ ἔργον ἐπαινῶ μᾶλλόν τι, ἢ μέμφομαι. καίτοι τὴν δαρείου, ἣ καλλίστη δὴ ἐλέγετο τῶν ἐν τῇ ἀσίᾳ γυναικῶν, ἢ οὐκ ἦλθεν ἐς ἐπιθυμίαν, ἢ καρτερὸς αὐτὸς αὐτοῦ ἐγένετο· νέος τε ὤν, καὶ τὰ μάλιστα ἐν ἀκμῇ τῆς εὐ-

 τυχίας,

τυχίας, ὁπότε ὑβρίζουσιν οἱ ἄνθρωποι. ὁ δὲ, κατηλέησέ τε καὶ ἐφείσατο, σωφροσύνῃ τε πολλῇ διαχρώμενος, καὶ δόξης ἅμα ἀγαθῆς, οὐκ ἀτόπως ἐφίετο. καὶ τίνα καὶ λόγος κατέχει, ὀλίγον κατὰ τὴν μάχην, ἢ πρὸς ἰσσῷ δαρείῳ τε καὶ ἀλεξάνδρῳ συνέβη, ἀποδράντα ἐλθεῖν παρὰ δαρεῖον τὸν εὐνοῦχον τὸν φύλακα αὐτῷ τῆς γυναικός. καὶ τοῦτον ὡς εἶδε δαρεῖος, πρῶτα μὲν πυθέσθαι, εἰ ζῶσιν αὐτῷ αἱ παῖδες, καὶ οἱ υἱοί, καὶ ἡ γυνή τε καὶ ἡ μήτηρ· ὡς δὲ ζώσας ἐπύθετο, καὶ βασίλισσαι ὅτι καλοῦνται, καὶ ἡ θεραπεία ὅτι ἀμφ' αὐτάς ἐστιν, ἥν τινα καὶ ἐπὶ δαρείου ἐθεραπεύοντο, ἐπὶ τῷδε αὖ πυθέσθαι, εἰ σωφρονεῖ αὐτῷ ἡ γυνὴ ἔτι· ὡς δὲ σωφρονοῦσαν ἐπύθετο, αὖθις ἐρέσθαι, μή τι βίαιον ἐξ ἀλεξάνδρου αὐτῇ ἐς ὕβριν ξυνέβη· καὶ τὸν εὐνοῦχον ἐπομόσαντα φάναι, ὅτι ὦ βασιλεῦ, οὕτω τοι ὡς ἀπέλιπες ἔχει ἡ σὴ γυνή· καὶ ἀλέξανδρος, ἀνδρῶν ἄριστός τε ἐστὶ, καὶ σωφρονέστατος. ἐπὶ τῷδε ἀνατεῖναι δαρεῖον ἐς τὸν οὐρανὸν τὰς χεῖρας, καὶ εὔξασθαι ὧδε· ἀλλ' ὦ ζεῦ

Βασι-



βασιλεῦ, ὅτῳ ἐπιτέτραπται νέμειν τὰ βασιλέων πράγματα ἐν ἀνθρώποις, σὺ νῦν μάλιστα μὲν ἐμοὶ φύλαξον περσῶν τε καὶ μήδων τὴν ἀρχὴν, ὥσπερ οὖν καὶ ἔδωκας. εἰ δὲ δὴ ἐγὼ οὐκέτι σοι βασιλεὺς τῆς ἀσίας, σὺ δὲ μηδενὶ ἄλλῳ, ὅτι μὴ ἀλεξάνδρῳ παραδοῦναι τὸ ἐμὸν κράτος. οὕτως οὐδὲ πρὸς τῶν πολεμίων ἄρα ἀμελεῖται, ὅσα σώφρονα ἔργα. ὀξυάρτης δὲ ἀκούσας τοὺς παῖδας ἐχομένους, ἀκούσας δὲ καὶ ὑπὲρ ῥωξάνης τῆς θυγατρὸς, ὅτι μέλει αὐτῆς ἀλεξάνδρῳ, θαρσήσας ἀφίκετο πρὸς ἀλέξανδρον, καὶ ἦν ἐν τιμῇ παρ' αὐτῷ, ἅπερ εἰκὸς ἐπὶ ξυντυχίᾳ τοιαύτῃ. ἀλέξανδρος δὲ ὡς τὰ ἐν σογδιανοῖς αὐτῷ διαπέπρακτο, ἐχομένης ἤδη καὶ τῆς πέτρας, ἐς παρατάκας προὐχώρει· ὅτι καὶ ἐν παρατάκαις χωρίον τι ὀχυρὸν, ἄλλην πέτραν κατέχειν ἐλέγετο πολλοὶ τῶν βαρβάρων. ἐκαλεῖτο δὲ αὕτη, χοριήνου ἡ πέτρα. καὶ ἐς αὐτὴν αὐτός τε ὁ χοριήνης ξυμπεφεύγει, καὶ ἄλλοι τῶν ὑπάρχων οὐκ ὀλίγοι. ἦν δὲ τὸ μὲν ὕψος τῆς πέτρας, ἐς σταδίους εἴκοσι· κύκλῳ δὲ, ἐς ἑξήκοντα. αὐτὴ δὲ ἀπότομος,



πάντο-

πάντοθεν. ἄνοδος δὲ ἐς αὐτὴν μία καὶ αὕ-
τη στενή τε καὶ οὐκ εὔπορος, οἷα δὴ παρὰ
τὴν φύσιν τοῦ χωρίου πεποιημένη, ὡς χα-
λεπὴ εἶναι, καὶ μηδενὸς εἴργοντος καὶ κα-
θένα ἀνελθεῖν. φάραγξ δὲ κύκλῳ περιείρ-
γει τὴν πέτραν βαθεῖα, ὥς τε ὅς τις προσά-
ξειν στρατιὰν τῇ πέτρᾳ ἔμελλε, πολὺ πρό-
σθεν αὐτῷ τὴν φάλαγγα εἶναι χωστέον, ὡς
ἐξ ὁμαλοῦ ὁρμᾶσθαι προσάγοντα ἐς προσ-
βολὴν τὸν στρατόν. ἀλλὰ καὶ ὣς ἀλέξανδρος
ἥπτετο τοῦ ἔργου, οὕτω πάντα ᾤετο χρῆναι
βατά τε αὐτῷ καὶ ἐξαιρετέα εἶναι, ἐς τοσόν
δε τόλμης τε καὶ εὐτυχίας προκεχωρήκει·
τέμνων δὴ τὰς ἐλάτας (πολλαὶ γὰρ καὶ
ὑπερύψηλοι ἐλάται ἦσαν ἐν κύκλῳ τοῦ
ὄρους) κλίμακας ἐκ τούτων ἐποίει, ὡς κάθο
δον εἶναι ἐς τὴν φάραγγα τῇ στρατιᾷ· οὐ γὰρ
ἦν ἄλλως κατελθεῖν ἐς αὐτήν. καὶ τὰς μὲν
ἡμέρας αὐτὸς ἀλέξανδρος ἐφειστήκει τῷ ἔρ
γῳ, τὸ ἥμισυ τοῦ στρατοῦ ἔχων ἐργαζόμε-
νον. τὰς δὲ νύκτας ἐν μέρει οἱ σωματοφύ-
λακες, περδίκκας τε καὶ λεοννάτος καὶ
πτολεμαῖος ὁ λάγου τῷ λοιπῷ μέρει τῆς
στρατιᾶς



στρατιᾶς τριχῇ διανενεμημένῳ, ὅπερ αὐ-
τῷ ἐς τὴν νύκτα ἐπετέτακτο. ἤνυτον δὲ
τῆς ἡμέρας οὐ πλέον, ἢ εἴκοσι πήχεις·
καὶ τῆς νυκτὸς, ὀλίγον ἀποδέον. καίτοι ξυμ
πάσης τῆς στρατιᾶς ἐργαζομένης, οὕτω τό,
τε χωρίον ἄπορον ἦν, καὶ τὸ ἔργον ἐν αὐτῷ
χαλεπόν. κατιόντες δὲ τὴν φάραγγα, πασ
σάλους κατέπηγνυον, ἐς τὸ ὀξύτατον τῆς
φάραγγος διέχοντας ἀλλήλων, ὅσον ξύμ-
μετρον πρὸς ἰσχύν τε καὶ ξυνοχὴν τῶν ἐπι-
βαλλομένων. ἐπέβαλλον δὲ πλέγματα ἐκ
λύγων, ἐς γεφύρας μάλιστα ἰδέαν· καὶ ταῦ
τα ξυνδοῦντες, χοῦν ἄνωθεν ἐπεφόρουν,
ὡς ἐξ ὁμαλοῦ γίγνεσθαι τῇ στρατιᾷ τὴν πρόσ
οδον τὴν πρὸς τὴν πέτραν. οἱ δὲ βαρβα-
ροι, τὰ μὲν πρῶτα κατεφρόνουν, ὡς ἀπό-
ρου πάντῃ τοῦ ἐγχειρήματος. ὡς δὲ τοξεύ-
ματα ἤδη ἐς τὴν πέτραν ἐξικνεῖτο, καὶ
αὐτοὶ ἀδύνατοι ἦσαν ἄνωθεν ἐξείργειν τοὺς
μακεδόνας (πεποίητο γὰρ αὐτοῖς προκα-
λύμματα πρὸς τὰ βέλη ὑπ᾽ αὐτοῖς, ἀβλα-
βῶς ἐργάζεσθαι) ἐκπλαγεὶς ὁ χοριήνης πρὸς
τὰ γιγνόμενα, κήρυκα πέμπει πρὸς ἀλέ-
ξανδρον

ξάνδρου, δεόμενος ὀξυάρτην οἱ ἀναπέμψαι. καὶ πέμπει ὀξυάρτην ἀλέξανδρος. ὁ δὲ ἀφικόμενος, πείθει χοριήνην ἐπιτρέψαι ἀλεξάνδρῳ αὑτόν τε, καὶ τὸ χωρίον· βίᾳ μὲν γὰρ οὐδὲν ὅτι οὐχ ἁλωτὸν εἶναι ἀλεξάνδρῳ, καὶ τῇ στρατιᾷ τῇ ἐκείνου. ἐς πίστιν δὲ ἐλθόντος, καὶ φιλίαν, τὴν πίστιν τε καὶ δικαιότητα μεγάλως τι ἐπῄνει τοῦ βασιλέως· τά τε ἄλλα, καὶ τὸ αὑτοῦ ἐν πρώτοις ἐς βεβαίωσιν τοῦ λόγου προφέρων. τούτοις πεισθεὶς ὁ χοριήνης, αὐτός τε ἧκε παρ' ἀλέξανδρον, καὶ τῶν οἰκείων τινὲς τῶν ἑταίρων αὐτοῦ. ἐλθόντι δὲ χοριήνῃ φιλάνθρωπά τε ἀποκρινάμενος, καὶ πίστιν ἐς φιλίαν δοὺς, αὐτὸν μὲν κατέχει, πέμψαι δὲ κελεύει τῶν συγκατελθόντων τινὰς αὐτῷ ἐς τὴν πέτραν, τοὺς κελεύσοντας ἐνδοῦναι τὸ χωρίον· καὶ ἐνδίδοται ὑπὸ τῶν ξυμπεφευγότων. ὥστε καὶ αὐτὸς ἀλέξανδρος ἀναλαβὼν τῶν ὑπασπιστῶν ἐς πεντακοσίους, ἀνέβη κατὰ θέαν τῆς πέτρας. καὶ τοσούτῳ ἐδέησεν ἀνεπιεικές τι ἐς τὸν χοριήνην ἔργον ἀποδείξασθαι, ὥστε καὶ αὐτὸ τὸ χωρίον ἐκεῖνο

ἐπιτρέ



ἐπιτρέπει χοριήνῃ, καὶ ὕπαρχον εἶναι, ὅσωνπερ καὶ πρόσθεν ἐδίδωκε. ξυνέβη δὲ χειμῶνί τε κακοπαθῆσαι αὐτῷ τὴν στρατιὰν, πολλῆς χιόνος πεσούσης ἐν τῇ πολιορκίᾳ, καὶ ἅμα ἀπορίᾳ τῶν ἐπιτηδείων ἐπιέσθησαν. ἀλλὰ χοριήνης ἐς δίμηνον σιτία ἔφη δώσειν τῇ στρατιᾷ. καὶ ἐδίδωκε σῖτόν τε καὶ οἶνον τῶν ἐν τῇ πέτρᾳ ἀποθέτων, κρέα τε ἀλεχηρὰ κατασκευήν. καὶ ταῦτα δοὺς, οὐκ ἔφασκεν ἀναλῶσαι τῶν παρεσκευασμένων ἐς τὴν πολιορκίαν, οὐδὲ τὴν δεκάτην μοῖραν. ἔνθεν ἐν τιμῇ μᾶλλον τῷ ἀλεξάνδρῳ ἦν, ὡς οὐ πρὸς βίαν μᾶλλον, ἢ κατὰ γνώμην ἐνδοὺς τὴν πέτραν. ταῦτα δὲ διαπραξάμενος ἀλέξανδρος, αὐτὸς μὲν ἐς βάκτρα ᾔει. κρατερὸν δὲ τῶν ἑταίρων ἱππέας ἔχοντα ἑξακοσίους, καὶ τῶν πεζῶν τήν τε αὐτοῦ τάξιν, καὶ τὴν πολυπέρχοντος καὶ ἀττάλου, καὶ τὴν ἀλκέτα, ἐπὶ κατάνην τε καὶ αὐστάνην ἐκπέμπει, οἳ δὴ μόνοι ἔτι ὑπελείποντο ἐν τῇ παρειτακηνῶν χώρᾳ ἀφεστηκότες. καὶ μάχης γενομένης πρὸς αὐτοὺς καρτερᾶς, νικῶσιν οἱ ἀμφὶ κρατερὸν τῇ μάχῃ. καὶ κατάνης

μὲν

μὲν ἀποθνήσκει αὐτοῦ μαχόμενος. αὐστάνης δὲ ξυλληφθεὶς, ἀνήχθη παρ' ἀλέξανδρον. τῶν δὲ ξὺν αὐτοῖς βαρβάρων, ἱππεῖς μὲν ἀπέθανον ἑκατὸν καὶ εἴκοσι· πεζοὶ δὲ, ἀμφὶ τοὺς χιλίους πεντακοσίους. ταῦτα δὲ ὡς ἐπράχθη τοῖς ἀμφὶ κρατερὸν, καὶ οὗτοι ἐν βάκτρα ἦσαν· καὶ ἐν βάκτροις, τὸ ἀμφὶ καλλισθένην τε καὶ τοὺς παῖδας πάθημα, ἀλεξάνδρῳ ξυνηνέχθη. ἐκ βάκτρων δὲ ἐξήκοντος ἤδη τοῦ ἦρος, ἀναλαβὼν τὴν στρατιὰν, προὐχώρει ὡς ἐπὶ ἰνδοὺς, ἀμύνταν ἀπολιπὼν ἐν τῇ χώρᾳ τῶν βακτρίων, καὶ ξὺν αὐτῷ ἱππέας μὲν τρισχιλίους καὶ πεντακοσίους, πεζοὺς δὲ μυρίους. ὑπερβαλὼν δὲ τὸν καύκασον ἐν δέκα ἡμέραις, ἀφίκετο ἐν ἀλεξάνδρειαν πόλιν, τὴν κτισθεῖσαν ἐν παραπαμισάδαις, ὅτε τὸ πρῶτον ἐπὶ βάκτρων ἐστέλλετο. καὶ τὸν μὲν ὕπαρχον, ὅς τις αὐτῷ ἐπὶ τῆς πόλεως τότε ἐτάχθη, παραλύει τῆς ἀρχῆς, ὅτι οὐ καλῶς ἐξηγεῖσθαι ἔδοξε. προσκατοικίσας δὲ καὶ ἄλλους τῶν περιοίκων τε, καὶ ὅσοι τῶν στρατιωτῶν ἀπόμαχοι ἦσαν ἐν τὴν ἀλεξάνδρειαν, νι-

νικάνορα



κάνορα μὲν ἕνα τῶν ἑταίρων, τὴν πόλιν αὐτὴν κοσμεῖν ἐκέλευσε. σατράπην δὲ τυριάσπην κατέστησε τῆς χώρας τῆς παραπαμισάδων, καὶ τῆς ἄλλης, ἐς τε ἐπὶ τὸν κωφῆνα ποταμόν. ἀφικόμενος δὲ ἐν νίκαιαν πόλιν, καὶ τῇ ἀθηνᾷ θύσας, προὐχώρει ὡς ἐπὶ τὸν κωφῆνα· προπέμψας κήρυκα, ὡς ταξίλην τε καὶ τοὺς ἐπὶ τάδε τοῦ ἰνδοῦ ποταμοῦ, κελεύσας ἀπαντᾶν ὅπως ἂν ἑκάστοις προχωρῇ. καὶ ταξίλης τε καὶ οἱ ἄλλοι ὕπαρχοι ἀπήντων, δῶρα τὰ μέγιστα παρ' ἰνδοῖς νομιζόμενα κομίζοντες. καὶ τοὺς ἐλέφαντας δώσειν ἔφασκον, τοὺς παρὰ φάσιν ὄντας, ἀριθμὸν ἐν πέντε καὶ εἴκοσι. ἔνθα δὴ διελὼν τὴν στρατιὰν, ἡφαιστίωνα μὲν καὶ περδίκκαν ἐκπέμπει ἐν τὴν πευκελαῶτιν χώραν, ὡς ἐπὶ τὸν ἰνδὸν ποταμὸν, ἔχοντας τήν τε γοργίου τάξιν, καὶ μελεάγρου, καὶ τῶν ἑταίρων ἱππέων τοὺς ἡμίσεας, καὶ τοὺς μισθοφόρους ἱππέας ξύμπαντας· προστάξας, τά τε κατὰ τὴν ὁδὸν χωρία, βίᾳ ἐξαιρεῖν, ἢ ὁμολογίᾳ παρίστασθαι· καὶ ἐπὶ τὸν ἰνδὸν ποταμὸν ἀφικομένους,

παρα-

παρασκευάζειν ὅσα ἐς τὴν διάβασιν τοῦ ποταμοῦ ξύμφορα. ξὺν τούτοις δὲ καὶ ταξίλης, καὶ οἱ ἄλλοι ὕπαρχοι στέλλονται. καὶ οὗτοι ὡς ἀφίκοντο πρὸς τὸν ἰνδὸν ποταμόν, ἔπραξαν ὅσα ἀλεξάνδρου ἦν τεταγμένα. ἄστις δέ, ὁ τῆς πευκελαώτιδος χώρας ὕπαρχος, νεωτερίσας, αὐτός τε ἀπώλετο, καὶ τὴν πόλιν προσαπώλεσεν, ἐς ἥν τινα ξυμπεφεύγει. ἐξεῖλον γὰρ αὐτὴν ἐν τριάκοντα ἡμέραις προσκαθήμενοι, οἱ ξὺν ἡφαιστίωνι. καὶ αὐτὸς δὲ ἄστις ἀποθνήσκει, τῆς πόλεως δὲ ἐπιμελεῖσθαι ἐτάχθη σαγγαῖος ὃς ἔτι πρόσθεν πεφευγὼς ἄστιν, παρὰ ταξίλην ηὐτομολήκει. καὶ τοῦτο ἦν αὐτῷ τὸ πιστὸν πρὸς ἀλέξανδρον. ἀλέξανδρος δὲ ἄγων τοὺς ὑπασπιστὰς, καὶ τῶν ἑταίρων ἱππέων ὅσοι μὴ ξὺν ἡφαιστίωνι ἐτετάχατο, καὶ τῶν ἀσθεταίρων καλουμένων τὰς τάξεις, καὶ τοὺς τοξότας, καὶ τοὺς ἀγριάνας, καὶ τοὺς ἱππακοντιστὰς, προὐχώρει ἐς τὴν ἀσπίων τε καὶ θυραίων χώραν, καὶ ἀρασακῶν. πορευθεὶς δὲ παρὰ τὸν χόην καλούμενον ποταμὸν, ὀρεινήν τε ὁδὸν καὶ τραχεῖαν, καὶ

τοῦτον



τοῦτον διαβὰς χαλεπῶς, τὸ μὲν πεζὸν πλῆθος βάδην ἕπεσθαί οἱ ἐκέλευσεν. αὐτὸς δὲ ἀναλαβὼν τοὺς ἱππέας ξύμπαντας, καὶ τῶν πεζῶν τῶν μακεδόνων ἐς ὀκτακοσίους ἐπιβιβάσας τῶν ἵππων ξὺν ταῖς ἀσπίσι ταῖς πεζικαῖς, σπουδῇ ἦγεν, ὅτι τοὺς ταύτῃ οἰκοῦντας βαρβάρους ξυμπεφευγέναι ἐς τὰ ὄρη, τὰ κατὰ τὴν χώραν ἐξηγγέλλετο αὐτῷ, καὶ ἐς τὰς πόλεις, ὅσαι ὀχυραὶ αὐτῶν εἰς τὸ ἀπομάχεσθαι. καὶ τούτων τῇ πρώτῃ καθ᾽ ὁδὸν πόλει ᾠκισμένῃ προσβαλὼν, τοὺς μὲν πρὸ τῆς πόλεως τεταγμένους, ὡς εἶχεν, ἐξ ἐφόδου ἐτρέψατο, καὶ κατέκλεισεν εἰς τὴν πόλιν. αὐτὸς δὲ τιτρώσκεται βέλει διὰ τοῦ θώρακος, εἰς τὸν ὦμον. τὸ δὲ τραῦμα, οὐ χαλεπὸν αὐτῷ ἐγένετο. ὁ γὰρ θώραξ ἔσχε τὸ μὴ οὐ διαμπὰξ διὰ τοῦ ὤμου ἐλθεῖν τὸ βέλος. καὶ πτολεμαῖος ὁ λάγου ἐτρώθη, καὶ λεοννάτης. τότε μὲν δὴ ἵνα ἐπιμαχώτατον τοῦ τείχους ἐφαίνετο, ἐστρατοπεδεύσατο πρὸς τῇ πόλει. τῇ δὲ ὑστεραίᾳ ὑπὸ τὴν ἕω, διπλοῦν γὰρ τεῖχος περιεβέβλητο τῇ πόλει, ἐς μὲν τὸ πρῶτον ἅτε

οὐκ

οὐκ ἀκριβῶς τετειχισμένου, οὐ χαλεπῶς ἐβιάσαντο οἱ μακεδόνες. πρὸς δὲ τὸ δεύτερον ὀλίγον ἀντισχόντες οἱ βάρβαροι, ὡς ἅ τε κλίμακες προσέκειντο ἤδη, καὶ ἀπὸ τῶν βελῶν πάντοθεν ἐτιτρώσκοντο οἱ προμαχόμενοι, οὐκ ἔμειναν. ἀλλὰ ἐπὶ τὰς πύλας, ὡς ἐπὶ τὰ ὄρη ἐκπίπτουσι τῆς πόλεως. καὶ τούτων οἱ μὲν ἐν τῇ φυγῇ ἀποθνήσκουσιν· ὅσους δὲ ζῶντας ἔλαβον αὐτῶν, ξύμπαντας ἀποκτείνουσιν οἱ μακεδόνες, ὅτι ἐτρώθη ὑπ' αὐτῶν ἀλέξανδρος ὀργιζόμενοι. οἱ πολλοὶ δὲ ἐς τὰ ὄρη, ὅτι οὐ μακρὰν τῆς πόλεως τὰ ὄρη ἦν, ἀπέφυγον. τὴν πόλιν δὲ κατασκάψας, ἐς ἄνδακα ἄλλην πόλιν ἦγε. ταύτην δὲ ὁμολογίᾳ ἐνδοθεῖσαν κατασχὼν, κρατερὸν μὲν ξὺν τοῖς ἄλλοις ἡγεμόσι τῶν πεζῶν καταλείπει αὐτοῦ, ἐξαιρεῖν ὅσαι ἂν ἄλλαι πόλεις μὴ ἑκοῦσαι προσχωρῶσιν κατὰ τὴν χώραν, ὅπως ξυμφορώτατον ἕκαστον παρόντα κοσμεῖν. αὐτὸς δὲ ἄγων τοὺς ἱππακοντιστὰς, καὶ τοὺς τοξότας, καὶ τοὺς ἀγριᾶνας, καὶ τὴν κοίνου τε καὶ ἀττάλου τάξιν, καὶ τῶν ἱππέων τὸ ἄγημα, καὶ

τῶν



τῶν ἄλλων ἑταίρων ἐς τέσσαρας μάλιστα ἱππαρχίας, καὶ τῶν ἱπποτοξοτῶν τοὺς ἡμίσεας, ὡς ἐπὶ τὸν ποταμὸν τὸν εὐασπόλεως προὐχώρει, ἵνα ὁ τῶν ἀσπασίων ὕπαρχος ἦν. καὶ διελθὼν πολλὴν ὁδὸν, δευτεραῖος ἀφίκετο πρὸς τὴν πόλιν. οἱ δὲ βάρβαροι προσάγοντα αἰσθόμενοι ἀλέξανδρον, ἐμπρήσαντες τὴν πόλιν, ἔφευγον πρὸς τὰ ὄρη. οἱ δὲ ἀμφ' ἀλέξανδρον, εἴχοντο τῶν φευγόντων ἐς τε ἐπὶ τὰ ὄρη· καὶ φόνος πολὺς γίγνεται τῶν βαρβάρων, πρὶν ἐς τὰς δυσχωρίας φθάσαι ἀπελθόντας. τὸν δὲ ἡγεμόνα αὐτὸν τῶν ταύτῃ ἰνδῶν, πτολεμαῖος ὁ λάγου πρός τινι ἤδη γηλόφῳ ὄντα κατιδὼν, καὶ τῶν ἱππασπιστῶν ἔστιν οὓς ἀμφ' αὐτὸν, ξὺν πολὺ ἐλάττοσιν αὐτὸς ὢν, ὅμως ἐδίωκεν ἔτι ἐκ τοῦ ἵππου. ὡς δὲ χαλεπὸς ὁ γήλοφος τῷ ἵππῳ ἀναδραμεῖν ἦν, τοῦτον μὲν αὐτοῦ καταλείπει, παραδοὺς τινὶ τῶν ἱππασπιστῶν ἄγειν· αὐτὸς δὲ ὡς εἶχε, πεζὸς τῷ ἰνδῷ εἵπετο. ὁ δὲ, ὡς πελάζοντα ἤδη κατεῖδε τὸν πτολεμαῖον, αὐτός τε μεταβάλλεται ἐς τὸ ἔμπαλιν, καὶ οἱ ἱππασπισταὶ ξὺν

 αὐτῷ.

αὐτῷ. καὶ ὁ μὲν ἰνδὸς τοῦ πτολεμαίου διὰ τοῦ θώρακος παίει, ἐκ χειρὸς ἐν τῷ στήθει ξυστῷ μακρῷ, καὶ ὁ θώραξ ἔσχε τὴν πληγήν. πτολεμαῖος δὲ τὸν μηρὸν διαμπὰξ βαλὼν τοῦ ἰνδοῦ, καταβάλλει τε καὶ σκυλεύει αὐτόν. ὡς δὲ τὸν ἡγεμόνα σφῶν κείμενον οἱ ἀμφ᾽ αὐτὸν εἶδον, οὗτοι μὲν οὐκέτι ἔμενον· οἱ δὲ ἐκ τῶν ὀρῶν αἰρόμενον τὸν νεκρὸν τοῦ ὑπάρχου ἰδόντες πρὸς τῶν πολεμίων, ἤλγησάν τε, καὶ καταδραμόντες ξυνάπτουσιν ἐπ᾽ αὐτῷ μάχην καρτερὰν πρὸς τῷ γηλόφῳ. ἤδη γὰρ καὶ ἀλέξανδρος ἔχων τοὺς ἀπὸ τῶν ἵππων καταβεβηκότας πεζούς, πρὸς τῷ γηλόφῳ ἦν. καὶ οὗτοι ἐπιγινόμενοι, μόγις ἐξέωσαν τοὺς ἰνδοὺς, ἐς τὰ ὄρη. ἀλέξανδρος ἐς πόλιν κατῆλθεν, ᾗ ὄνομα ἦν ἀριγαῖον. καὶ ταύτην καταλαμβάνει ἐμπεπρησμένην ὑπὸ τῶν ἐνοικούντων, καὶ τοὺς ἀνθρώπους πεφευγότας. ἐνταῦθα δὲ ἀφίκοντο αὐτῷ καὶ οἱ ἀμφὶ κρατερὸν, ξὺν τῇ στρατιᾷ πεπραγμένων σφίσιν ξυμπάντων, ὅσα ὑπὸ τοῦ βασιλέως ἐτέτακτο. ταύτην μὲν δὴ τὴν πόλιν, ὅτι ἐν ἐπικαίρῳ χω-

ρίῳ



ρίῳ ἐδόκει ᾠκίσθαι, ἐκτειχίσαι τε προστάσσει κρατερῷ, καὶ ξυνοικίσαι ἐς αὐτὴν τούς τε προσχώρους, ὅσοι ἐθελονταὶ, καὶ εἰ δή τινες ἀπόμαχοι τῆς στρατιᾶς. αὐτὸς δὲ προὐχώρει, ἵνα ξυμπεφευγέναι ἐπυνθάνετο τοὺς πολλοὺς τῶν ταύτῃ βαρβάρων. ἐλθὼν δὲ πρός τι ὄρος, κατεστρατοπέδευσεν ὑπὸ ταῖς ὑπωρείαις τοῦ ὄρους. καὶ ἐν τούτῳ πτολεμαῖος ὁ λάγου, ἐκπεμφθεὶς μὲν ὑπὸ ἀλεξάνδρου ἐς προνομὴν, προελθὼν δὲ προσωτέρω αὐτὸς ξὺν ὀλίγοις, ὡς ἐς κατασκοπὴν, ἀπαγγέλλει ἀλεξάνδρῳ πυρὰ κατιδεῖν τῶν βαρβάρων πλείονα, ἢ ἐν τῷ ἀλεξάνδρου στρατοπέδῳ. καὶ ἀλέξανδρος τῷ μὲν πλήθει τῶν πυρῶν ἠπίστησεν· εἶναι δέ τι ξυνεστηκὸς τῶν ταύτῃ βαρβάρων αἰσθόμενος, μέρος μὲν τῆς στρατιᾶς αὐτοῦ καταλείπει πρὸς τῷ ὄρει, ὡς εἶχε στρατοπεδευομένους. αὐτὸς δὲ ἀναλαβὼν, ὅσοι ἀποχρῶντες ἐς τὰ ἐπηγγελμένα ἐφαίνοντο, ὡς πλησίον ἤδη ἀφεώρων τὰ πυρὰ, τριχῇ διανέμει τὴν στρατιάν. καὶ τῷ μὲν ἑνὶ ἐπέταξε λεοννάτον τὸν σωματοφύλακα, ξυντάξας αὐτῷ τήν τε ἀττάλου καὶ τὴν βαλάκρου

 τάξιν.

τάξιν. τὴν δευτέραν δὲ μοῖραν Πτολεμαίῳ τῷ Λάγου ἄγειν ἔδωκε, τῶν τε ὑπασπιστῶν τῶν βασιλικῶν τὸ τρίτον μέρος, καὶ τὴν Φιλίππου καὶ Φιλώτου τάξιν, καὶ δύο χιλιαρχίας τῶν τοξοτῶν, καὶ τοὺς ἀγριάνας, καὶ τῶν ἱππέων τοὺς ἡμίσεας. τὴν δὲ τρίτην μοῖραν αὐτὸς ἦγεν, ἵνα οἱ πλεῖστοι τῶν βαρβάρων ἐφαίνοντο. οἱ δὲ ὡς ᾔσθοντο προσάγοντας τοὺς μακεδόνας (κατεῖχον γὰρ χωρία ὑπερδέξια, τῷ τε πλήθει σφῶν θαρσήσαντες, καὶ τῶν μακεδόνων ὅτι ὀλίγοι ἐφαίνοντο καταφρονήσαντες) ἐς τὸ πεδίον ὑποκατέβησαν. καὶ μάχη γίγνεται καρτερά. ἀλλὰ τούτους μὲν οὐ ξὺν πόνῳ ἐνίκα ἀλέξανδρος. οἱ δὲ ἀμφὶ Πτολεμαῖον οὐκ ἐν τῷ ὁμαλῷ παρετάξαντο, ἀλλὰ γήλοφον γὰρ κατεῖχον οἱ βάρβαροι, ὀρθίους ποιήσαντες τοὺς λόγους. Πτολεμαῖος προσῆγεν, ᾗπερ ἐπιμαχιμώτατον τοῦ λόφου ἐφαίνετο, οὐ πάντῃ τὸν λόφον κυκλωσάμενος· ἀλλ' ἀπολιπὼν, εἰ φεύγειν ἐθέλοιεν οἱ βάρβαροι, χώραν αὐτοῖς ἐς τὴν φυγήν. καὶ γίγνεται καὶ τούτοις μάχη καρτερὰ, τοῦ χωρίου





τῇ χαλεπότητι, καὶ ὅτι οὐ κατὰ τοὺς ἄλλους τοὺς ταύτῃ βαρβάρους οἱ ἰνδοὶ, ἀλλὰ πολὺ δή τι ἀλκιμώτατοι τῶν προσχώρων εἰσίν. ἐξώσθησαν δὲ καὶ οὗτοι ἀπὸ τοῦ ὄρους ὑπὸ τῶν μακεδόνων. καὶ οἱ ἀμφὶ Λεοννάτου τῇ τρίτῃ μοίρᾳ τῆς στρατιᾶς, ὡσαύτως ἔπραξαν. ἐνίκων γὰρ καὶ οὗτοι τοὺς κατὰ σφᾶς. καὶ λέγει Πτολεμαῖος, ἀνθρώπους μὲν ληφθῆναι τοὺς πάντας ὑπὲρ τετρακισμυρίους, βοῶν δὲ ὑπὲρ τὰς τρεῖς καὶ εἴκοσι μυριάδας. καὶ τούτων τὰς καλλίστας ἐπιλεξάμενον ἀλέξανδρον. ὅτι διαφέρουσαι αὐτῷ κάλλει τε καὶ μεγέθει ἐφαίνοντο, πέμψαι ἐθέλειν ἐς μακεδονίαν, ἐργάζεσθαι τὴν χώραν. ἐντεῦθεν πρὸς τὴν τῶν ἀσακηνῶν χώραν ἦγε. τούτους γὰρ ἐξηγγέλλετο παρεσκευάσθαι ὡς μαχουμένους, ἱππέας μὲν ἐς δισχιλίους ἔχοντας, πεζοὺς δὲ ὑπὲρ τοὺς τρισμυρίους, τριάκοντα δὲ ἐλέφαντας. κρατερὸς μὲν δὴ ἐκτετειχικὼς ἤδη τὴν πόλιν, ἐφ' ἧς τοῦ οἰκισμοῦ καταλέλειπτο, τούς τε βαρυτέρους ὡπλισμένους τῆς στρατιᾶς ἀλεξάνδρῳ ἦγε, καὶ τὰς μηχανάς, εἴ που πολιορ-

κίας διέβησαν. αὐτὸς δὲ ἀλέξανδρος τούς τε ἑταίρους ἱππέας, καὶ τοὺς ὑπακοντιστὰς, καὶ τὴν κοίνου καὶ πολυπέρχοντος τάξιν, καὶ τοὺς ἀγριᾶνας τοὺς χιλίους, καὶ τοὺς τοξότας, ᾔει ὡς ἐπὶ τοὺς ἀσσακηνούς. ἦγε δὲ διὰ τῆς γουραίων χώρας, καὶ τὸν ποταμὸν τὸν ἐπώνυμον τῆς χώρας τὸν γουραῖον χαλεπῶς διέβη, διὰ βαθύτητά τε, καὶ ὅτι ὀξὺς ὁ ῥοῦς ἦν αὐτῷ· καὶ οἱ λίθοι στρογγύλοι ἐν τῷ ποταμῷ ὄντες, σφαλεροὶ τοῖς ἐπιβαίνουσιν ἐγίγνοντο. οἱ δὲ βάρβαροι ὡς προσάγοντα ᾔσθοντο ἀλέξανδρον, ἀθρόοι μὲν ἐς μάχην καταστῆναι οὐκ ἐτόλμησαν. διαλυθέντες δὲ ὡς ἕκαστοι κατὰ πόλιν, ταύτας ἐπενόουν ἀπομαχόμενοι διασώζειν. καὶ ἀλέξανδρος πρῶτα μὲν ἐπὶ μάσσαγα ἦγε, τὴν μεγίστην τῶν ταύτῃ πόλεων. ὡς δὲ προσῆγεν ἤδη τοῖς τείχεσι, θαρρήσαντες οἱ βάρβαροι τοῖς μισθοφόροις τοῖς ἐκ τῶν πρόσω ἰνδῶν (ἦσαν γὰρ αὐτοῖς ἐς ἑπτακισχιλίους) ὡς στρατοπεδευομένους εἶδον τοὺς μακεδόνας, δρόμῳ ἐπ' αὐτοὺς ᾔεσαν. καὶ ἀλέξανδρος ἰδὼν πλησίον τῆς πόλεως ἐσομένην τὴν μά-

χην



χην, πορρωτέρω ἐκκαλέσασθαι αὐτοὺς βουληθεὶς τῶν τειχῶν, ὡς εἰ τροπὴ γίγνοιτο· ἐγίγνωσκε γὰρ ἐσομένην· μὴ δι' ὀλίγου ἐς τὴν πόλιν καταφυγόντες, εὐμαρῶς διασώζοιντο, ὡς ἐκθέοντας εἶδε τοὺς βαρβάρους μεταβαλλομένους, κελεύει τοὺς μακεδόνας ὀπίσω ἀποχωρεῖν, ὡς πρὸς γήλοφόν τινα, ἀπέχοντα ἐκ τοῦ ποταμοῦ χωρίον, ἵνα περ στρατοπεδεύειν ἐγνώκει, ἑπτά που μάλιστα σταδίους. καὶ οἱ πολέμιοι ἀναθαρσήσαντες, ὡς ἐγκεκλικότων ἤδη τῶν μακεδόνων, δρόμῳ τε καὶ ξὺν οὐδενὶ κόσμῳ ἐφέροντο ἐς αὐτούς. ὡς δὲ ἀφικνεῖτο ἤδη τῶν μακεδόνων τὰ τοξεύματα, ἐνταῦθα ἀλέξανδρος ἀπὸ ξυνθήματος ἐπιστρέψας ἐς αὐτοὺς, τὴν φάλαγγα δρόμῳ ἀντεπῆγε. πρῶτοι δὲ οἱ ἱππακοντισταί τε αὐτῷ, καὶ οἱ ἀγριᾶνες, καὶ οἱ τοξόται ἐκδραμόντες, ξυνέμιξαν τοῖς βαρβάροις· αὐτὸς δὲ τὴν φάλαγγα ἐν τάξει ἦγεν. οἱ δὲ ἰνδοὶ τῷ τε παραλόγῳ ἐκπλαγέντες, καὶ ἅμα ἐν χερσὶ γενομένης τῆς μάχης, ἐγκλίναντες ἔφευγον ἐς τὴν πόλιν. καὶ ἀπέθανον μὲν αὐτῶν ἀμφὶ τοὺς

 διακο-

διακοσίους· οἱ δὲ λοιποὶ, ἐς τὰ τείχη κατεκλείσθησαν. καὶ ἀλέξανδρος προσῆγε πρὸς τείχει τὴν φάλαγγα· καὶ ἐντεῦθεν τοξεύεται μὲν ἀπὸ τοῦ τείχους ἐς τὸ σφυρὸν, οὐ χαλεπῶς. ἐπαγαγὼν δὲ τὰς μηχανὰς τῇ ὑστεραίᾳ, τῶν μὲν τειχῶν τι εὐμαρῶς κατέσεισε. βιαζομένους δὲ ταύτῃ τοὺς μακεδόνας, ᾗ παρέρρηκτο τοῦ τείχους, οὐκ ἀτόλμως οἱ ἰνδοὶ ἠμύνοντο. ὥστε ταύτῃ μὲν τῇ ἡμέρᾳ, ἀνεκαλέσατο τὴν στρατιάν· τῇ δὲ ὑστεραίᾳ τῶν μακεδόνων αὐτῶν ἡ προσβολὴ, καρτερωτέρα ἐγένετο, καὶ πύργος ἐπήχθη ξύλινος τοῖς τείχεσιν· ὅθεν ἐκτοξεύσαντες οἱ τοξόται, καὶ βέλη ἀπὸ μηχανῶν ἀφιέμενα, ἀνέστελλον ἐπὶ πολὺ τοὺς ἰνδοὺς, ἀλλ᾽ οὐδὲ ὣς βιάσασθαι εἴσω τοῦ τείχους οἷοί τε ἐγένοντο. τῇ δὲ τρίτῃ προσαγαγὼν αὖθις τὴν φάλαγγα, καὶ ἀπὸ μηχανῆς γέφυραν ἐπιβαλὼν τοῦ τείχους, ᾗ παρερρωγὸς ἦν, ταύτῃ ἐπῆγε τοὺς ὑπασπιστὰς, οἵπερ αὐτῷ καὶ τύρον ὡσαύτως ἐξεῖλον. πολλῶν δὲ ὑπὸ προθυμίας ὠθουμένων, ἄχθος λαβοῦσα μεῖζον ἡ γέφυρα, κατερράγη. καὶ πίπτουσι ξὺν αὐ-

τῇ



τῇ οἱ μακεδόνες. οἱ δὲ βάρβαροι ἰδόντες τὸ γιγνόμενον, λίθοις τε ξὺν βοῇ ἀπὸ τῶν τειχῶν καὶ τοξεύμασι, καὶ ἄλλῳ ὅτῳ τις μετὰ χεῖρας ἔχων ἐτύγχανεν, ἢ ὅτῳ τις ἐν τῷ τότε ἔλαβε, ἐξηκόντιζον ἐς τοὺς μακεδόνας. οἱ δὲ κατὰ θύρας, αἵ τινες αὐτοῖς κατὰ τὰ μεσοπύργια μικραὶ ἦσαν, ἐκθέοντες ἐκ χειρὸς ἔπαιον τεταραγμένους. ἀλέξανδρος δὲ πέμπει ἀλκέταν ξὺν τῇ αὐτοῦ τάξει, τούς τε κατατετρωμένους ἀναλαβεῖν. καὶ ὅσοι προσεμάχοντο, ἀνακαλέσασθαι ἐπὶ τὸ στρατόπεδον. καὶ τῇ τετάρτῃ ὡσαύτως ἐπ᾽ ἄλλης μηχανῆς ἄλλη ἐπὶ βάθρα αὐτῷ προσήγετο πρὸς τὸ τεῖχος. καὶ οἱ ἰνδοὶ, τέως μὲν αὐτοῖς ὁ ἡγεμὼν τοῦ χωρίου περιῆν, ἀπεμάχοντο καρτερῶς. ὡς δὲ βέλει ἀπὸ μηχανῆς τυπεὶς ἀποθνήσκει ἐκεῖνος, αὐτῶν τε οἱ μέν τινες πεπτωκότες ἐν τῇ ξυνεχεῖ πολιορκίᾳ, οἱ πολλοὶ δὲ τραυματίαι τε καὶ ἀπόμαχοι ἦσαν, ἐπεκηρυκεύοντο πρὸς ἀλέξανδρον. τῷ δὲ ἄσμενον γίνεται, ἄνδρας ἀγαθοὺς διασῶσαι. καὶ ξυμβαίνει ἐπὶ τῷδε ἀλέξανδρος τοῖς μισθοφόροις ἰνδοῖς, ὡς κατα-

κατα-

κατασταχθέντες ἐς τὴν ἄλλην στρατιὰν,
ξὺν αὐτῷ στρατεύεσθαι. οἱ μὲν δὴ ἐξῆλθον
ξὺν τοῖς ὅπλοις, καὶ κατεστρατοπέδευσαν
κατὰ σφᾶς ἐπὶ γηλόφῳ, ὃς ἦν ἀντίῤῥοπος
τοῦ τῶν μακεδόνων στρατοπέδου. νυκτὸς δὲ
ἐπενόουν δρασμῷ διαχρησάμενοι, ἐς τὰ
σφέτερα ἤθη ἐπαναστῆναι, οὐκ ἐθέλοντες
ἐναντία αἴρεσθαι τοῖς ἄλλοις ἰνδοῖς ὅπλα.
καὶ ταῦτα ὡς ἐξηγγέλθη ἀλεξάνδρῳ, περι-
στήσας τῆς νυκτὸς τῷ γηλόφῳ τὴν στρατι-
ὰν πᾶσαν, κατακόπτει αὐτοὺς ἰνδοὺς, ἐν μέσῳ
ἀπολαβών. τήν τε πόλιν αἱρεῖ κατακρά-
τος, ἐρημωθεῖσαν τῶν προμαχομένων. καὶ
τὴν μητέρα τὴν ἀσσακήνου καὶ τὴν παῖ-
δα ἔλαβεν. ἀπέθανον δὲ ἐν τῇ πάσῃ πο-
λιορκίᾳ τῶν ξὺν ἀλεξάνδρῳ, ἐς πέντε καὶ
εἴκοσι. ἔνθεν δὲ κοῖνον μὲν, ὡς ἐπὶ Βάζιρα
ἐκπέμπει. γνώμην ποιησάμενος ὅτι μα-
θόντες τῶν μασσακηνῶν τὴν ἅλωσιν, ἐνδώ-
σουσι σφᾶς αὐτούς. ἄτταλον δὲ, καὶ ἀλκέ-
ταν, καὶ δημήτριον τὸν ἱππάρχην, ἐπὶ ὦρα
στέλλει, ἄλλην πόλιν· παραγγείλας περιτει-
χίζειν τὴν πόλιν, ἔς τ' ἂν ἀφίκηται αὐτός.
καὶ



καὶ γίγνεται ἐκδρομὴ τῶν ἐκ τῆς πόλεως,
ἐπὶ τοὺς ἀμφὶ ἀλκέταν. οὐ χαλεπῶς δὲ
τρεψάμενοι αὐτοὺς οἱ μακεδόνες, ἔσω
τοῦ τείχους, ἐς τὴν πόλιν ἀποστρέφουσιν.
καὶ κοίνῳ οὐ προχωρεῖ τὰ ἐν τοῖς Βαζίροις,
ἀλλὰ (πιστεύοντες γὰρ τοῦ χωρίου τῇ ὀχυρό-
τητι, ὅτι ὑπερύψηλόν τε ἦν, καὶ πάντη
ἀκριβῶς τετειχισμένον) οὐδὲν ξυμβατικὸν
ἐνεδίδοσαν. ταῦτα μαθὼν ἀλέξανδρος,
ὥρμηται μὲν ὡς ἐπὶ Βάζιρα. γνοὺς δὲ ὅτι
τῶν προσοίκων τινὲς βαρβάρων παριέναι
ἐς τὰ ὦρα τὴν πόλιν λαθόντες μέλλουσι,
πρὸς ἀβισσάρου ἐπὶ τῷδε ἐσταλμένοι, ἐπὶ τὰ
ὦρα πρῶτον ἦγε. κοῖνον δὲ ἐπιτειχίσαι τῇ
πόλει τῶν Βαζίρων καρτερόν τι χωρίον προ-
σέταξε, καὶ ἐν τούτῳ φυλακὴν καταλιπόν-
τα ἀποχωρῆσαι, ὡς μὴ ἄδεια εἴη τοῖς ἐν τῇ
πόλει χρῆσθαι τῇ χώρᾳ, αὐτὸν ἄγοντα τῆς
στρατιᾶς τὴν λοιπὴν παρ' αὐτὸν ἰέναι. οἱ
δὲ ἐκ τῶν Βαζίρων, ὡς εἶδον ἐπιόντα ξὺν
τῷ πλείστῳ τῆς στρατιᾶς τὸν κοῖνον, κατα-
φρονήσαντες τῶν μακεδόνων, ὡς οὐ γενο-
μένων ἂν σφίσιν ἀξιομάχων, ἐπεκθέουσιν
ἐς

ἦν τὸ πεδίον. καὶ γίγνεται αὐτῶν μάχη καρτερά. καὶ ἐν ταύτῃ πίπτουσι μὲν τῶν βαρβάρων, ἐς πεντακοσίους. ἐλήφθησαν δὲ ζῶντες, ὑπὲρ τοὺς ἑβδομήκοντα. οἱ δὲ λοιποὶ ἐν τῇ πόλει ξυμφυγόντες, βεβαιότερον ἤδη εἶργον τῆς χώρας, ἀπὸ τῶν ἐκ τοῦ ἐπιτειχίσματος. καὶ ἀλεξάνδρῳ δὲ τῶν ὤρων ἡ πολιορκία, οὐ χαλεπὴ ἐγένετο. ἀλλ' εὐθὺς δὴ ἐφόδου προσβαλὼν τοῖς τείχεσι τῆς πόλεως, ἐκράτησε· καὶ τοὺς ἐλέφαντας τοὺς ἐγκαταλειφθέντας ἔλαβε. καὶ ταῦτα οἱ ἐν τοῖς βαζίροις ὡς ἔμαθον, ἀπογνῶντες τὰ σφέτερα πράγματα, ἀμφὶ μέσας νύκτας τὴν πόλιν ἐκλίπουσιν, ἔφυγον ἐς τὴν πέτραν. ὡς δὲ καὶ οἱ ἄλλοι βάρβαροι ἔπραττον ἀπολιπόντες τὰς πόλεις ξύμπαντες, ἔφευγον ἐς τὴν πέτραν τὴν ἐν τῇ χώρᾳ, τὴν ἄορνον καλουμένην. μέγα γάρ τι τοῦτο χρῆμα πέτρας ἐν τῇ χώρᾳ ταύτῃ ἐστί. καὶ λόγος ὑπὲρ ταύτης κατέχει, οὐδὲ ἡρακλεῖ τῷ διὸς ἁλώσιμον γενέσθαι τὴν πέτραν. εἰ μὲν δὴ καὶ ἐς ἰνδοὺς ἀφίκετο ὁ ἡρακλῆς ὁ θηβαῖος, ἢ ὁ τύριος, ἢ ὁ αἰγύπτιος, ἐς οὐδέ-

τερα



τερα ἔχω ἰσχυρίσασθαι· μᾶλλον δὲ δοκῶ, ὅτι οὐκ ἀφίκετο· ἀλλὰ (πάντα γὰρ ὅσα χαλεπὰ, οἱ ἄνθρωποι ἐς τοσόνδε ἄρα αὔξουσιν αὐτῶν τὴν χαλεπότητα, ὡς καὶ τῷ ἡρακλεῖ ἂν ἄπορα γενέσθαι) ἀληθεύειν κἀγὼ ὑπὲρ ταύτης τῆς πέτρας οὕτω γινώσκω, τὸν ἡρακλέα ἐς κόμπον τοῦ λόγου ἐπιφημίζεσθαι. τὸν μὲν δὴ κύκλον τῆς πέτρας λέγουσιν, ἐς διακοσίους σταδίους μάλιστα εἶναι· ὕψος δὲ αὐτῆς ἵνα περ χθαμαλώτατον, σταδίων ἕνδεκα· καὶ ἀνάβασιν χειροποίητον, μίαν χαλεπήν. εἶναι δὲ καὶ ὕδωρ ἐν ἄκρᾳ τῇ πέτρᾳ, πολὺ καὶ καθαρὸν, πηγὴν ἀνίσχουσαν, ὡς καὶ ἀπορρεῖν ἀπὸ τῆς πηγῆς ὕδωρ. καὶ ὕλην, καὶ γῆν ἀγαθὴν ἐργάσιμον, ὅσην καὶ χιλίοις ἀνθρώποις ἀποχρῶσαν ἂν εἶναι ἐργάζεσθαι. καὶ ταῦτα ἀκούοντα ἀλέξανδρον, πόθος λαμβάνει ἐξελεῖν καὶ τοῦτο τὸ ὄρος, οὐχ ἥκιστα ἐπὶ τῷ ἀμφὶ τὸν ἡρακλέα μύθῳ πεφημισμένῳ. τὰ μὲν δὴ ὦρα, καὶ τὰ μάσσαγα, φρούρια ἐποίησεν ἐπὶ τῇ χώρᾳ· τὰ βάζιρα δὲ πόλιν ἐξετείχισε. καὶ οἱ ἀμφὶ ἡφαιστίωνά τε καὶ περδίκκαν αὐτῷ ἄλλην

πόλιν

πόλιν ἐκτειχίσαντα (ὀροβάτις ὄνομα τῇ πόλει ἦν) καὶ φρουρὰν καταλιπόντα, ὡς ἐπὶ τὸν ἰνδὸν ποταμὸν ᾔεσαν. ὡς δὲ ἀφίκοντο, ἔπρασσον ἤδη ὅσα ἐς τὸ ζεῦξαι τὸν ἰνδὸν ὑπὸ ἀλεξάνδρου ἐτέτακτο. ἀλέξανδρος δὲ τῆς μὲν χώρας τῆς ἐπὶ τάδε τοῦ ἰνδοῦ ποταμοῦ, σατράπην κατέστησε νικάνορα τῶν ἑταίρων. αὐτὸς δὲ τὰ πρῶτα, ὡς ἐπὶ τὸν ἰνδὸν ποταμὸν ἦγε. καὶ πόλιν τε πευκελιῶτιν οὐ πόρρω τοῦ ἰνδοῦ ᾠκισμένην ὁμολογίᾳ παρεστήσατο· καὶ ἐν αὐτῇ φρουρὰν καταστήσας τῶν μακεδόνων, καὶ φίλιππον ἐπὶ τῇ φρουρᾷ ἡγεμόνα. ὁ δὲ καὶ ἄλλα προσηγάγετο μικρὰ πολίσματα, πρὸς τῷ ἰνδῷ ποταμῷ ᾠκισμένα. ξυνείποντο δὲ αὐτῷ κωφαῖός τε καὶ ἀσσαγέτης, οἱ ὕπαρχοι τῆς χώρας. ἀφικόμενος δὲ ἐς ἐμβόλιμα πόλιν, ἣ ξύνεγγυς τῆς πέτρας τῆς ἀόρνου ᾤκεῖτο, κρατερὸν μὲν ξὺν μέρει τῆς στρατιᾶς καταλείπει αὐτοῦ, σῖτόν τε ἐς τὴν πόλιν ὡς πλεῖστον ξυνάγειν, καὶ ὅσα ἄλλα ἐς χρόνιον τριβήν· ὡς ἐντεῦθεν ὁρμωμένους τοὺς μακεδόνας, χρονίῳ πολιορκίᾳ ἐκτρυχῶσαι

τοὺς



τοὺς κατέχοντας τὴν πέτραν, εἰ μὴ ἐξ ἐφόδου ληφθείη. αὐτὸς δὲ τοὺς τοξότας τε ἀναλαβὼν, καὶ τοὺς ἀγριᾶνας, καὶ τὴν κοίνου τάξιν, καὶ ἐκ τῆς ἄλλης φάλαγγος ἐπιλέξας τοὺς κουφοτάτους τε καὶ ἅμα εὐοπλοτάτους, καὶ τῶν ἑταίρων ἱππέων ἐς διακοσίους, καὶ ἱπποτοξότας ἐς ἑκατὸν, προσῆγε τῇ πέτρᾳ. καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ κατεστρατοπεδεύσατο, ἵνα ἐπιτήδειον αὐτῷ ἐφαίνετο. τῇ δὲ ὑστεραίᾳ ὀλίγον προελθὼν, ὡς πρὸς τὴν πέτραν αὖθις ἐστρατοπεδεύσατο. καὶ ἐν τούτῳ ἧκον παρ' αὐτὸν τῶν προσχώρων τινὲς, σφᾶς τε αὐτοὺς ἐνδιδόντες, καὶ ἡγήσασθαι φάσκοντες ἐς τῆς πέτρας τὸ ἐπιμαχώτατον, ὅθεν οὐ χαλεπὸν αὐτῷ ἔσεσθαι ἑλεῖν τὸ χωρίον. καὶ ξὺν τούτοις πέμπει πτολεμαῖον τὸν λάγου τὸν σωματοφύλακα, τούς τε ἀγριᾶνας ἄγοντα, καὶ τοὺς ψιλοὺς τοὺς ἄλλους, καὶ τῶν ὑπασπιστῶν ἐπιλέκτους· προστάξας, ἐπειδὰν καταλάβῃ τὸ χωρίον, κατέχειν μὲν αὐτὸ ἰσχυρᾷ φυλακῇ· οἱ δὲ σημαίνειν, ὅτι ἔχεται. καὶ πτολεμαῖος ἐλθὼν ὁδὸν τραχεῖάν τε καὶ δύσπορον, λανθάνει τοὺς

βαρ-

βαρβάρους κατασχὼν τὸν τόπον. καὶ τοῦτον χάρακί τε κύκλῳ καὶ τάφρῳ ὀχυρώσας, πυρσὸν αἴρει ἀπὸ τοῦ ὄρους, ἔνθεν ὀφθήσεσθαι ὑπὸ ἀλεξάνδρου ἔμελλε. καὶ ὤφθη τε ἅμα ἡ φλὸξ, καὶ ἀλέξανδρος ἐπῆγε τῇ ὑστεραίᾳ τὴν στρατιάν. ἀμυνομένων δὲ τῶν βαρβάρων, οὐδὲν πλέον αὐτῷ ὑπὸ δυσχωρίας ἐγίγνετο. ὡς δὲ ἀλεξάνδρῳ ἄπορον τὴν προσβολὴν κατέμαθον οἱ βάρβαροι, ἀναστρέψαντες τοῖς ἀμφὶ πτολεμαῖον αὐτοὶ, προσέβαλλον. καὶ γίνεται αὐτῶν τε καὶ τῶν μακεδόνων, μάχη καρτερά· τῶν μὲν, διασπάσαι τὸν χάρακα σπουδὴν ποιουμένων τῶν ἰνδῶν· πτολεμαίου δὲ, διαφυλάξαι τὸ χωρίον. καὶ μεῖον σχόντες οἱ βάρβαροι ἐν τῷ ἀκροβολισμῷ, νυκτὸς ἐπιγιγνομένης ἀνεχώρησαν. ἀλέξανδρος δὲ τῶν ἰνδῶν τινα τῶν αὐτομόλων, πιστόν τε ἄλλως καὶ τῶν χωρίων δαήμονα ἐπιλεξάμενος, πέμπει παρὰ πτολεμαῖον τῆς νυκτὸς, γράμματα φέροντα τὸν ἰνδὸν, ἵνα ἐνεγέγραπτο ἐπειδὰν αὐτὸς προσβάλλῃ τῇ πέτρᾳ, τὸν δὲ ἐπιέναι τοῖς βαρβάροις κατὰ τὸ ὄρος, μὴ δὲ ἀγαπᾶν ἐν φυλακῇ

ἔχοντα



ἔχοντα τὸ χωρίον, ὡς ἀμφοτέρωθεν βαλλομένους τοὺς ἰνδοὺς, ἀμφιβόλους γίγνεσθαι. καὶ αὐτὸς ἅμα τῇ ἡμέρᾳ ἄρας ἐκ τοῦ στρατοπέδου, προσῆγε τὴν στρατιὰν κατὰ τὴν πρόσβασιν, ᾗ πτολεμαῖος λαθὼν ἀνέβη, γνώμην ποιούμενος, ὡς εἰ ταύτῃ βιασάμενος ξυμμίξει τοῖς ἀμφὶ πτολεμαῖον, οὐ χαλεπὸν ἔτι ἐσόμενον αὐτῷ τὸ ἔργον. καὶ ξυνέβη οὕτως. ἐς τε μὲν γὰρ τὴν μεσημβρίαν ξυνειστήκει καρτερὰ μάχη τοῖς τε ἰνδοῖς, καὶ τοῖς μακεδόσι, τῶν μὲν ἐκβιαζομένων τὴν πρόσβασιν, τῶν δὲ βαλλόντων ἀνιόντας. ὡς δὲ οὐκ ἀνίεσαν οἱ μακεδόνες, ἄλλοι ἐπ' ἄλλοις ἐπιόντες, οἱ δὲ πρόσθεν ἀναπαυόμενοι, μόλις ἀμφὶ δείλην ἐκράτησαν τῆς παρόδου, καὶ ξυνέμιξαν τοῖς ξὺν πτολεμαίῳ. ἐκεῖθεν δὲ ὁμοῦ ἤδη γενομένη ἡ στρατιὰ πᾶσα, ἐπῆγεν αὖθις ὡς ἐπ' αὐτὴν τὴν πέτραν. ἀλλὰ γὰρ ἔτι ἄπορος ἦν αὐτῇ ἡ προσβολή. ταύτῃ μὲν δὴ τῇ ἡμέρᾳ ἐς τοῦτο τέλος γίγνεται. ὑπὸ δὲ τὴν ἕω, παραγγέλλει στρατιώτῃ ἑκάστῳ, κόπτειν χάρακας ἑκατὸν κατ' ἄνδρα. καὶ οὗτοι κεκομμένοι

 ἦσαν,

ᾖσαν, καὶ αὐτὸς ἐχώννυε, ἀρξάμενος ἀπὸ
τῆς κορυφῆς τοῦ λόφου, ἵνα ἐστρατοπεδευ-
κότες ᾖσαν, ὡς ἐπὶ τὴν πέτραν χῶμα μέ-
γα. ἔνθεν τοξεύματά τε ἂν ἐξικνεῖσθαι ἐς
τοὺς προμάχους, καὶ ἀπὸ μηχανῶν βέλη ἀ-
φιέμενα. καὶ ἐχώννυον αὐτῷ πᾶς τις, ἀντι-
λαμβανόμενος τοῦ ἔργου. καὶ αὐτὸς ἐφεστή
κει θεατὴς καὶ ἐπαινέτης τοῦ ξὺν προθυ-
μίᾳ περαινομένου, κολαστὴς δὲ τοῦ ἐν τῷ
παραχρῆμα ἐκλιπόντος, τῇ μὲν δὴ πρώτῃ
ἡμέρᾳ ὡς ἐπὶ στάδιον ἔχωσεν αὐτῷ ὁ στρα-
τός. ἐν δὲ τῇ ὑστεραίᾳ, οἵ τε σφενδονῆται
σφενδονῶντες ἐς τοὺς ἰνδοὺς, ἐκ τοῦ ἤδη κε-
χωσμένου, καὶ ἀπὸ τῶν μηχανῶν βέλη ἀφιέ-
μενα, ἀνέστελλε τῶν ἰνδῶν τὰς ἐκδρομὰς,
τὰς ἐπὶ τοὺς χωννύοντας. καὶ ἐχώννυτο αὐ-
τῷ ἐς τρεῖς ἡμέρας ξυνεχῶς τὸ χωρίον. τῇ
τετάρτῃ δὲ βιασάμενοι τῶν μακεδόνων οὐ
πολλοὶ, κατέσχον ὀλίγον γήλοφον ἰσόπε-
δον τῇ πέτρᾳ. καὶ ἀλέξανδρος οὐδέν τι
ἐλινύων, ἐπῆγε τὸ χῶμα, ξυνάψαι ἐθέλων
τὸ χωννύμενον τῷ γηλόφῳ, ὅν τινα οἱ ὀλίγοι
αὐτῷ ἤδη κατεῖχον. οἱ δὲ ἰνδοὶ πρός τε τὴν
ἀδιή-



ἀδιήγητον τόλμαν, τῶν ἐς τὸν γήλοφον βιασα-
μένων μακεδόνων ἐκπλαγέντες, καὶ τὸ χῶ-
μα ξυναπτόμενον ἤδη ὁρῶντες, τοῦ μὲν ἀπομά-
χεσθαι ἔτι ἀπέσχοντο. πέμψαντες δὲ κήρυκα
σφῶν παρ' ἀλέξανδρον, ἐθέλειν ἔφασκον ἐν-
δοῦναι τὴν πέτραν, εἰ σφίσιν σπένδοιτο. γνώ-
μην δὲ ἐπεποίηντο ἐν τῷ ἔτι διαμέλλειν τῶν
σπονδῶν διαγαγόντες τὴν ἡμέραν, νυκτὸς
ὡς ἕκαστοι διασκεδάννυσθαι ἐπὶ τὰ σφέτε-
ρα ἤθη. καὶ τοῦτο ὡς ἐπύθετο ἀλέξανδρος,
ἐνδίδωσιν αὐτοῖς χρόνον τε ἐς τὴν ἀποχώ-
ρησιν, καὶ τῆς φυλακῆς τὴν κύκλωσιν τὴν
πάντη ἀφελεῖν. καὶ αὐτὸς ἔμενεν, ἔς τε ἤρ-
ξαντο τῆς ἀποχωρήσεως. καὶ ἐν τούτῳ ἀνα-
λαβὼν τῶν σωματοφυλάκων καὶ τῶν ἱππα
σπιστῶν ἐς ἑπτακοσίους, κατὰ τὸ ἐκλελειμμέ-
νον τῆς πέτρας, ἀνέρχεται ἐς αὐτὴν πρῶ-
τος. καὶ οἱ μακεδόνες, ἄλλος ἄλλῃ ἀνιμῶν-
τες ἀλλήλους, ἀνῄεσαν. καὶ οὗτοι ἐπὶ τοὺς ἀ-
ποχωροῦντας τῶν βαρβάρων τραπόμενοι
ἀπὸ ξυνθήματος, πολλοὺς μὲν αὐτῶν ἐν τῇ φυ-
γῇ ἀπέκτειναν· οἱ δὲ καὶ περιφοβημένως ἀ-
ποχωροῦντες, κατὰ τῶν κρημνῶν ῥίψαντες

 σφᾶς

σφᾶς, ἀπέθανον· ἔχετό τε Ἀλεξάνδρῳ ἡ πέτρα, ἡ τῷ Ἡρακλεῖ ἄπορος γενομένη. καὶ ἔθυεν ἐπ' αὐτῇ Ἀλέξανδρος, καὶ κατεσκεύασε φρούριον, παραδοὺς Σισικόττῳ ἐπιμελεῖσθαι τῆς φρουρᾶς, ὃς δὴ ἐξ Ἰνδῶν μὲν πάλαι ηὐτομολήκει ἐς Βάκτρα παρὰ Βῆσσον· Ἀλεξάνδρου δὲ κατασχόντος τὴν χώραν τὴν Βακτρίαν, ξυνεστράτευέ τε αὐτῷ, καὶ πιστὸς ἐς τὰ μάλιστα ἐφαίνετο. ἄρας δὲ ἐκ τῆς πέτρας, ἐς τὴν τῶν Ἀσσακηνῶν χώραν ἐμβάλλει. τὸν γὰρ ἀδελφὸν τὸν Ἀσσακήνου ἐξηγγέλλετο τοὺς ἐλέφαντας ἔχοντα, καὶ τῶν προσχώρων βαρβάρων πολλοὺς, ξυμπεφευγέναι ἐς τὰ ταύτης ὄρη. καὶ ἀφικόμενος εἰς Δύρατα πόλιν, τῶν μὲν οἰκούντων οὐδένα καταλαμβάνει, οὐδὲ ἐν τῇ χώρᾳ τῇ πρὸς τῇ πόλει. ἐς δὲ τὴν ὑστεραίαν, Νέαρχόν τε καὶ Ἀντίοχον τοὺς χιλιάρχους τῶν ὑπασπιστῶν ἐκπέμπει. καὶ Νεάρχῳ μὲν τοὺς Ἀγριᾶνας τοὺς ψιλοὺς, ἄγειν ἔδωκεν· Ἀντιόχῳ δὲ, τήν τε αὐτοῦ χιλιαρχίαν, καὶ δύο ἔτι ταύτῃ ἄλλας. ἐστέλλοντο δὲ τὰ χωρία κατοψόμενοι, καὶ ἄπου τινὰς τῶν βαρβάρων ξυλ

λαβεῖν,



λαβεῖν, ἐς ἔλεγχον τῶν κατὰ τὴν χώραν τῶν τε ἄλλων, καὶ μάλιστα δὴ τὰ ἀμφὶ τοὺς ἐλέφαντας ἔμελλεν αὐτῷ μαθεῖν. αὐτὸς δὲ ὡς ἐπὶ τὸν Ἰνδὸν ποταμὸν ἤδη ἦγε, καὶ ἡ στρατιὰ αὐτῷ ὁδοποιοῦσα πρόσω ἰοῦσα, ἄπορα ἄλλως ὄντα τὰ ταύτῃ χωρία. ἐνταῦθα ξυλλαμβάνει ὀλίγους τῶν βαρβάρων. καὶ παρὰ τούτων ἔμαθεν, ὅτι οἱ μὲν ἐν τῇ χώρᾳ Ἰνδοὶ, παρὰ Βαρισάδη ἀποπεφεύγοιεν· τοὺς ἐλέφαντας δὲ, ὅτι αὐτοῦ κατέλιπον νέμεσθαι πρὸς τῷ ποταμῷ τῷ Ἰνδῷ. καὶ τούτους ἡγήσασθαι, οἱ τὴν ὁδὸν ἐκέλευσεν, ὡς ἐπὶ τοὺς ἐλέφαντας. εἰσὶ δὲ Ἰνδῶν πολλοὶ κυνηγέται τῶν ἐλεφάντων, καὶ τούτους σπουδῇ ἀμφ' αὑτὸν εἶχεν Ἀλέξανδρος, καὶ τότε ἐθήρα ξὺν τούτοις τοὺς ἐλέφαντας. καὶ δύο μὲν αὐτῶν ἀπώλοντο, κατακρημνοῦσι σφᾶς ῥίψαντες ἐν τῇ διώξει· οἱ δὲ ἄλλοι ξυλληφθέντες, ἐφόρουν τε τοὺς ἀμβάτας, καὶ τῇ στρατιᾷ ξυνετάσσοντο. ἐπεὶ δὲ καὶ ὕλῃ ἐργασίμῳ ἐνέτυχε παρὰ τὸν ποταμὸν, καὶ αὕτη ἐκόπη αὐτῷ ὑπὸ τῆς στρατιᾶς, καὶ ναῦς ἐποίησαν. καὶ αὗται κατὰ

 τὸν

τὸν ἰνδὸν ποταμὸν ἤγοντο, ὡς ἐπὶ γέφυραν, ἥν τινα ἡφαιστίων καὶ περδίκκας αὐτῷ ἐξωκοδομηκότες πάλαι ἦσαν.

# ΑΡΡΙΑΝΟΥ ΑΛΕΞΑΝΔΡΟΥ ΑΝΑΒΑΣΕΩΣ

## ΙΣΤΟΡΙΩΝ ΠΕΜΠΤΗ.

ΕΝ ΔΕ τῇ χώρᾳ ταύτῃ, ἥν τινα μεταξὺ τοῦ τε κωφῆνος καὶ τοῦ ἰνδοῦ ποταμοῦ ἐπῆλθεν ἀλέξανδρος, καὶ νύσαν πόλιν ᾠκίσθαι λέγουσι· τὸ δὲ κτίσμα εἶναι διονύσου. διόνυσον δὲ κτίσαι τὴν νύσαν, ἀφ' οὗ τε ἰνδοὺς ἐχειρώσατο. ὅς τις δὲ οὗτος ὁ διόνυσος, καὶ ὁπότε ἢ ὅθεν ἐπὶ ἰνδοὺς ἐστράτευσεν, οὐ γὰρ ἔχω συμβαλεῖν, ἢ ὁ θηβαῖος διόνυσος, ὃς ἐκ θηβῶν ἢ ἐκ τμώλου τοῦ λυδίου ὁρμηθεὶς, ἐπὶ ἰνδοὺς ἥκει στρατιὰν ἄγων. τοσαῦτα μὲν ἔθνη μάχιμα καὶ ἄγνωστα τοῖς τότε ἕλλησιν ἐπελθὼν, οὐδὲν δὲ αὐτῶν ἄλλο, ὅτι μὴ τὸ ἰνδῶν βίᾳ χειρωσάμενος·



πλήν γε δὴ ὅτι οὐκ ἀκριβῆ ἐξέτασιν χρὴ εἶναι τῶν ὑπὲρ τοῦ θείου ἐκ παλαιοῦ μεμυθευμένων. τὰ γάρ τοι κατὰ τὸ εἰκὸς ξυντιθέντι οὐ πιστὰ, ἐπειδὰν τὸ θεῖον τις προσθῇ τῷ λόγῳ, οὐ πάντῃ ἄπιστα φαίνεται. ὡς δὲ ἐπέβη τῇ νύσῃ ἀλέξανδρος, ἐκπέμπουσι παρ' αὐτὸν οἱ νυσαῖοι τὸν κρατιστεύοντα σφῶν, ὄνομα δὲ ἦν αὐτῷ ἄκουφις· καὶ ξὺν αὐτῷ πρέσβεις τῶν δοκιμωτάτων τριάκοντα, δεησομένους ἀλεξάνδρου, ἀφεῖναι τῷ θεῷ τὴν πόλιν. παρελθεῖν τε δὴ ἐς τὴν σκηνὴν τὴν ἀλεξάνδρου τοὺς πρέσβεις, καὶ καταλαβεῖν καθήμενον κεκονιμένον ἔτι ἐκ τῆς ὁδοῦ, ξὺν τοῖς ὅπλοις τοῖς τε ἄλλοις, καὶ τὸ κράνος αὐτῷ περικείμενον, καὶ τὸ δόρυ ἔχοντα, θαμβῆσαι ἰδόντας τὴν ὄψιν, καὶ πεσόντας ἐς γῆν, ἐπὶ πολὺ σιγὴν ἔχειν. ὡς δὲ ἐξανέστησέ τε αὐτοὺς ἀλέξανδρος, καὶ θαρρεῖν ἐκέλευσε, τότε δὴ τὸν ἄκουφιν ἀρξάμενον, λέγειν τάδε. ὦ βασιλεῦ, δέονταί σου νυσαῖοι, ἐᾶσαι σφᾶς ἐλευθέρους τε καὶ αὐτονόμους, αἰδοῖ τοῦ διονύσου. διόνυσος γὰρ ἐπειδὴ χειρωσάμενος

τὸ ἰνδῶν ἔθνος, ἀλλὰ θάλασσαν ὀπίσω κα-
τὰ τὴν ἑλληνικὴν, ἐκ τῶν ἀπομάχων στρα-
τιωτῶν, οἳ δὴ αὐτῷ καὶ βάκχοι ἦσαν, κτί-
ζει τὴν πόλιν τήνδε, μνημόσυνον τῆς αὐ-
τοῦ πλάνης τε καὶ νίκης τοῖς ἔπειτα ἐσόμε-
νον· καθάπερ οὖν καὶ σὺ αὐτὸς ἀλεξάν-
δρειάν τε ἔκτισας τὴν πρὸς καυκάσῳ ὄρει,
καὶ ἄλλην ἀλεξάνδρειαν ἐν τῇ αἰγυπτίῳ γῇ,
καὶ ἄλλας πολλὰς, τὰς μὲν ἔκτισας ἤδη, τὰς
δὲ καὶ κτίσεις ἀνὰ χρόνον, οἷα δὴ πλείονα
διονύσου ἔργα ἀποδεδειγμένος. νῦσαν τε
οὖν ἐκάλεσε τὴν πόλιν ὁ διόνυσος ἐπὶ τῆς
τροφῆς τῆς νύσης, καὶ τὴν χώραν νυσαί-
αν. τὸ δὲ ὄρος, ὅ,τι περ πλησίον ἐστὶ τῆς πό-
λεως, καὶ τοῦτο μηρὸν ἐπονόμασε διόνυσος,
ὅτι δὴ κατὰ τὸν μῦθον ἐν μηρῷ τῷ τοῦ
διὸς ηὐξήθη. καὶ ἐκ τούτου ἐλευθέραν τε
οἰκοῦμεν τὴν νῦσαν· καὶ αὐτοὶ αὐτόνομοι,
καὶ ἐν κόσμῳ πολιτεύοντες. τῆς δὲ ἐκ διο-
νύσου οἰκίσεως, καὶ τόδε σοι γενέσθω τεκμή-
ριον. κιττὸς γὰρ οὐκ ἄλλῃ τῆς ἰνδῶν γῆς φυό-
μενος, παρ' ἡμῖν φύεται. καὶ ταῦτα πάν-
τα ἀλεξάνδρῳ πρὸς θυμοῦ ἐγίγνετο ἀκού-
ειν,



ειν, καὶ ἤθελε πιστὰ εἶναι τὰ ὑπὲρ τοῦ διονύ-
σου τῆς πλάνης μυθευόμενα. καὶ κτίσμα
εἶναι διονύσου τὴν νῦσαν ἤθελεν, ὡς ἤδη
τε ἥκειν αὐτὸς, ἔνθα ἦλθε διόνυσος· καὶ ἐ-
πέκεινα ἐλθεῖν διονύσου, οὐδ' ἂν μακεδό-
νας τὸ πρόσω ἀπαξιῶσαι συμπονεῖν οἱ ἔτι,
κατὰ ζῆλον τῶν διονύσου ἔργων. καὶ δίδω-
σιν ἐλευθέρους τε εἶναι τοὺς οἰκήτορας τῆς
νύσης, καὶ αὐτονόμους. ὡς δὲ καὶ τοὺς νό-
μους ἐπύθετο αὐτῶν, καὶ ὅτι πρὸς τῶν ἀρί-
στων τὸ πολίτευμα ἔχεται, ταῦτά τε ἐπῄ-
νεσε, καὶ ἠξίωσε καὶ ἱππέων οἱ ξυμπέμψαι
ἐς τριακοσίους, καὶ τῶν προεστώτων τοῦ πο-
λιτεύματος (ἦσαν δὲ καὶ αὐτοὶ τριακό-
σιοι) ἑκατὸν τοὺς ἀρίστους ἐπιλεξάμενος.
ἄκουφιν δὲ εἶναι τὸν ἐπιλεγόμενον, ὅν τινα
καὶ ὕπαρχον τῆς χώρας τῆς νυσαίας κα-
τέστησεν αὐτός. τὸν δὲ ἄκουφιν ταῦτα ἀ-
κούσαντα, ἐπιμειδιάσαι λέγεται τῷ λό-
γῳ· καὶ ἀλέξανδρον ἐρέσθαι, ἐφ' ὅτῳ ἐγέλα-
σεν; ἀποκρίνασθαι δ' ἄκουφιν, καὶ πῶς ἂν
ὦ βασιλεῦ μία πόλις ἑκατὸν ἀνδρῶν ἀγα-
θῶν ἐρημωθεῖσα, ἔτι καλῶς πολιτεύοιτο;
ἀλλὰ

ἀλλὰ σὺ, εἴ σοι μέλει νυσαίων, τοὺς ἱππέας
μὲν ἄγεσθαι τοὺς τριακοσίους, καὶ εἰ βούλει
ἐπὶ τούτων πλείονας. ἀντὶ δὲ ἑκατὸν, οὕς τι-
νας τοὺς ἀρίστους ἐπιλέξαι σὺ κελεύεις, διπλα
σίους τῶν ἄλλων τῶν κακῶν ἄγεσθαι, ὅσοι καὶ
αὖθις ἀφικομένῳ δεῦρο ἐν τῷ αὐτῷ τούτῳ
κόσμῳ φανεῖν ἡ πόλις. ταῦτα λέγοντα, λέ
γειν γὰρ δόξαι φρόνιμα, πεῖσαι ἀλέξανδρον.
καὶ τοὺς μὲν ἱππέας ξυμπέμψειν ἐκέλευσε·
τοὺς δὲ ἑκατὸν τοὺς ἐπιλέκτους, μηκέτι αἰτῆ-
σαι, ἀλλὰ μηδὲ ἀντ' αὐτῶν ἄλλους. τὸν δὲ παῖ-
δα ἄρα τοῦ ἀκούφιος, καὶ τῆς θυγατρὸς
τὸν παῖδα, ξυμπέμψαι αὐτῷ ἄκουφιν. ἀ-
λέξανδρον δὲ πόθος ἔλαβεν ἰδεῖν τὸν χῶ-
ρον, ὅπου τινὰ ὑπομνήματα τοῦ διονύσου
οἱ νυσαῖοι ἐκόμπαζον, ἐλθεῖν τε ἐς τὸ ὄρος
τὸν μηρὸν ξὺν τοῖς ἑταίροις ἱππεῦσι, καὶ τῷ
πεζικῷ ἀγήματι, καὶ ἰδεῖν κισσοῦ τε ἀνά-
πλεων καὶ δάφνης τὸ ὄρος, καὶ ἄλση παν
τοῖα· καὶ ἰδεῖν σύσκιον, καὶ θήρας ἐν αὐτῷ
εἶναι θηρίων παντοδαπῶν. καὶ τοὺς μακε-
δόνας ἡδέως τὸν κισσὸν ἰδόντας, οἷα δὲ διὰ
μακροῦ ὀφθέντα· οὐ γὰρ εἶναι ἐν τῇ ἰνδῶν
χώρᾳ



χώρᾳ κισσὸν, οὐδὲ ἵνα περ αὐτοῖς ἄμπελοι ἦ-
σαν, στεφάνους σπουδῇ ἀπ' αὐτοῦ ποιεῖσθαι, ὡς
καὶ στεφανώσασθαι εἶχον, ἐφυμνοῦντας καὶ
διόνυσόν τε καὶ τὰς ἐπωνυμίας τοῦ θεοῦ
ἀνακαλοῦντας. θῦσαί τε αὐτοῦ ἀλέξανδρον
τῷ διονύσῳ, καὶ εὐωχηθῆναι ὁμοῦ τοῖς ἑταί-
ροις. οἱ δὲ καὶ τάδε ἀνέγραψαν, εἰ δή τῳ πι-
στὰ καὶ ταῦτα πολλοὺς τῶν ἀμφ' αὐτὸν τῶν
οὐκ ἠμελημένων μακεδόνων τῷ τε κισσῷ στε-
φανωμένους, καὶ ὑπὸ τῇ κατακλήσει τοῦ
θεοῦ κατασχεθῆναί τε πρὸς τοῦ διονύσου, καὶ
ἀνευάσαι τὸν θεὸν, καὶ βακχεῦσαι. καὶ
ταῦτα ὅπως τις ἐθέλει, ὑπολαβὼν ἀπι-
στείτω, ἢ πιστευέτω. οὐ γὰρ ἔγωγε ἐρατοσθένει
τῷ κυρηναίῳ πάντῃ ξυμφέρομαι, ὃς λέγει,
πάντα ὅσα ἐς τὸ θεῖον ἀναφέρεται ἐκ μακε-
δόνων, πρὸς χάριν τὴν ἀλεξάνδρου ἐς τὸ ὑ-
πέρογκον ἐπευφημισθῆναι. καὶ γὰρ καὶ σπήλαι-
ον λέγει ἰδόντας ἐν παραπαμισάδαις τοὺς μα
κεδόνας, καί τινα μῦθον ἐπιχώριον ἀκούσαν
τας, ἢ καὶ αὐτοὺς ξυνθέντας φημίσαι, ὅτι τοῦτ'
ἄρα ἦν τοῦ προμηθέως τὸ ἄντρον, ἵνα ἐδέ-
δετο, καὶ ὁ αἰετὸς ὅτι ἐκεῖσε ἐφοίτα, δαισόμενος
τῶν

τῶν σπλάγχνων τοῦ προμηθέως. καὶ ὁ ἡρακλῆς ὅτι ἐκεῖσε ἀφικόμενος, τόν τε ἀετὸν ἀπέκτεινε, καὶ τὸν προμηθέα τῶν δεσμῶν ἀπέλυσε. τὸν δὲ καύκασον τὸ ὄρος, ἐκ τοῦ πόντου ἐς τὰ πρὸς ἕω μέρη τῆς γῆς καὶ τὴν παραπαμισάδων χώραν, ὡς ἐπὶ ἰνδοὺς μετάγειν τῷ λόγῳ τοὺς μακεδόνας, παραπάμισον ὄντα τὸ ὄρος, αὐτοὺς καλοῦντας καύκασον τῆς ἀλεξάνδρου ἕνεκα δόξης, ὡς ὑπὲρ τὸν καύκασον ἄρα ἐλθόντα ἀλέξανδρον. ἔν τε αὐτῇ τῇ ἰνδῶν γῇ βοῦς ἰδόντας ἐγκεκαυμένας ῥόπαλον, τεκμηριοῦσθαι ἐπὶ τῷδε, ὅτι ἡρακλῆς ἐς ἰνδοὺς ἀφίκετο. ὅμοια δὲ καὶ ὑπὲρ διονύσου τῆς πλάνης ἀπιστεῖ ἐρατοσθένης. ἐμοὶ δὲ ἐν μέσῳ κείσθων οἱ ὑπὲρ τούτων λόγοι. ἀλέξανδρος δὲ ὡς ἀφίκετο ἐπὶ τὸν ἰνδὸν ποταμὸν, καταλαμβάνει γέφυράν τε ἐπ' αὐτῷ πεποιημένην πρὸς ἡφαιστίωνος, καὶ πλοῖα πολλὰ μὲν σμικρότερα, δύο δὲ τριακοντόρους, καὶ παρὰ ταξίλου τοῦ ἰνδοῦ δῶρα ἥκοντα, ἀργυρίου μὲν τάλαντα ἐς διακόσια, ἱερεῖα δὲ βοῦς μὲν τρισχιλίους· πρόβατα δὲ, ὑπὲρ μύρια· ἐλέ-

φαντας



φαντας δὲ, ἐς τριάκοντα· καὶ ἱππεῖς δὲ ἑπτακόσιοι αὐτῷ ἰνδῶν, ἐς ξυμμαχίαν παρὰ ταξίλου ἧκον· καὶ τὴν πόλιν τάξιλα, τὴν μεγίστην μεταξὺ ἰνδοῦ τε ποταμοῦ καὶ ὑδάσπου, ὅτι αὐτῷ ταξίλης ἐνδίδωσι. ἐνταῦθα θύει ἀλέξανδρος τοῖς θεοῖς, ὅσοις αὐτῷ νόμος. καὶ ἀγῶνα ποιεῖ γυμνικὸν καὶ ἱππικὸν, ἐπὶ τῷ ποταμῷ, καὶ γίνονται αὐτῷ ἐπὶ τῇ διαβάσει τὰ ἱερά. ὁ δὲ ἰνδὸς ποταμὸς ὅτι μέγιστος ποταμῶν ἐστι τῶν κατὰ τὴν ἀσίαν τε καὶ τὴν εὐρώπην, πλὴν γάγγου, καὶ τούτου ἰνδοῦ ποταμοῦ, καὶ ὅτι αἱ πηγαί εἰσιν αὐτῷ ἐπὶ τάδε τοῦ ὄρους τοῦ παραπαμίσου ἢ καυκάσου, καὶ ὅτι ἐκδιδῶσιν ἐς τὴν μεγάλην θάλασσαν τὴν κατὰ ἰνδοὺς, ὡς ἐπὶ νότον ἄνεμον, καὶ ὅτι δίστομός ἐστιν ὁ ἰνδὸς, καὶ αἱ ἐκβολαὶ αὐτοῦ ἀμφότεραι τεναγώδεις, καθάπερ αἱ πέντε τοῦ ἴστρου· καὶ ὅτι δέλτα ποιεῖ καὶ αὐτὸς ἐν τῇ ἰνδῶν γῇ, τῷ αἰγυπτίῳ δέλτα παραπλήσιον· καὶ τοῦτο, πάταλα καλεῖται τῇ ἰνδῶν φωνῇ. ταῦτα μὲν ὑπὲρ τοῦ ἰνδοῦ τὰ μάλιστα οὐκ ἀμφίλογα, καὶ ἐμοὶ ἀναγεγράφθω.

ἐπεὶ

ἐπεὶ καὶ ὁ ὑδάσπης, καὶ ἀκεσίνης, καὶ ὑ-
δραώτης, καὶ ὕφασις, καὶ οὗτοι ἰνδοὶ ποτα-
μοὶ ὄντες, τῶν μὲν ἄλλων τῶν ἀσιανῶν ποτα-
μῶν πολύ τι κατὰ μέγεθος ὑπερφέρουσι
τοῦ ἰνδοῦ ποταμοῦ δὲ, μείονές εἰσὶ, καὶ πο-
λὺ δὴ μείονες, ὅπου καὶ αὐτὸς ὁ ἰνδὸς τοῦ
* γάγγου. καὶ κτησίας ἐν τεκμηριώσιν. ἵνα
μὲν στενότατος αὐτὸς αὐτοῦ ὁ ἰνδὸς ἐστι, τεσ
σαράκοντα σταδίους, ὅτι διέχουσιν αὐτῷ αἱ
ὄχθαι. ἵνα δὲ πλατύτατος, καὶ ἑκατόν. τὸ
πολὺ δὲ εἶναι αὐτοῦ τὸ μέσον τούτοιν. τοῦτον
τὸν ποταμὸν ἰνδὸν ὑπὸ τὴν ἕω διέβαινε
ξὺν τῇ στρατιᾷ ἀλέξανδρος ἐς τὴν ἰνδῶν
τὴν γῆν. ὑπὲρ ὧν ἐγὼ, οὔτε οἷς τισι νόμοις
διαχρῶνται ἐν τῇδε τῇ ξυγγραφῇ ἀνέγρα-
ψα, οὔτε ζῶα εἰ δή τινα ἄτοπα ἡ χώρα αὐ-
τοῖς ἐκφέρει, οὔτε ἰχθύας ἢ κήτη ὅσα ἃ ὁ ἰν-
δὸς, ἢ ὁ ὑδάσπης, ἢ ὁ γάγγης, ἢ ἄλλοι ἰν-
δῶν ποταμοὶ φέρουσιν. οὐδὲ τοὺς μύρμη-
κας, τοὺς τὸν χρυσὸν σφίσιν ἐργαζομένους.
οὐδὲ τοὺς γρῦπας τοὺς φύλακας, οὐδὲ ὅσα
ἄλλα ἐφ᾽ ἡδονῇ μᾶλλόν τι πεποίηται, ἢ ἐς
ἀφήγησιν τῶν ὄντων, ὡς τά γε κατ᾽ ἰνδοὺς,
ὅσα



ὅσα ἂν ἄτοπα ψεύσωνται, οὐκ ἐξελεγχθη-
σόμενα πρὸς οὐδενῶν. ἀλλὰ ἀλέξανδρος γὰρ,
καὶ οἱ ξὺν αὐτῷ στρατεύσαντες, τὰ πολλὰ
ἐξήλεγξαν, ὅσα γε μὴ καὶ αὐτῶν ἔστιν οἱ ἐ-
ψεύσαντο, ἀχρύσους τε εἶναι ἰνδοὺς ἐξήλεγ-
ξαν, ὅσους γε δὴ ἀλέξανδρος ξὺν τῇ στρα-
τιᾷ ἐπῆλθε. πολλοὺς δὲ ἐπῆλθε, καὶ ἥκι-
στα χλιδῶντας κατὰ τὴν δίαιταν· ἀλλὰ με-
γάλους μὲν τὰ σώματα, οἵους μεγίστους τῶν
κατὰ τὴν ἀσίαν, πεντεπήχεις τοὺς πολλοὺς, ἢ
ὀλίγον ἀποδέοντας· καὶ μελαντέρους τῶν ἄλ
λων ἀνθρώπων, πλὴν αἰθιόπων. καὶ τὰ πο-
λέμια πολύ τι γενναιοτάτους, τῶν γε δὴ τότε
ἐποίκων τῆς ἀσίας. τὸ γὰρ περσῶν τῶν πάλαι,
ξὺν οἷς ὁρμηθεὶς ὁ κῦρος ὁ καμβύσου, μή-
δους τε τὴν ἀρχὴν τῆς ἀσίας ἀφείλετο, καὶ ἄλλα
ἔθνη, τὰ μὲν κατεστρέψατο, τὰ δὲ προσχωρή
σαντα οἱ ἑκόντα κατέσχεν, οὐκ ἔχω ἀτρεκῶς
ὥς γε δὴ πρὸς τὰ ἰνδῶν ξυμβαλεῖν. καὶ γὰρ
καὶ πέρσαι τότε πένητές τε ἦσαν, καὶ χώ
ρας τραχείας οἰκήτορες. καὶ νόμιμα σφίσιν
ἦν, οἷα ἐγγύτατα εἶναι τῇ λακωνικῇ παιδεύ-
σει. τὸ δὲ τραῦμα τὸ γενόμενον πέρσαις ἐν
τῇ

τῇ σκυθικῇ γῇ, οὐδὲ τοῦτο ἔχω ἀτρεκῶς ξυμβαλεῖν, πότερα δυσχωρίαις ξυνειρχθεῖσιν, ἢ τινὶ ἄλλῃ κύρου ἁμαρτίᾳ ξυνέβη, ἢ σκυθῶν γε τῶν ταύτῃ κακίους τὰ πολέμια πέρσαι ἦσαν. ἀλλὰ ὑπὲρ ἰνδῶν ἰδίᾳ μοι γεγράψεται, ὅσα πιστότατα ἐς ἀφήγησιν οἵ τε ξὺν ἀλεξάνδρῳ στρατεύσαντες, καὶ ὁ ἐκπεριπλεύσας τῆς μεγάλης θαλάσσης τὸ κατ' ἰνδοὺς νέαρχος. ἐπεὶ δὲ ὅσα μεγασθένης τε καὶ ἐρατοσθένης δοκίμω ἄνδρε ξυνεγραψάτην, καὶ νόμιμα ἅττα ἰνδοῖς ἐστι, καὶ εἰ δή τινα ἄτοπα ζῶα αὐτόθι φύεται, καὶ τὸν παράπλουν αὐτὸν τῆς ἔξω θαλάσσης. νῦν δὲ ὅσον ἐς τὰ ἀλεξάνδρου ἔργα ἀποχρῶν ἐφαίνετο, τοσόνδε μοι ἀναγεγράφθω. τὸν ταῦρον τὸ ὄρος, ἀπείργειν τὴν ἀσίαν ἀρχόμενον μὲν ἀπὸ μυκάλης τοῦ κατ' ἀντικρὺ σάμου τῆς νήσου ὄρους, ἀποτεμνόμενον δὲ τήν τε παμφύλων καὶ κιλίκων γῆν. ἔνθεν μὲν ὡς ἐς ἀρμενίαν παρήκειν. ἀπὸ δὲ ἀρμενίας, ὡς ἐπὶ μηδίαν παρὰ παρθυαίους τε καὶ χορασμίους. κατὰ δὲ βακτρίους, ξυμβάλλειν τῷ παραπαμισῷ ὄρει. ὃ δὴ

καύκασον



καύκασον ἐκάλουν οἱ ξὺν ἀλεξάνδρῳ ξυστρατεύσαντες μακεδόνες· ὡς μὲν λέγεται τὰ ἀλεξάνδρου αὔξοντες, ὅτι δὴ καὶ ἐπέκεινα ἄρα τοῦ καυκάσου κρατῶν τοῖς ὅπλοις, ἦλθεν ἀλέξανδρος. τυχὸν δὲ καὶ ξυνεχὲς τυγχάνει ὂν τοῦτο τὸ ὄρος, τῷ ἄλλῳ τῷ σκυθῶν, καὶ καυκάσῳ. καθάπερ οὖν αὐτὸς οὗτος ὁ ταῦρος, καὶ ἐμοὶ αὐτὸς πρότερόν ποτε ἤδη τῷδε λέλεκται καύκασος τὸ ὄρος τοῦτο· καὶ ὕστερον τῷδε τῷ ὀνόματι κληθήσεται. τὸν δὲ καύκασον τοῦτον καθήκειν ἔς τε ἤδη μεγάλην τὴν πρὸς ἕω τε καὶ ἰνδοὺς θάλασσαν. τοὺς οὖν ποταμοὺς, ὅσοι κατὰ τὴν ἀσίαν λόγου ἄξιοι, ἐκ τοῦ ταύρου τε καὶ τοῦ καυκάσου ἀνίσχοντας, τοὺς μὲν ὡς ἐπ' ἄρκτον τετραμμένον ἔχειν τὸ ὕδωρ, καὶ τούτων τοὺς μὲν ἐς τὴν λίμνην ἐκδιδόναι τὴν μαιῶτιν, τοὺς δὲ ἐς τὴν ὑρκανίαν καλουμένην θάλασσαν, καὶ ταύτην κόλπον οὖσαν τῆς μεγάλης θαλάσσης· τοὺς δὲ, ὡς ἤδη νότον ἄνεμον, τὸν εὐφράτην τε εἶναι, καὶ τὸν τίγρητα, καὶ τὸν ἰνδόν τε, καὶ τὸν ὑδάσπην, καὶ ἀκεσίνην, καὶ ὑδραώτην, καὶ

γ ὕφασιν,

ὕφασιν· καὶ ὅσοι ἐν μέσῳ τούτων τε καὶ τοῦ γάγγου ποταμοῦ, ἐς θάλασσαν καὶ οὗτοι ἐσβάλλουσιν· ἢ ἐς τενάγη ἀναχεόμενοι ἀφανίζονται, καθάπερ ὁ εὐφράτης ποταμὸς ἀφανίζεται. οὕτω δὴ τὰ τῆς ἀσίας ὧδε ἔχει, ὡς πρὸς τοῦ ταύρου τε καὶ τοῦ καυκάσου τέμνεσθαι ἀπὸ ἀνέμου ζεφύρου, ὡς ἐπὶ ἀπηλιώτην ἄνεμον τὴν ἀσίαν. τούτῳ δύο μὲν αὗται μέγισται πρὸς αὐτοῦ τοῦ ταύρου τῆς ἀσίας μοῖραι γίγνονται, ἡ μὲν πρὸς μεσημβρίην τε καὶ νότον ἄνεμον τοῦ ταύρου κεκλιμένη, ἡ δὲ ἐπὶ ἄρκτον τε καὶ ἄνεμον βορρᾶν. τῆς δὲ ὡς ἐπὶ νότον ἀσίας τετραχῆ αὖ τεμνομένης, μεγίστην μὲν μοῖραν τῶν ἰνδῶν γῆν ποιεῖ ἐρατοσθένης τε καὶ μεγασθένης, ὃς ξυνῆν μὲν σιβυρτίῳ τῷ σατράπῃ τῆς ἀραχωσίας· πολλάκις δὲ λέγει ἀφικέσθαι παρὰ σανδράκοττον τὸν ἰνδῶν βασιλέα. ἐλαχίστην δέ, ὅσην ὁ εὐφράτης ποταμὸς ἀπείργει, ὡς πρὸς τὴν ἡμετέραν θάλασσαν. δύο δὲ αἱ μεταξὺ εὐφράτου τε ποταμοῦ καὶ τοῦ ἰνδοῦ ἀπειργόμεναι, αἱ δύο ξυντεθεῖσαι, μόλις ἄξιαι τῇ ἰνδῶν γῇ ξυμβα-

λεῖν.



λεῖν. ἀπείργεσθαι δὲ τὴν ἰνδῶν χώραν πρὸς μὲν ἕω τε, καὶ ἀφηλιώτην ἄνεμον, ἔς τε ἐπὶ τὸ μεσημβρίαν τῇ μεγάλῃ θαλάσσῃ· τὸ πρὸς βορρᾶν δὲ αὐτῆς ἀπείργειν τὸν καύκασον τὸ ὄρος, ἔς τε ἐπὶ τοῦ ταύρου τὴν ξυμβολήν· τὴν δέ, ὡς πρὸς ἑσπέραν τε, καὶ ἄνεμον ἰάπυγα ἔς τε ἐπὶ τὴν μεγάλην θάλασσαν, ὁ ἰνδὸς ποταμὸς ἀποτέμνεται. καὶ ἔστι πεδίον ἡ πολλὴ αὐτῆς. καὶ τοῦτο εἰκάζουσιν ἐκ τῶν ποταμῶν προσκεχωσμένων. εἶναι γὰρ οὖν καὶ τῆς ἄλλης χώρας, ὅσα πεδία οὐ πρόσω θαλάσσης τὰ πολλὰ τῶν ποταμῶν παρ' ἑκάστοις ποιήματα. ὡς δὲ καὶ τῆς χώρας τὴν ἐπωνυμίαν τοῖς ποταμοῖς ἐκ παλαιοῦ προσκεῖσθαι, καθάπερ ἕρμου τέ τι πεδίον λέγεσθαι, ὃς κατὰ τὴν ἀσίαν γῆν ἀνίσχων, ἐξ ὄρους μητρὸς δινδυμήνης, παρὰ πόλιν σμύρναν αἰολικὴν ἐκδιδοῖ ἐς θάλασσαν. καὶ ἄλλο καΰστρου πεδίον λύδιον, καὶ λυδίου ποταμοῦ. καὶ καΐκου, ἄλλο ἐν μυσίᾳ, καὶ μαιάνδρου τὸ καρικόν, ἔς τε ἐπὶ μίλητον πόλιν ἰωνικήν. αἴγυπτόν τε ἡρόδοτός τε καὶ ἑκαταῖος οἱ λογοποιοί, ἢ εἰ δή του ἄλλου ἢ ἑκαταίου

ὅτι τὰ ἀμφὶ τῇ γῇ τῇ αἰγυπτίᾳ ποιήματα, δῶρόν τε τοῦ ποταμοῦ ἀμφότεροι ὡσαύτως ὀνομάζουσι, καὶ οὐκ ἀμαυροῖς τεκμηρίοις, ὅτι ταύτῃ ἔχει ἡροδότῳ ἐπιδέδεικται· ὡς καὶ τὴν γῆν αὐτὴν τυχὸν ποταμοῦ εἶναι ἐπώνυμον. αἴγυπτος γὰρ τὸ παλαιὸν ὁ ποταμὸς ὅτι ἐκαλεῖτο, ὃν τινα νῦν νεῖλον αἰγύπτιοί τε, καὶ οἱ ἔξω αἰγύπτου ἄνθρωποι ὀνομάζουσιν, ἱκανὸς τεκμηριῶσαι ὅμηρος λέγων, ἐπὶ τῇ ἐκβολῇ τοῦ αἰγύπτου ποταμοῦ τὸν μενέλεων στῆσαι τὰς νῆας. εἰ δὴ οὖν εἷς τε ποταμὸς παρ' ἑκάστοις, καὶ οὐ μεγάλοι οὗτοι ποταμοί, ἱκανοὶ γῆν πολλὴν ποιῆσαι, ἐς θάλασσαν προχεόμενοι, ὁπότε ἰλὺν καταφέροιεν καὶ πηλὸν ἐκ τῶν ἄνω τόπων, ἔνθεν περ αὐτοῖς αἱ πηγαί εἰσιν, οὐδὲ ὑπὲρ τῆς ἰνδῶν ἄρα χώρας ἐς ἀπιστίαν εἶναι ἄξιον, ὅπως πεδίον τε ἡ πολλή ἐστι, καὶ ἐκ τῶν ποταμῶν τὸ πεδίον ἔχει προσκεχωσμένον. ἕρμον γὰρ, καὶ κάϋστρον, καὶ κάϊκόν τε καὶ μαίανδρον, ἢ ὅσοι πολλοὶ ποταμοὶ τῆς ἀσίας, ἐς τήνδε τὴν ἐντὸς θάλασσαν ἐκδιδοῦσιν· οὐδὲ ξύμπαντας ξυν-





ξυντεθέντας ἑνὶ τῶν ἰνδῶν ἄξιον ξυμβαλεῖν, πλήθους ἕνεκα τοῦ ὕδατος· μὴ ὅτι τῷ γάγγῃ τῷ μεγίστῳ, ὅτῳ οὔτε νείλου ὕδωρ τοῦ αἰγυπτίου, οὔτε ὁ ἴστρος ὁ κατὰ τὴν εὐρώπην ῥέων, ἄξιοι ξυμβαλεῖν, ἀλλ' οὐδὲ τῷ ἰνδῷ ποταμῷ, ἐκεῖνοί γε πάντες ξυμμιχθέντες, ἴσοι ἔρχονται· ὃς μέγας τε εὐθὺς ἀπὸ τῶν πηγῶν ἀνίσχει, καὶ πεντεκαίδεκα ποταμοὺς πάντας τῶν ἀσιανῶν μείζονας παραλαβὼν, καὶ τῇ ἐπωνυμίᾳ κρατήσας, οὕτως ἐκδιδοῖ ἐς θάλασσαν, ταῦτά μοι ἐν τῷ παρόντι περὶ ἰνδῶν τῆς χώρας λελέχθω. τὰ δὲ ἄλλα, ἀποκείσθω ἐς τὴν ἰνδικὴν ξυγγραφήν. τὸ δὲ ζεῦγμα τὸ ἐπὶ τοῦ ἰνδοῦ ποταμοῦ, ὅπως μὲν ἐποιήθη ἀλεξάνδρῳ, οὔτε ἀριστόβουλος, οὔτε πτολεμαῖος, οἷς μάλιστα ἐγὼ ἕπομαι, λέγουσιν· οὐδὲ αὐτὸς ἔχω ἀτρεκῶς εἰκάσαι, πότερα πλοίοις ἐζεύχθη ὁ πόρος, καθάπερ οὖν ὁ ἑλλήσποντός τε πρὸς ξέρξου, καὶ ὁ βόσπορός τε καὶ ὁ ἴστρος πρὸς δαρείου, ἢ γέφυρα κατὰ τοῦ ποταμοῦ διηνεκὴς ἐποιήθη αὐτῷ. δοκεῖ δέ ἔμοι γε πλοίοις μᾶλλον ζευχθῆναι, οὐ γὰρ ἂν δέ-

ξασθαι γέφυραν τὸ βάθος τοῦ ὕδατος, οὐδ' ἂν ἐν τοσῷδε χρόνῳ ἔργον οὕτως ἄπορον ξυντελεσθῆναι. εἰ δὲ δὴ πλοίοις ἐζεύχθη ὁ πόρος, πότερα ξυντεθεῖσαι αἱ νῆες σχοίνοις, καὶ κατὰ στοῖχον ὁρμισθεῖσαι ἐς τὸ ζεῦγμα ἀπήρκεσαν, ὡς λέγει ἡρόδοτος ζευχθῆναι τὸν ἑλλήσποντον, ἢ ὅτῳ τρόπῳ ῥωμαίοις ἐπὶ τῷ ἴστρῳ ποταμῷ ζεῦγμα ποιεῖται, καὶ ἐπὶ τῷ ῥήνῳ τῷ κελτικῷ, καὶ τὸν εὐφράτην καὶ τὸν τίγρητα, ὁσάκις κατέλαβεν αὐτοὺς ἀνάγκη, ἐγεφύρωσαν, οὐδὲ τοῦτο ἔχω ξυμβαλεῖν. καίτοι γε ταχυτάτη ὡς ἐγὼ οἶδα ῥωμαίοις ἡ γεφύρωσις, ἡ διὰ τῶν νεῶν γίγνεται. καὶ ταύτην ἐγὼ ἀφηγήσομαι ἐν τῷ παρόντι, ὅτι λέγουσιν ἀξία. αἱ νῆες αὐτοῖς κατὰ πόρον ἀφίενται ἀπὸ ξυνθήματος, οὐκ ἐπ' εὐθὺ, ἀλλὰ καθάπερ αἱ πρύμναν κρουόμεναι. ταύτας ὑποφέρει μὲν, οἷα εἰκὸς, ὁ ῥοῦς. ἀνέχει δὲ κελήτιον ἐπῆρες ἐς τ' ἂν κατασταθῇ, ἐς τὸ τεταγμένον χωρίον. καὶ ἐνταῦθα ἤδη καθίεται πλέγματα ἐκ λύγου πυραμοειδῆ πλήρη λίθων λογάδων ἀπὸ πρῴρας ἑκάστης

νεώς,



νεὼς, τοῦ ἀνέχειν τὴν ναῦν πρὸς τὸν ῥοῦν. ὅτε δὲ δὴ μία τις τῶν νεῶν ἅμα δὴ ἐσχέθη, καὶ ἄλλη ἀπὸ ταύτης δέχουσα, ὅσον ξύμμετρον πρὸς ἰσχὺν τῶν ἐπιβαλλομένων ἀντίπρῳρος πρὸς τὸ ῥεῦμα ὁρμίζεται· καὶ ἀπ' ἀμφοῖν ξύλα τε εὐθὺ ὀξέως ἐπιβάλλεται, καὶ σανίδες ἐγκάρσιαι ἐς τὸ ξυνδεῖν. καὶ διὰ πασῶν οὕτω τῶν νεῶν, ὅσαι ἱκαναὶ γεφυρῶσαι τὸν πόρον. χωρεῖ τὸ ἔργον. ἑκατέρωθεν δὲ τοῦ ζεύγματος, κλίμακες προσβάλλονται καταπηγνύμεναι, τοῦ ἀσφαλεστέραν τοῖς τε ἵπποις καὶ τοῖς ζεύγεσι τὴν ἔφοδον γίγνεσθαι. καὶ ἅμα ὡς σύνδεσμος εἶναι τοῦ ζεύγματος, δι' ὀλίγου τε ξυντελεῖται ἅπαν· καὶ ξὺν πολλῷ θορύβῳ, καὶ τὸ τεταγμένον ἐν τῷ δρωμένῳ, ὅμως οὐ κάτεστιν. οἵ τε παρακελευσμοὶ ὡς ἐντύχοιεν ἐπὶ ναῦν ἑκάστην, καὶ αἱ ἐπιτιμήσεις τοῦ ἐκλιποῦς, οὔτε τὴν κατάκουσιν τῶν παραγγελμάτων, οὔτε τὴν ὀξύτητα τοῦ ἔργου ἀφαιροῦνται. ῥωμαίοις μὲν δὴ οὕτω ταῦτα ἐκ παλαιοῦ ἐπήσκηται. ἀλεξάνδρῳ δὲ, ὅπως ἐζεύχθη ὁ ἰνδὸς ποταμὸς,

 οὐκ

οὐκ ἔχω εἰπεῖν ὅτι μηδὲ οἱ συστρατεύσαντες αὐτῷ εἶπον· ἀλλά μοι δοκεῖ, ὡς ἐγγυτάτω τούτων ἐζεῦχθαι, ἢ εἰ δή τινι ἄλλῃ μηχανῇ, ἐκείνη ἐχέτω. ὡς δὲ διέβη πέραν τοῦ ἰνδοῦ ποταμοῦ, καὶ ἐνταῦθα αὖ θύει κατὰ νόμον ἀλέξανδρος· ἄρας δὲ ἀπὸ τοῦ ἰνδοῦ, ἐς τάξιλα ἀφίκετο, πόλιν μεγάλην καὶ εὐδαίμονα, τὴν μεγίστην τῶν μεταξὺ ἰνδοῦ τε ποταμοῦ, καὶ ὑδάσπου. καὶ δέχεται αὐτὸν ταξίλης ὁ ὕπαρχος τῆς πόλεως, καὶ αὐτοὶ οἱ ταύτῃ ἰνδοὶ φιλίως· καὶ ἀλέξανδρος προστίθησιν αὐτοῖς χώραν τῆς ὁμόρου, ὅσης ἐδέοντο. ἧκον δὲ ἐνταῦθα παρ' αὐτὸν καὶ παρὰ ἀμβισάρου πρέσβεις, τοῦ τῶν ὀρείων ἰνδῶν βασιλέως, ὅ, τε ἀδελφὸς αὐτοῦ ἀμβισάρου, καὶ ἄλλοι ξὺν αὐτῷ, οἱ δοκιμώτατοι· καὶ παρὰ δοξάρεως νομάρχου ἄλλοι, δῶρα φέροντες. καὶ ἐνταῦθα αὖ ἀλέξανδρος ἐν ταξίλοις θύει, ὅσα οἱ νόμος· καὶ ἀγῶνα ποιεῖ γυμνικόν τε, καὶ ἱππικόν. καὶ ἀποδείξας σατράπην τῶν ταύτῃ ἰνδῶν, φίλιππον τὸν μαχάτα, φρουρὰν τε ἀπολείπει ἐν ταξίλοις, καὶ τοὺς ἀπομάχους



χους τῶν στρατιωτῶν διὰ νόσον· αὐτὸς δὲ ᾔει, ὡς ἐπὶ τὸν ὑδάσπην ποταμόν. ἐπέκεινα γὰρ τοῦ ὑδάσπου πῶρος αὐτῷ εἶναι ἐξηγγέλλετο, ξὺν τῇ στρατιᾷ πάσῃ, ἐγνωκὼς εἴργειν τοῦ πόρου αὐτόν, ἢ περῶντι ἐπιτίθεσθαι. ταῦτα ὡς ἔγνω ἀλέξανδρος, κοῖνον μὲν τὸν πολεμοκράτους πέμψας ὀπίσω ἐπὶ τὸν ἰνδὸν ποταμόν, τὰ πλοῖα ὅσα παρεσκεύαστο αὐτῷ ἐπὶ τοῦ πόρου τοῦ ἰνδοῦ, ξυντεμόντα κελεύει φέρειν, ὡς ἐπὶ τὸν ὑδάσπην ποταμόν. καὶ ξυνετμήθη τε τὰ πλοῖα, καὶ ἐκομίσθη αὐτῷ, ὅσα μὲν βραχύτερα, διχῇ διατμηθέντα. αἱ τριακόντοροι δὲ, τριχῶς ἐτμήθησαν. καὶ τὰ τμήματα ἐπὶ ζευγῶν, διεκομίσθη, ἔς τε ἐπὶ τὴν ὄχθην τοῦ ὑδάσπου· κἀκεῖ ξυμπηχθέντα ναυτικόν, αὖθις δὴ ὁμοῦ ὤφθη ἐν τῷ ὑδάσπῃ. αὐτὸς δὲ ἀναλαβὼν τήν τε δύναμιν ἔχων, ἧκεν ἐς τάξιλα. καὶ πεντακισχιλίους τῶν ἰνδῶν, οὓς ταξίλης τε καὶ οἱ ταύτης ὕπαρχοι ἦγον, ᾔει ὡς ἐπὶ τὸν ὑδάσπην ποταμόν. καὶ ἀλέξανδρος κατεστρατοπέδευσεν ἐπὶ τῇ ὄχθῃ τοῦ ὑδάσπου. καὶ πῶρος κατὰ

τὴν

τὴν ἀντιπέραν ὄχθην ὤφθη ξυμπάσῃ τῇ
στρατιᾷ, καὶ τῶν ἐλεφάντων τῷ στίφει, ταύ-
τῃ μὲν δὴ ᾗ κατεστρατοπεδευκότα εἶδεν
ἀλέξανδρον, αὐτὸς μένων, ἐφύλαττε τὸν
πόρον. ὅσα δὲ ἄλλα τοῦ ποταμοῦ εὐπορώ-
τερα, ἐπὶ ταῦτα φρουρὰς διαπέμψας, καὶ
ἡγεμόνας ἐπιστήσας ἑκάστοις, εἴργειν ἐγνώκει
διὰ τοῦ πόρου τοὺς μακεδόνας. ταῦτα δὲ ὁ-
ρῶντι ἀλεξάνδρῳ, κινητέα καὶ αὐτῷ ἐδό-
κει ἡ στρατιὰ πολλαχῇ, ὡς τὸν πῶρον ἀμφί-
βολον γίγνεσθαι. διελὼν δὲ εἰς πολλὰ τὸν
στρατὸν, τοὺς μὲν αὐτὸς ἄλλῃ καὶ ἄλλῃ ἦγε
τῆς χώρας, τὰ μὲν πορθῶν ὅσα πολέμια
τὰ δὲ σκοπῶν, ὅπῃ εὐπορώτερος αὐτῷ ὁ
ποταμὸς φανεῖται. τοὺς δὲ τῶν ἡγεμόνων,
ἄλλοις καὶ ἄλλοις ἐπιτάξας, καὶ αὐτοὺς πολ
λαχῇ διέπεμπε. σῖτος δὲ αὐτῷ πάντοθεν
ἐκ τῆς ἐπὶ τάδε τοῦ ὑδάσπου χώρας, ἐς τὸ
στρατόπεδον ξυνεκομίζετο. ὡς δῆλον εἶναι
τῷ πώρῳ ὅτι ἐγνωκὼς εἴη προσλιπαρεῖν
τῇ ὄχθῃ, ἔς τε τὸ ὕδωρ τοῦ ποταμοῦ μεῖον
γινόμενον τοῦ χειμῶνος πολλαχῇ. παρα-
δοῦναί οἱ τὸν πόρον, τά τε πλοῖα αὐτῷ ἄλ
λῃ



λῃ καὶ ἄλλῃ παραπλέοντα. καὶ αἱ διφθέ-
ραι τῆς κάρφης ἐμπιπλάμεναι, καὶ ἡ ὄχθη
πλήρης πᾶσα φαινομένη, τῇ μὲν ἱππέων,
τῇ δὲ πεζῶν, οὐκ εἴα ἠρεμεῖν τὸν πῶρον. οὐ
δὲ ἕν τι ἐπιλεξάμενον εἰς φυλακὴν ξύμφο-
ρον, εἰς τοῦτο ἐκ πάντων παρασκευάζεσθαι.
ἄλλως τε γὰρ μὲν τῷ τότε οἱ ποταμοὶ πάν-
τες οἱ ἰνδοὶ, πολλοῦ τε ὕδατος καὶ θο-
λεροῦ ἔρρεον, καὶ ὀξέος τοῦ ῥεύματος. ἦν
γὰρ ὥρα ἔτους, ᾗ μετὰ τροπὰς μάλιστα ἐν
θέρει τρέπεται ὁ ἥλιος. ταύτῃ δὲ τῇ ὥρᾳ,
ὕδατά τε ἐξ οὐρανοῦ ἀθρόα τε καταφέρε-
ται εἰς τὴν γῆν τὴν ἰνδικὴν· καὶ αἱ χιόνες
αἱ τοῦ καυκάσου, ἔνθενπερ τῶν πολλῶν πο
ταμῶν αἱ πηγαί εἰσι, κατατηκόμεναι αὔ-
ξουσιν αὐτοῖς τὸ ὕδωρ ἐπὶ μέγα. χειμῶνος
δὲ ἔμπαλιν ἴσχουσιν, ὀλίγοι τε γίγνονται
καὶ καθαροὶ ἰδεῖν, καὶ ἔστιν ὅπου περάσιμοι,
πλήν γε δὴ τοῦ ἰνδοῦ καὶ γάγγου, καὶ τυχὸν
καὶ ἄλλου. ἀλλ' ὅ γε ὑδάσπης, περατὸς γίγνε-
ται. ταύτην οὖν τὴν ὥραν τοῦ ἔτους προσμέ-
νειν εἰς τὸ φανερὸν ἔφασκεν, εἰ ἐν τῷ τότε
εἴργοιτο. ὁ δὲ οὐδὲν μεῖον ἐφεδρεύων ἔμενεν,
ὅπη

εἴ πη λάθοι ὑφ' ἁρπάσας ὀξέως τὸν πό-
ρον, ἧ μὲν δὴ αὐτὸς πῶρος κατεστρατοπε-
δεύκει πρὸς τῇ ὄχθῃ τοῦ ὑδάσπου, ἔγνω
ἀδύνατος ὢν περᾶσαι, ὑπὸ τοῦ πλήθους
τῶν ἐλεφάντων, καὶ ὅτι πολλὴ στρατιὰ, καὶ
αὕτη τεταγμένη τε, καὶ ἀκριβῶς ὡπλισ-
μένη ἐκβαίνουσιν αὐτοῖς ἐπιθήσεσθαι ἔμελ
λεν. οἵ τε ἵπποι οὐκ ἂν ἐδόκουν αὐτῷ ἐθε-
λῆσαι, οὐδὲ ἐπιβῆναι τῆς ὄχθης τῆς πέ-
ραν, προσκειμένων σφίσιν εὐθὺς τῶν ἐλε-
φάντων, καὶ τῇ τε ὄψει ἅμα καὶ τῇ φωνῇ
φοβούντων, οὐδ' ἂν ἔτι πρόσθεν μεῖναι ἐπὶ
τῶν διφθερῶν κατὰ τὸν πόρον, ἀλλ' ἐκπη-
δᾶν γὰρ ἐς τὸ ὕδωρ, ἀφορῶντες πέραν τοὺς
ἐλέφαντας, καὶ ἔκφρονες γιγνόμενοι. κλέ-
ψαι οὖν ἐπενόει τὴν διάβασιν, ὧδε πράτ-
των. νύκτωρ παραγαγὼν ἄλλῃ καὶ ἄλλῃ
τῆς ὄχθης τοὺς πολλοὺς τῶν ἱππέων, βοήν τε
ἐποίει, καὶ ἠλαλάζετο τῷ ἐνυαλίῳ. καὶ τ'
ἄλλα ὅσα ἐπὶ διαβάσει συσκευαζομένων,
θόρυβος παντοδαπὸς ἐγίγνετο. καὶ ὁ πῶ-
ρος τε ἀντιπαρῄει, πρὸς τὴν βοὴν ἐπάγων
τοὺς ἐλέφαντας· καὶ ἀλέξανδρος ἐς ἔθος
αὐτὸν



αὐτὸν τῆς ἀντιπαραγωγῆς καθίστη. ὡς δὲ
ἐπὶ πολὺ τοῦτο ἐγίγνετο, καὶ ἡ βοὴ μόνον καὶ
ὁ ἀλαλαγμὸς ἦν, οὐκέτι ὁ πῶρος μετεκι-
νεῖτο πρὸς τὰς ἐκδρομὰς τῶν ἱππέων. ἀλλ'
ἐκεῖνον γὰρ γνοὺς τὸν φόβον κατὰ χώραν,
ἐπὶ στρατοπέδου ἔμενε· σκοποὶ δὲ αὐτῷ
πολλαχοῦ τῆς ὄχθης καθεστήκεσαν. ἀλέξαν
δρος δὲ ὡς ἐξείργαστο αὐτῷ ἄφοβον τὸ τοῦ
πώρου ἐς τὰς νυκτερινὰς ἐπιχειρήσεις, μη-
χανᾶται τοιόνδε. ἄκρα ἦν ἀνέχουσα τῆς
ὄχθης τοῦ ὑδάσπου, ἵνα ἐπέκαμπτεν ὁ πο-
ταμὸς, λόγου ἀξίως· αὐτή τε δασεῖα εἴδει
παντοίων δένδρων, καὶ κατ' αὐτὴν νῆσος
ἐν τῷ ποταμῷ, ὑλώδης τε καὶ ἀστιβὴς ὑπὸ
ἐρημίας. ταύτην καταμαθὼν τὴν νῆσον καὶ
τὰ ἀντικρὺ τῆς ἄκρας, ἀμφότερον ὑλώδη
τὰ χωρία, καὶ οἷα κρύψαι τῆς διαβάσεως
τὴν ἐπιχείρησιν. ταύτῃ δὲ ἔγνω διαβιβά-
ζειν τὸν στρατόν. ἀπεῖχε δὲ ἥ τε ἄκρα, καὶ ἡ
νῆσος τοῦ μεγάλου στρατοπέδου, ἐς πεν-
τήκοντα καὶ ἑκατὸν σταδίους. παρὰ πᾶ-
σαν δὲ τὴν ὄχθην, φυλακαί τε αὐτῷ καθε-
στηκυῖαι ἦσαν, διαλείπουσαι ὅσον ξύμμε-
τρον

τρον ἂν τὸ ξυνορᾶν τε ἀλλήλους, καὶ κατακούειν εὐπετῶς ὁπόθεν τι παραγγέλλοιτο. καὶ πανταχόθεν βοαί τε νύκτωρ, ἐπὶ πολλὰς νύκτας ἐγίγνοντο, καὶ πυρὰ ἐκάλετο. ἐπειδὴ δὲ ἔγνω ἐπιχειρεῖν τῷ πόρῳ, ἐπὶ μὲν τοῦ στρατοπέδου, φανερῶς αὐτῷ τὰ τῆς διαβάσεως παρεσκευάζετο. καὶ κρατερὸς ὑπελέλειπτο ἐπὶ στρατοπέδου, τήν τε αὐτοῦ ἔχων ἱππαρχίαν, καὶ τοὺς ἐξ ἀραχώτων καὶ παραπαμισάδων ἱππέας, καὶ τῆς φάλαγγος τῶν μακεδόνων, τήν τε ἀλκέτου καὶ τὴν πολυπέρχοντος τάξιν, καὶ τοὺς νομάρχας τῶν ἐπὶ τάδε ἰνδῶν, καὶ τοὺς ἅμα τούτοις τοὺς πεντακισχιλίους, παρήγγελτο δὲ κρατερῷ μὴ πρὶν διαβαίνειν τὸν πόρον, πρὶν ἀπαλλαγῆναι πῶρον ἐπὶ σφᾶς ξὺν τῇ δυνάμει, ἢ φεύγοντα μαθεῖν, αὐτοὺς δὲ νικῶντας. ἢν δὲ μέρος μέν τι τῆς στρατιᾶς, ἀναλαβὼν πῶρος ἐπ' ἐμὲ ἄγῃ, μέρος δέ τι ὑπολειφθῇ αὐτῷ ἐπὶ στρατοπέδου, καὶ ἐλέφαντες, σὺ δὲ δικαίως μένειν κατὰ χώραν. εἰ δὲ τοὺς ἐλέφαντας ξύμπαντας ἅμα οἱ ἄγει πῶρος ἐπ' ἐμὲ, τῆς δὲ ἄλλης στρατιᾶς ὑπολεί-

ποιτό



ποιτό τι ἐπὶ στρατοπέδου, σὺ δὲ διαβαίνειν σπουδῇ. οἱ γὰρ ἐλέφαντες μόνοι ἔφη, ἄποροί εἰσιν πρὸς τοὺς ἐκβαίνοντας ἵππους, ἡ δὲ ἄλλη στρατιὰ ταῦτα μὲν κρατερῷ ἐνετέλλετο. ἐν μέσῳ δὲ τῆς νήσου τε καὶ τοῦ μεγάλου στρατοπέδου, ἵνα αὐτῷ κρατερὸς ἐπιλέλειπτο, μελέαγρός τε καὶ ἄτταλος καὶ γοργίας ξὺν τοῖς μισθοφόροις ἱππεῦσί τε καὶ πεζοῖς ἐτετάχατο. καὶ τούτοις διαβαίνειν παρηγγέλλετο, κατὰ μέρος διελόντας τὴν στρατιὰν, ὁπότε ξυνεχομένους ἤδη ἐν τῇ μάχῃ τοὺς ἰνδοὺς ἴδοιεν. αὐτὸς δὲ ἐπιλεξάμενος τῶν τε ἑταίρων τὸ ἄγημα, καὶ τὴν ἡφαιστίωνος ἱππαρχίαν, καὶ τὴν περδίκκου τε καὶ δημητρίου, καὶ τοὺς ἐκ βάκτρων καὶ σογδιανῶν καὶ τοὺς σκύθας ἱππέας, καὶ δάας τοὺς ἱπποτοξότας, καὶ τῆς φάλαγγος τούς τε ὑπασπιστὰς, καὶ τὴν κλείτου τε καὶ κοίνου τάξιν, καὶ τοὺς τοξότας, καὶ τοὺς ἀγριᾶνας, ἦγεν ἀφανῶς πολύ τι ἐπέχων τῆς ὄχθης, τοῦ μὴ καταφανὴς εἶναι ἄγων ἐπὶ τὴν νῆσον καὶ τὴν ἄκραν, ἔνθεν διαβαίνειν αὐτῷ ἦν ἐγνωσμένον. καὶ ἐνταῦθα ἐπληροῦντο τῆς νυκτὸς

αἱ

αἱ διφθέραι τῆς κάρφου, ἐκ πολλοῦ ἤδη παρενηνεγμέναι, καὶ κατερράπτοντο ἐς ἀκρίβειαν. ὕδωρ τε ἐξ οὐρανοῦ τῆς νυκτὸς λάβρον γίνεται ταύτῃ, καὶ μᾶλλόν τι ἡ παρασκευή τε αὐτῷ, καὶ ἡ ἐπιχείρησις ἡ ἐς τὴν διάβασιν, οὐ φανερὰ κατέστη τῷ κτύπῳ τῷ ἀπὸ τῶν ὅπλων, καὶ τῷ θορύβῳ τῷ ἀπὸ τῶν παραγγελμάτων, τῶν τε βροντῶν καὶ τῶν ὄμβρων ἀντιπαταγούντων, καὶ τῶν πλοίων τε τὰ πολλὰ αὐτῷ ξυντετμημένα παρεκεκόμιστο ἐς τὸν χῶρον τοῦτον, καὶ ἀφανῶς αὖθις ξυμπεπηγμένα ἐν τῇ ὕλῃ ἐκρύπτετο, τά τε ἄλλα, καὶ αἱ τριακόντοροι. ὑπὸ δὲ τὴν ἕω, ὅ τε ἄνεμος καὶ ὁ ὄμβρος κεκοίμητο, καὶ ἡ μὲν ἄλλη στρατιὰ αὐτῶν ἡ ἱππικὴ τῶν διφθερῶν ἐπιβᾶσα, καὶ ὅσους τῶν πεζῶν τὰ πλοῖα ἐδέχετο, ἐπέρα κατὰ τὴν νῆσον, ὡς μὴ πρόσθεν ὀφθεῖεν πρὸς τῶν σκοπῶν τῶν ἐκ πώρου καθεστηκότων, πρὶν παραλλάξαντας τὴν νῆσον, ὀλίγον ἔτι ἀπέχειν τῆς ὄχθης. αὐτὸς δὲ ἐπιβὰς τριακοντόρου, ἐπέρα. καὶ ἅμα αὐτῷ πτολεμαῖός τε καὶ περδίκκας καὶ λυσίμαχος, οἱ σω-





ματοφύλακες, καὶ σέλευκος τῶν ἑταίρων, ὁ βασιλεύσας ὕστερον, καὶ τῶν ἱππασπιστῶν οἱ ἡμίσεες· τοὺς δὲ ἄλλους ἱππασπιστὰς, ἄλλαι τριακόντοροι ἔφερον. ὡς δὲ τὴν νῆσον παρήλλαξεν ἡ στρατιὰ, φανερῶς ἤδη ἐπεῖχον τῇ ὄχθῃ. καὶ οἱ σκοποὶ κατιδόντες αὐτῶν τὴν ὁρμὴν, ὡς ἑκάστοις τάχους οἱ ἵπποι εἶχον, ἤλαυνον ὡς ἐπὶ τὸν πῶρον. ἐν τούτῳ δὲ ἀλέξανδρος πρῶτος αὐτὸς ἐκβὰς, καὶ τοὺς ἀπὸ τῶν ἄλλων τριακοντόρων ἀναλαβὼν, ξυνέταττε τοὺς ἀεὶ ἐκβαίνοντας τῶν ἱππέων. οἱ γὰρ ἱππεῖς πρῶτοι ἐτετάχατο αὐτῷ ἐκβαίνειν· καὶ τούτους ἄγων προῆγεν ἐν τάξει. ἔλαθε δὲ οὐκ ἐς βέβαιον χωρίον ἐκβὰς ἀγνοίᾳ τῶν τόπων. ἀλλὰ ἐς νῆσον γὰρ καὶ αὐτὴν μεγάλην ἤδη, καὶ μᾶλλον νῆσος οὖσα ἔλαθεν, οὐ πολλῷ δὲ ὕδατι πρὸς τοῦ ποταμοῦ ἀποτεμνομένη ἀπὸ τῆς ἄλλης γῆς. καὶ ἅμα ηὐξήκει τὸ ὕδωρ ὁ ὄμβρος, λάβρος τε καὶ ἐπὶ πολὺ τῆς νυκτὸς κατασχὼν, ὥς τε οὐκ ἐξεύρισκον αὐτοῦ οἱ ἱππεῖς τὸν πόρον. καὶ δέος ἦν αὖθις ἄλλου δεῆσαι αὐτῷ ἐπὶ τῇ διαβάσει ἴσου τοῦ πρώτου

πόνου. ὡς δὲ ἐξηυρέθη ποτὲ ὁ πόρος, ἦγε κατ' αὐτὸν χαλεπῶς. ἦν γὰρ τῶν μὲν πεζῶν ὑπὲρ τοὺς μαστοὺς τὸ ὕδωρ, ἵνα περ τὸ βαθύτατον αὐτοῦ· τῶν δὲ ἵππων, ὅσον τὰς κεφαλὰς ὑπερίσχειν τοῦ ποταμοῦ. ὡς δὲ καὶ τοῦτον ἐπέρασεν αὐτῷ τὸ ὕδωρ, ἐπὶ μὲν τὸ δεξιὸν κέρας παρήγαγε τό, τε ἄγημα τῶν ἱππέων, καὶ τῶν ἄλλων ἱππαρχιῶν τοὺς κρατίστους ἐπιλεξάμενος. τοὺς δὲ ἱπποτοξότας τῆς πάσης ἵππου προέταξε· τῶν δὲ πεζῶν πρώτους μὲν τοὺς ὑπασπιστὰς τοὺς βασιλικούς, ὧν ἡγεῖτο σέλευκος, ἐπέταξε τῇ ἵππῳ. ἐπὶ δὲ τούτοις, τὸ ἄγημα τὸ βασιλικόν. ἐχομένους δὲ τούτων τοὺς ἄλλους ὑπασπιστάς, ὡς ἑκάστοις αἱ ἡγεμονίαι ἐν τῷ τότε ξυνέβαινον. κατὰ δὲ τὰ ἄκρα τῆς φάλαγγος οἱ τοξόται αὐτῷ, καὶ οἱ ἀγριάνες, καὶ οἱ ἀκοντισταί, ἑκατέρωθεν ἐπέστησαν. οὕτως ἐκτάξας, τὸν μὲν πεζὸν στρατὸν ἐν κόσμῳ βάδην ἕπεσθαι ἐκέλευσεν, οὐ πολὺ ἀπολείποντας τῶν ἑξακισχιλίων· αὐτὸς δὲ ὅτι κρατεῖν ἐδόκει τῇ ἵππῳ, τοὺς ἱππέας μόνους ἀναλαβών, σπουδῇ ἡγεῖτο,

ὄντας



ὄντας ἐς πεντακισχιλίους. ταύρωνι δὲ τῷ τοξάρχῃ προσέταξε, τοὺς τοξότας ἐπάγειν τῇ ἵππῳ, καὶ αὐτοὺς σπουδῇ· γνώμην δὲ ἐπεποίητο, ὡς εἰ μὲν προσμίξειαν αὐτῷ οἱ ἀμφὶ τὸν πῶρον ξὺν τῇ δυνάμει ἁπάσῃ, ἢ κρατήσειν αὐτῶν οὐ χαλεπῶς, τῇ ἵππῳ προσβαλών, ἢ ἀπομαχεῖσθαί γε, ἔς τε τοὺς πεζοὺς ἐν τῷ ἔργῳ ἐπιγενέσθαι. εἰ δὲ πρὸς τὴν τόλμαν τῆς διαβάσεως ἄτοπον γενομένην οἱ ἰνδοὶ ἐκπλαγέντες φεύγοιεν, οὐ πόρρωθεν ἕξεσθαι αὐτῶν κατὰ τὴν φυγήν, ὡς πλείονα ἐν τῇ ἀποχωρήσει τὸν φόνον γενόμενον, ὀλίγον ἔτι ὑπολείπεσθαι αὐτῷ τὸ ἔργον. ἀριστόβουλος δὲ τὸν πώρου παῖδα φθάσαι, ἀφικόμενον ξὺν ἅρμασιν ὡς ἑξήκοντα, πρὶν τὸ ὕστερον ἐκ τῆς νήσου τῆς μικρᾶς περάσαι ἀλέξανδρον. καὶ τοῦτον δυνηθῆναι ἂν εἶρξαι ἀλέξανδρον τῆς διαβάσεως χαλεπῶς, καὶ μηδενὸς εἴργοντος περαιωθέντα. εἴπερ οὖν καταπηδήσαντες οἱ ἰνδοὶ ἐκ τῶν ἁρμάτων προσέκειντο τοῖς πρώτοις τῶν ἐκβαινόντων, ἀλλὰ παρελάσαι γὰρ ξὺν τοῖς ἅρμασι,

 καὶ

καὶ ἀκίνδυνον ποιῆσαι ἀλεξάνδρῳ τὴν διάβασιν, καὶ ἐπὶ τούτοις ἀφεῖναι ἀλέξανδρον τοὺς ἱπποτοξότας, καὶ τραπῆναι αὐτοὺς οὐ χαλεπῶς πληγὰς λαμβάνοντας. οἱ δέ, καὶ μάχην λέγουσιν ἐν τῇ ἐκβάσει γενέσθαι τῶν ἰνδῶν, τῶν ξὺν τῷ παιδὶ τῷ πώρου ἀφιγμένων, πρὸς ἀλέξανδρόν τε καὶ τοὺς ξὺν αὐτῷ ἱππέας. καὶ γὰρ καὶ ἀφικέσθαι ξὺν μείζονι δυνάμει τὸν πώρου παῖδα, καὶ αὐτόν τε ἀλέξανδρον τρωθῆναι πρὸς αὐτοῦ, καὶ τὸν ἵππον αὐτοῦ ἀποθανεῖν τὸν βουκεφάλαν, φίλτατον ἀλεξάνδρῳ ὄντα καὶ τοῦτον τρωθέντα, ὑπὸ τοῦ παιδὸς τοῦ πώρου. ἀλλὰ πτολεμαῖος ὁ λάγου, ὅτῳ καὶ ἐγὼ ξυμφέρομαι, ἄλλως λέγει. ἐκπεμφθῆναι μὲν γὰρ τὸν παῖδα ὑπὸ τοῦ πώρου, ἀλλ᾽ οὐκ ἑξήκοντα μόνα ἅρματα ἄγοντα, οὐδὲ γὰρ εἰκὸς πῶρον ἀκούσαντα ἐκ τῶν σκοπῶν, ὅτι δὴ ἢ αὐτὸς ἀλέξανδρος διαβέβηκε τοῦ ὑδάσπου τὸν πόρον, ἢ μέρος γε τῆς στρατιᾶς, σὺν ἑξήκοντα ἅρμασι μόνοις ἐκπέμψαι τὸν αὐτοῦ παῖδα· ἃ δὴ ὡς μὲν ἐπὶ κατασκοπὴν ἐκπεμπόμενα, πολ-





λά τε καὶ οὐκ εὔζωνα, ἐς τὴν ἀποχώρησιν ἦν. ὡς δὲ εἰς τὸ εἶρξαί τε τοὺς οὔπω πεπερακότας τῶν πολεμίων, καὶ τοῖς ἤδη ἐκβεβηκόσιν ἐπιθέσθαι, οὐδαμῇ ἀξιόμαχα. ἀλλὰ δισχιλίους γὰρ λέγει ἱππέας ἄγοντα ἀφικέσθαι τὸν πώρου παῖδα, ἅρματα δὲ ἑκατὸν καὶ εἴκοσι. φθάσαι δὲ περάσαντα ἀλέξανδρον, καὶ τὸν ἐκ τῆς νήσου τὸν τελευταῖον πόρον, καὶ ἐπὶ τούτους τὰ μὲν πρῶτα ἐκπέμψαι ἀλέξανδρον. καὶ οὗτος λέγει τοὺς ἱπποτοξότας, αὐτὸν δὲ ἄγειν τοὺς ἱππέας· προσάγειν γὰρ οἰηθῆναι πῶρον ξὺν τῇ δυνάμει πάσῃ, τὴν δὲ ἵππον ταύτην προτεταγμένην αὐτῷ προπορεύεσθαι, πρὸ τοῦ ἄλλου στρατοῦ. ὡς δὲ κατέμαθεν ἀτρεκῶς τὸ πλῆθος τὸ τῶν ἰνδῶν, ἐνταῦθα δὴ ὀξέως ἐπιπεσεῖν αὐτοῖς, ξὺν τῇ ἀμφ᾽ αὐτὸν ἵππῳ· τοὺς δὲ ἐγκλῖναι, ὡς ἀλέξανδρόν τε αὐτὸν κατεῖδον, καὶ τὸ στῖφος ἀμφ᾽ αὐτὸν τῶν ἱππέων, οὐκ ἐπὶ μετώπου, ἀλλὰ κατ᾽ ἴλας ἐμβεβηκώς, καὶ τούτων ἱππέας μὲν πεσεῖν ἐς τετρακοσίους, πεσεῖν δὲ καὶ τοῦ πώρου τὸν παῖδα· τὰ δὲ ἅρματα αὐτοῖς ἵπποις

ἐλθεῖν, ἔν τε τῇ ἀποχωρήσει βαρέα γενόμενα, καὶ ἐν αὐτῷ τῷ ἔργῳ ὑπὸ πηλοῦ ἀχρεῖα. Πῶρος δὲ ὡς αὐτῷ ὅσοι ἱππεῖς ἐκ τῆς φυγῆς διεσώζοντο, Ἀλέξανδρόν τε αὐτὸν πεπερακότα ξὺν τῇ στρατιᾷ τὸ καρτερώτατον, καὶ τὸν παῖδα ἐν τῇ μάχῃ τετελευτηκότα ἤγγειλαν, ἐγίγνετο μὲν καὶ ὡς ἀμφίβολος τῇ γνώμῃ, ὅτι οἱ ἀπὸ τοῦ κατὰ ἀντικρὺ τοῦ μεγάλου στρατοπέδου, οἱ ξὺν Κρατερῷ ὑπολελειμμένοι, ἐπιχειροῦντες τῇ διαβάσει ἐφαίνοντο. εἵλετο δὲ οὖν ἐπ' αὐτὸν Ἀλέξανδρον, ἐλάσας ξὺν τῇ στρατιᾷ πάσῃ, πρὸς τὸ καρτερώτατόν τε τῶν Μακεδόνων, καὶ αὐτὸν τὸν βασιλέα διαγωνίσασθαι. ἀλλὰ ὡς ὀλίγους τῶν ἐλεφάντων σὺν οὐ πολλῇ στρατιᾷ αὐτοῦ ἐπὶ τοῦ στρατοπέδου ἀπέλειπεν, ὡς φοβεῖν ἀπὸ τῆς ὄχθης τοὺς ξὺν Κρατερῷ ἱππέας, αὐτὸς δὲ τήν τε ἵππον ἀναλαβὼν πᾶσαν ἐς τετρακισχιλίους ἱππέας, καὶ τὰ ἅρματα πάντα τριακόσια ὄντα, καὶ τῶν ἐλεφάντων διακοσίους, καὶ τῶν πεζῶν ὅ, τι περ ὄφελος ἐς τρισμυρίους, ἤλαυνεν ὡς ἐπ' Ἀλέξανδρον. ὡς δὲ ἐνέτυχε

χωρίῳ,



χωρίῳ, ἵνα οὐ πηλὸς αὐτῷ ἐφαίνετο, ἀλλὰ ὑπὸ ψάμμου γὰρ ξύμπαν ἦν ἄπεδον καὶ στερεὸν ἐς τὰς ἐφόδους τε καὶ ἀναστροφὰς τῶν ἵππων, ἐνταῦθα ἔτασσε τὴν στρατιάν, πρώτους μὲν τοὺς ἐλέφαντας ἐπὶ μετώπου διέχοντα, ἐλέφαντα ἐλέφαντος, οὐ μεῖον πλέθρου, ὡς πρὸ πάσης τε τῆς φάλαγγος τῶν πεζῶν παραταθῆναι αὐτῷ τοὺς ἐλέφαντας ἐπὶ μετώπου, καὶ φόβον πάντῃ παρέχειν τοῖς ἀμφ' Ἀλέξανδρον ἱππεῦσιν. ἄλλως τε οὐδὲ ἠξίου ἐς τὰ διαλείποντα τῶν ἐλεφάντων τολμῆσαι, ἄν τινα ὤσασθαι τῶν πολεμίων, οὔτε ξὺν ἵπποις διὰ τὸν φόβον τῶν ἵππων· πεζούς τε ἔτι μεῖον. κατὰ στόμα τε γὰρ ἂν πρὸς τῶν ὁπλιτῶν προσβαλλόντων εἴργεσθαι, καὶ καταπατηθήσεσθαι, ἐπιστρεψάντων ἐπ' αὐτοὺς τῶν ἐλεφάντων. ἐπὶ τούτοις δὲ οἱ πεζοὶ αὐτῷ ἐτετάχατο, οὐκ ἴσον τὸ μέτωπον τοῖς θηρίοις ἐπέχοντες, ἀλλ' ἐν δευτέρῳ μετώπῳ μετὰ τοὺς ἐλέφαντας, ὅσον ἐς τὰ διαλείποντα ἐπ' ὀλίγον ἐμβεβλῆσθαι τοὺς λόχους. ἦσαν δὲ αὐτῷ καὶ κατὰ τὰ κέρατα ἔτι ὑπὲρ τοὺς ἐλέφαντας,

 πεζοὶ

πεζοὶ ἐφεστηκότες. ἑκατέρωθεν δὲ τῶν πεζῶν ἡ ἵππος αὐτῷ ἐπετέτακτο, καὶ πρὸ ταύτης τὰ ἅρματα ἑκατέρωθεν. αὕτη μὲν ἡ πώρου τάξις ἦν. ἀλέξανδρος δὲ ὡς ἤδη καθεώρα τοὺς ἰνδοὺς ἐκτασσομένους, ἐπέστη τοὺς ἱππέας τοῦ πρόσω, ὡς ἀναλαμβάνειν τῶν πεζῶν τοὺς ἀεὶ προσάγοντας. ὡς δὲ καὶ ἡ φάλαγξ αὐτῷ δρόμῳ συνάψασα ὁμοῦ ἤδη ἦν, ὁ δὲ οὐκ εὐθὺς ἐκτάξας ἐπῆγεν, ὡς μὴ καματηρούς τε καὶ πνευστιῶντας ἀκμῆσι παραδοῦναι τοῖς βαρβάροις, ἀλλὰ τοὺς κύκλους περιϊππεύων ἀνέπαυε τοὺς πεζοὺς, ἔς τε καταστῆναι αὐτοῖς τὸν θυμόν. ὡς δὲ τὴν τάξιν κατεῖδε τῶν ἰνδῶν, κατὰ μέσον μὲν, ἵνα οἱ ἐλέφαντες προβέβληντο, καὶ πυκνὴ ἡ φάλαγξ κατὰ τὰ διαλείποντα αὐτῶν ἐπετέτακτο, οὐκ ἔγνω προάγειν, αὐτὰ ἐκεῖνα ὀκνήσας, ἅπερ ὁ πῶρος τῷ λογισμῷ ξυνθεὶς, ταύτῃ ἔταξεν· ἀλλὰ αὐτὸς μὲν ἅτε ἱπποκρατῶν, τὴν πολλὴν τῆς ἵππου ἀναλαβὼν, ἐπὶ τὸ εὐώνυμον κέρας τῶν πολεμίων παρήλαυνεν, ὡς ταύτῃ ἐπιθησόμενος, κοῖνον δὲ πέμπει ἐπὶ τὸ δε-

ξιὸν,



ξιὸν, τὴν δημητρίου καὶ τὴν αὐτοῦ ἔχοντα ἱππαρχίαν· κελεύσας, ἐπειδὰν τὸ κατὰ σφᾶς στῖφος τῶν ἱππέων ἰδόντες οἱ βάρβαροι ἀντιπαριππεύωσιν αὐτοῖς, κατόπιν ἔχεσθαι αὐτῶν. τῶν πεζῶν δὲ τὴν φάλαγγα, σελεύκῳ καὶ ἀντιγένει καὶ ταύρωνι προσέταξεν ἄγειν· μὴ πρόσθεν δὲ ἅπτεσθαι τοῦ ἔργου, πρὶν ὑπὸ τῆς ἵππου τῆς ἀμφ᾽ αὐτὸν τεταραγμένην τήν τε φάλαγγα τῶν πεζῶν, καὶ τοὺς ἱππέας κατίδωσιν. ἤδη τε ἐντὸς βέλους ἐγίγνετο, καὶ ἐφῆκεν ἐπὶ τὸ κέρας τὸ εὐώνυμον τῶν ἰνδῶν τοὺς ἱπποτοξότας, ὄντας ἐς χιλίους, ὡς ταράξαι τοὺς ταύτῃ ἐφεστηκότας τῶν πολεμίων, τῇ πυκνότητί τε τῶν τοξευμάτων, καὶ τῶν ἵππων τῇ ἐπελάσει. καὶ αὐτὸς δὲ τοὺς ἑταίρους ἔχων τοὺς ἱππέας, παρήλαυνεν ὀξέως ἐπὶ τὸ εὐώνυμον τῶν βαρβάρων κατὰ κέρας, ἔτι τεταραγμένοις ἐμβαλεῖν σπουδὴν ποιούμενος, πρὶν ἐπὶ φάλαγγος ἐκταθῆναι αὐτοῖς τὴν ἵππον. ἐν τούτῳ δὲ οἵ τε ἰνδοὶ τοὺς ἱππέας πάντοθεν ξυναλίσαντες, παρίππευον ἀλεξάνδρῳ, ἀντιπαρεξάγοντες τῇ ἐλάσει.

καὶ

καὶ οἱ πρὸς κοῖνον ὡς παρήγγελτο, κατόπιν αὐτοῖς ἐπεφαίνοντο, ταῦτα ξυνιδόντες οἱ ἰνδοὶ, ἀμφίστομον ἠναγκάσθησαν ποιῆσαι τὴν τάξιν τῆς ἵππου, τὴν μὲν ὡς ἐπ᾽ ἀλέξανδρον, τὴν πολλήν τε καὶ κρατίστην· οἱ δὲ, ὡς ἐπὶ κοῖνόν τε καὶ τοὺς ἅμα τούτῳ ἐπέστρεφον. τοῦτό τε οὖν εὐθὺς ἐτάραξε τὰς τάξεις τε, καὶ τὰς γνώμας τῶν ἰνδῶν. καὶ ἀλέξανδρος ἰδὼν τὸν καιρὸν, ἐν αὐτῇ τῇ ἐπὶ θάτερα ἐπιστροφῇ τῆς ἵππου, ἐπιτίθεται τοῖς καθ᾽ αὑτόν· ὥστε οὐδὲ τὴν ἐμβολὴν ἐδέξαντο τῶν ἀμφ᾽ ἀλέξανδρον ἱππέων οἱ ἰνδοὶ, ἀλλὰ κατηράχθησαν, ὥσπερ ἐς τεῖχός τι φίλιον τοὺς ἐλέφαντας. καὶ ἐν τούτῳ οἱ ἐπιστάται τῶν ἐλεφάντων, ἀντεπῆγον τῇ ἵππῳ τὰ θηρία. καὶ ἡ φάλαγξ αὐτὴ τῶν μακεδόνων, ἀντεπῄει πρὸς τοὺς ἐλέφαντας, τοὺς ἐπιβάτας αὐτῶν ἀκοντίζοντες, καὶ αὐτὰ τὰ θηρία, περιϊστάμενοι πάντοθεν βάλλοντες. καὶ ἦν τὸ ἔργον οὐδενὶ τῶν πρόσθεν ἀγώνων ἐοικός. τά τε γὰρ θηρία ἀπεκθέοντα ἐς τὰς τάξεις τῶν πεζῶν, ὅπῃ ἐπιστρέψαιεν ἐκεράιζε, καίπερ πυκνὴν οὖ-

σαν



σαν τὴν μακεδόνων φάλαγγα· καὶ οἱ ἱππεῖς οἱ τῶν ἰνδῶν, τοῖς πεζοῖς ἰδόντες ξυνεστηκὸς τὸ ἔργον, ἐπιστρέψαντες αὖθις καὶ αὐτοὶ, ἐπήλαυνον τῇ ἵππῳ. ὡς δὲ πάλιν ἐκράτησαν αὐτῶν οἱ ἀμφ᾽ ἀλέξανδρον, τῇ τε ῥώμῃ καὶ τῇ ἐμπειρίᾳ πολὺ προέχοντες, ὡς ἐπὶ τοὺς ἐλέφαντας αὖθις κατειλήφθησαν, καὶ ἐν τούτῳ πᾶσα ἡ ἵππος ἀλεξάνδρου ἐς μίαν ἴλην ἤδη ξυνηγμένη, οὐκ ἐκ παραγγέλματος, ἀλλὰ ἐν τῷ ἀγῶνι αὐτῷ ἐς τήνδε τὴν τάξιν κατασᾶσα, ὅποι προσπέσοι τῶν ἰνδῶν ταῖς τάξεσι, ξὺν πολλῷ φόνῳ ἀπελύοντο. καὶ ἐς στενὸν ἤδη κατειλημμένων τῶν θηρίων, οὐ μείω πρὸς αὐτῶν οἱ φίλοι ἤπερ οἱ πολέμιοι ἐβλάπτοντο, ἐν ταῖς ἐπιστροφαῖς τε καὶ τοῖς ὠθισμοῖς καταπατούμενοι. τῶν τε οὖν ἱππέων, οἷα δὴ ἐν στενῷ περὶ τοὺς ἐλέφαντας εἱλουμένων, πολὺς φόνος ἐγίγνετο. καὶ οἱ ἡγεμόνες τῶν ἐλεφάντων οἱ πολλοὶ, κατηκοντισμένοι ἦσαν. καὶ αὐτοὶ οἱ ἐλέφαντες τὰ μὲν τιτρωσκόμενοι, τὰ δὲ ὑπό τε τῶν πόνων καὶ ἐρημίας ἡγεμόνων, οὐκέτι διακεκριμένοι ἐν τῇ μάχῃ ἦσαν. ἀλλ᾽ οἷα δὴ

ὑπὸ

ὑπὸ τοῦ κακοῦ ἔκφρονες, φιλίους τε ὁμοῦ καὶ πολεμίους προσφερόμενοι πάντα τρόπον, ἐξώθουν τε καὶ κατεπάτουν, καὶ κατέκαινον. ἀλλ' οἱ μὲν μακεδόνες ἅτε ἐν εὐρυχωρίᾳ τε, καὶ κατὰ γνώμην τὴν σφῶν προσφερόμενοι τοῖς θηρίοις, ὅπῃ μὲν ἐπιφέροιντο, εἶκον. ἀποστραφέντων δέ, εἴχοντο ἐσακοντίζοντες. οἱ δὲ ἰνδοὶ ἐν αὐτοῖς ἀναστρεφόμενοι, τὰ πλείω ἤδη πρὸς ἐκείνων ἐβλάπτοντο. ὡς δὲ καματηρά τε ἦν τὰ θηρία, καὶ οὐκέτι αὐτοῖς ἐρρωμέναι αἱ ἐκδρομαὶ ἐγίγνοντο, ἀλλὰ συριγμῷ μόνον διαχρώμενα, ὥσπερ αἱ πρύμναν κρουόμεναι νῆες, ἐπὶ πόδα ὑπεχώρουν. αὐτὸς μὲν ἀλέξανδρος περιβάλλει ἐν κύκλῳ τὴν ἵππον τῇ πάσῃ τάξει, τοὺς πεζοὺς δὲ ξυνασπίσαντας ὡς ἐς πυκνοτάτην ξύγκλεισιν, ἐπάγειν τὴν φάλαγγα ἐσήμηνε. καὶ οὕτως οἱ μὲν ἱππεῖς τῶν ἰνδῶν, πλὴν ὀλίγων, κατεκόπησαν ἐν τῷ ἔργῳ. ἐκόπτοντο δὲ καὶ οἱ πεζοὶ πανταχόθεν ἤδη προσκειμένων τῶν μακεδόνων. καὶ ἐν τούτῳ, ἵνα διέσχεν ἡ ἵππος ἡ ἀλεξάνδρου, ἐς φυγὴν πάντες ἐπεστράφησαν.

καὶ



καὶ ἐν τῷ αὐτῷ κρατερός τε καὶ οἱ ἄλλοι, ὅσοι τῆς στρατιᾶς τῆς ἀλεξάνδρου ἐπὶ τῇ ὄχθῃ τοῦ ὑδάσπου ὑπολειπόμενοι ἡγεμόνες ἦσαν, ὡς νικῶντα λαμπρῶς ἀλέξανδρον κατεῖδον, ἐπέρων καὶ αὐτοὶ τὸν πόρον. καὶ οὗτοι οὐ μείονα τὸν φόνον ἐν τῇ ἀποχωρήσει τῶν ἰνδῶν ἐποίησαν, ἀκμῆτες ἀντὶ κεκμηκότων τῶν ἀμφ' ἀλέξανδρον ἐπιγενόμενοι τῇ διώξει. ἀπέθανον δὲ τῶν ἰνδῶν πεζοὶ μὲν ὀλίγον ἀποδέοντες τῶν δισμυρίων, ἱππεῖς δὲ ἐς τρισχιλίους. τὰ δὲ ἅρματα ξύμπαντα κατεκόπη, καὶ πώρου δύο παῖδες ἀπέθανον· καὶ σπιτάρχης ὁ νομάρχης τῶν ταύτῃ ἰνδῶν, καὶ τῶν ἐλεφάντων καὶ ἁρμάτων οἱ ἡγεμόνες, καὶ οἱ ἱππάρχαι, καὶ οἱ στρατηγοὶ τῆς στρατιᾶς τῆς πώρου ξύμπαντες. ἐλήφθησαν δὲ καὶ οἱ ἐλέφαντες, ὅσοι γε αὐτῶν αὐτοῦ μὴ ἀπέθανον. τῶν δὲ ἀμφ' ἀλέξανδρον πεζοὶ μέν, ἀπὸ ἑξακισχιλίων τῶν ἐν τῇ πρώτῃ προσβολῇ γενομένων, ἐς ὀγδοήκοντα μάλιστα ἀπέθανον· ἱππεῖς δὲ τῶν μὲν ἱπποτοξοτῶν, οἳ δὴ καὶ πρῶτοι τοῦ ἔργου ἥψαντο, δέκα· τῆς δὲ

ἑται-

ἑταιρικῆς ἵππου, ἀμφὶ τοὺς εἴκοσι· τῶν δὲ ἄλλων ἱππέων, ὡς διακόσιοι. πῶρος δὲ μεγάλα ἔργα ἐν τῇ μάχῃ ἀποδειξάμενος, μὴ ὅτι στρατηγοῦ, ἀλλὰ καὶ στρατιώτου γενναίου, ὡς τῶν τε ἱππέων τὸν φόνον κατεῖδε, καὶ τῶν ἐλεφάντων, τοὺς μὲν αὐτοῦ πεπτωκότας, τοὺς δὲ ἐρήμους τῶν ἡγεμόνων λυπηροὺς πεπλανημένους, τῶν δὲ πεζῶν αὐτῷ οἱ πλείους ἀπολώλεσαν, οὐχ ὥσπερ δαρεῖος ὁ μέγας βασιλεὺς ἐξάρχων τοῖς ἀμφ' αὐτὸν τῆς φυγῆς ἀπεχώρει, ἀλλὰ ἔς τε γὰρ ὑπέμενέ τι τῶν ἰνδῶν ἐν τῇ μάχῃ ξυνεστηκός, ἐς τόσον δὲ ἀγωνισάμενος. τετρωμένος δὲ τὸν δεξιὸν ὦμον, ὃν δὴ γυμνὸν μόνον ἔχων ἐν τῇ μάχῃ ἀνεστρέφετο (ἀπὸ γὰρ τοῦ ἄλλου σώματος ἤρκει αὐτῷ τὰ βέλη ὁ θώραξ) περιττὸς ὢν κατά τε τὴν ἰσχὺν, καὶ τὴν ἁρμονίαν, ὡς ὕστερον καταμαθεῖν θεωμένοις ἦν· τότε δὴ καὶ αὐτὸς ἀπεχώρει, ἐπιστρέψας τὸν ἐλέφαντα. καὶ ἀλέξανδρος μέγαν τε αὐτὸν καὶ γενναῖον ἄνδρα ἰδὼν ἐν τῇ μάχῃ, σῶσαι ἐπεθύμησε. πέμπει δὴ παρ' αὐτὸν πρῶτα μὲν ταξίλην τὸν ἰνδόν.

καὶ



καὶ ταξίλης προσιππεύσας, ἐφ' ὅσον οἱ ἀσφαλὲς ἐφαίνετο τῷ ἐλέφαντι, ὃς ἔφερε τὸν πῶρον, ἐπιστῆσαί τε ἠξίου τὸ θηρίον (οὐ γὰρ εἶναι οἱ ἔτι φεύγειν) καὶ ἀκοῦσαι τῶν παρ' ἀλεξάνδρου λόγων. ὁ δέ, ἰδὼν ἄνδρα ἐχθρὸν ἐκ παλαιοῦ τὸν ταξίλην, ἐπιστρέψας ἀνήγετο ὡς ἀκοντίσων. καὶ ἂν καὶ κατέκτανε τυχὼν, εἰ μὴ ὑποφθάσας ἐκεῖνος, ἀπήλασεν ἀπὸ τοῦ πώρου πρόσω τὸν ἵππον. ἀλέξανδρος δέ, οὐδὲ ἐπὶ τῷδε, τῷ πώρῳ χαλεπὸς ἐγένετο. ἀλλ' ἄλλους τε ἐν μέρει ἔπεμπε, καὶ δὴ καὶ μερόην ἄνδρα ἰνδόν, ὅτι φίλον εἶναι ἐκ παλαιοῦ τῷ πώρῳ τὸν μερόην ἔμαθε. πῶρος δὲ ὡς τὰ παρὰ τοῦ μερόου ἤκουσε, καὶ ἐκ τῆς δίψης ἅμα ἐκρατεῖτο, ἐπέστησέ τε τὸν ἐλέφαντα, καὶ κατέβη ἀπ' αὐτοῦ. ὡς δὲ ἔπιέ τε καὶ ἀνέψυξεν, ἄγει αὐτὸν σπουδῇ παρὰ ἀλέξανδρον. καὶ ὁ μὲν ἤγετο. ἀλέξανδρος δὲ ὡς προσάγοντα ἐπύθετο, προσιππεύσας πρὸ τῆς τάξεως ξὺν ὀλίγοις τῶν ἑταίρων ἀπαντᾷ τῷ πώρῳ. καὶ ἐπιστήσας τὸν ἵππον, τό, τε μέγεθος ἐθαύμαζεν, ὑπὲρ πέντε πήχεας

μάλιστα

μάλιστα ξυμβαῖνον, καὶ τὸ κάλλος τοῦ πώρου, καὶ ὅτι οὐ δεδουλωμένος τῇ γνώμῃ ἐφαίνετο. ἀλλ᾽ ὡς περ ἀνὴρ ἀγαθὸς ἀνδρὶ ἀγαθῷ προσέλθοι ὑπὲρ βασιλείας τῆς αὐτοῦ, πρὸς βασιλέα ἄλλον καλῶς ἠγωνισμένος. ἔνθα δὴ ἀλέξανδρος πρῶτος προσειπὼν αὐτὸν, λέγειν ἐκέλευσεν ὅτι οἱ γενέσθαι ἐθέλει. πῶρον δὲ ἀποκρίνασθαι λόγος, ὅτι βασιλικῶς μοι χρῆσαι ὦ ἀλέξανδρε. καὶ ἀλέξανδρος ἡσθεὶς τῷ λόγῳ, τοῦτο μὲν ἔσται σοι πῶρε, ἔφη, ἐμοῦ ἕνεκα. σὺ δὲ σαυτοῦ ἕνεκα, ὅ, τι σοι φίλον, ἀξίου. ὁ δὲ πάντα, ἔφη, ἐν τούτῳ ἐνεῖναι. καὶ ἀλέξανδρος τούτῳ ἔτι μᾶλλον τῷ λόγῳ ἡσθεὶς, τήν τε ἀρχὴν τῷ πώρῳ, τῶν τε αὐτῶν ἰνδῶν ἔδωκε. καὶ ἄλλην ἔτι χώραν πρὸς τῇ πάλαι οὔσῃ, πλείονα ἔτι πρόσθεν προσέθηκε. καὶ οὕτως αὐτός τε βασιλικῶς κεχρημένος ἦν ἀνδρὶ ἀγαθῷ, καὶ ἐκείνῳ ἐκ τούτου ἐς ἅπαντα πιστῶς ἐχρῆτο. τοῦτο τὸ τέλος τῇ μάχῃ τῇ πρὸς πῶρόν τε καὶ τοὺς ἐπέκεινα τοῦ ὑδάσπου ποταμοῦ ἰνδοὺς ἀλεξάνδρῳ ἐγένετο, ἐπ᾽ ἄρχοντος ἀθηναίοις ἡγήμονος, μηνὸς μουνυχιῶνος.

ἵνα



ἵνα δὲ ἡ μάχη ξυνέβη, καὶ ἔνθεν ὁρμηθεὶς, ἐπέρασε τὸν ὑδάσπην ποταμὸν, πόλεις ἔκτισεν ἀλέξανδρος. καὶ τὴν μὲν νίκαιαν, τῆς νίκης τῆς κατ᾽ ἰνδῶν ἐπώνυμον ὠνόμασε· τὴν δὲ βουκέφαλαν, ἐς τοῦ ἵππου τοῦ βουκεφάλου τὴν μνήμην, ὃς ἀπέθανεν αὐτοῦ, οὐ βληθεὶς πρὸς οὐδενὸς, ἀλλ᾽ ὑπὸ καύματός τε, καὶ ἡλικίας. ἦν γὰρ ἀμφὶ τὰ τριάκοντα ἔτη, καματηρὸς γινόμενος. πολλὰ δὲ πρόσθεν ξυγκαμών τε καὶ συγκινδυνεύσας ἀλεξάνδρῳ, ἀναβαινόμενός τε πρὸς μόνου ἀλεξάνδρου ὁ βουκέφαλος οὗτος, ὅτι τοὺς ἄλλους πάντας ἀπηξίου ἀμβάτας, καὶ μεγέθει μέγας, καὶ τὸν θυμὸν γενναῖος. σημεῖον δὲ οἱ ἦν βοὸς κεφαλὴ ἐγκεχαραγμένη, ἐφ᾽ ὅτῳ καὶ τὸ ὄνομα τοῦτο λέγουσιν, ὅτι ἔφερεν. οἱ δὲ λέγουσιν ὅτι λευκὸν σῆμα εἶχεν ἐπὶ τῆς κεφαλῆς, μέλας ὢν αὐτὸς, ἐς βοὸς κεφαλὴν μάλιστα εἰκασμένον. οὗτος ὁ ἵππος ἐν τῇ οὐξίων χώρᾳ ἀφανὴς ἐγένετο ἀλεξάνδρῳ, καὶ ἀλέξανδρος προεκήρυξεν ἀνὰ τὴν χώραν πάντας ἀποκτενεῖν οὐξίους, εἰ μὴ ἀπάξωσιν αὐτῷ τὸν ἵππον. καὶ



ἀπήχθη

ἀπηνέχθη εὐθὺς ἐπὶ τῷ κηρύγματι. τοσάδε μὲν σπουδὴ ἀλεξάνδρῳ ἀμφ᾽ αὐτὸν ἦν, τόσος δὲ ἀλεξάνδρου φόβος τοῖς βαρβάροις. καὶ ἐμοὶ ἐν τοσῷδε τετιμήσθω ὁ βουκέφαλος οὗτος, ἀλεξάνδρου ἕνεκα. ἀλέξανδρος δὲ ἐπειδὴ οἱ ἀποθανόντες ἐν τῇ μάχῃ κεκόσμηντο τῷ πρέποντι κόσμῳ, ὁ δὲ τοῖς θεοῖς τὰ νομιζόμενα ἐπινίκια ἔθυε, καὶ ἀγὼν ἐποιεῖτο αὐτῷ γυμνικὸς, καὶ ἱππικὸς αὐτοῦ ἐπὶ τῇ ὄχθῃ τοῦ ὑδάσπου, ἵνα περ τὸ πρῶτον διέβη ἅμα τῷ στρατῷ, κρατερὸν μὲν δὴ ξὺν μέρει τῆς στρατιᾶς ὑπελείπετο τὰς πόλεις, ἅς τινας ταύτῃ ἔκτιζεν, ἀναστήσοντά τε καὶ ἐκτειχιοῦντα, αὐτὸς δὲ ἤλαυνεν ὡς ἐπὶ τοὺς προσχώρους τῇ τοῦ πώρου ἀρχῇ ἰνδούς. ὄνομα δὲ ἦν τῷ ἔθνει γλαυκανῖκαι, ὡς λέγει ἀριστόβουλος· ὡς δὲ πτολεμαῖος, γλαῦσαι. ὁποτέρως δὲ ἔχει τὸ ὄνομα, οὔ μοι μέλλει. ἐπῄει δὲ τὴν χώραν αὐτῶν ἀλέξανδρος, τῶν τε ἑταίρων ἱππέων ἔχων τοὺς ἡμίσεας, καὶ τῶν πεζῶν ἀπὸ φάλαγγος ἑκάστης ἐπιλέκτους, καὶ τοὺς ἱπποτοξότας σύμπαντας, καὶ τοὺς ἀγριάνας,





καὶ τοὺς τοξότας, καὶ προσεχώρουν αὐτῷ ὁμολογίᾳ πάντες. καὶ ἔλαβε πόλεις μὲν, ἐς τριάκοντα καὶ ἑπτά· ὧν ἵνα ὀλιγοστοὶ ἦσαν οἰκήτορες, πεντακισχιλίων οὐκ ἐλάττους ἦσαν, πολλῶν δὲ καὶ ὑπὲρ τοὺς μυρίους. καὶ κώμας πλήθει τε πολλὰς ἔλαβε, καὶ πολυανθρώπους, οὐ μεῖον τῶν πόλεων. καὶ ταύτης τῆς χώρας, πώρῳ ἄρχειν ἔδωκε· καὶ ταξίλην δὲ διαλλάττει πώρῳ. καὶ ταξίλην ἀποπέμπει ὀπίσω ἐς τὰ ἤθη τὰ αὐτοῦ. ἐν τούτῳ δὲ παρά τε ἀβιοσάρου πρέσβεις ἧκον, ἐνδιδόντες αὐτόν τε ἀλεξάνδρῳ ἀβιοσάρην, καὶ τὴν χώραν ὅσης ἦρχε. καίτοι πρός γε τῆς μάχης τῆς πρὸς πῶρον γενομένης ἀλεξάνδρῳ, ἐπενόει ἀβιοσάρης καὶ αὐτὸς, ξὺν πώρῳ τάσσεσθαι. τότε δὲ καὶ τὸν ἀδελφὸν τὸν αὐτοῦ, ξὺν τοῖς ἄλλοις πρέσβεσι παρ᾽ ἀλέξανδρον ἔπεμψεν, χρήματά τε κομίζοντα, καὶ ἐλέφαντας τεσσαράκοντα, δῶρον ἀλεξάνδρῳ. ἧκον δὲ παρά τε τῶν αὐτονόμων ἰνδῶν, πρέσβεις παρ᾽ ἀλέξανδρον, καὶ παρὰ πώρου ἄλλου τοῦ ὑπάρχοντος ἰνδῶν. ἀλέξανδρος δὲ διὰ τάχους ἀβιοσάρην ἰέναι

παρ' αὐτὸν κελεύει ἐπαπειλήσας, εἰ μὴ ἔλθοι, ὅτι αὐτὸν ὄψεται ἥκοντα ξὺν τῇ στρατιᾷ, ἵνα οὐ χαιρήσει ἰδών. ἐν τούτῳ δὲ φραταφέρνης τε ὁ παρθυαίων καὶ ὑρκανίας σατράπης, τοὺς καταλειφθέντας παρὰ οἱ θρᾶκας, ἄγων ἧκεν ὡς ἀλέξανδρον, καὶ παρὰ σισίκου τοῦ ἀσσακηνῶν σατράπου ἄγγελοι· ὅτι τόν τε ὕπαρχον σφῶν καὶ ἀπεκτονότες εἶεν οἱ ἀσσακηνοί, καὶ ἀπ' ἀλεξάνδρου ἀφεστηκότες. καὶ ἐπὶ τούτοις φίλιππον ἐκπέμπει, καὶ τυριέσπην σὺν στρατιᾷ, τὰ πρὸς τὴν ἀσσακηνῶν χώραν καταστησομένους, καὶ κοσμήσοντας· αὐτὸς δὲ ὡς ἐπὶ τὸν ἀκεσίνην ποταμὸν προὐχώρει. τούτου τοῦ ἀκεσίνου τὸ μέγεθος μόνου τῶν ἰνδῶν ποταμῶν πτολεμαῖος ὁ λάγου ἀνέγραψεν. εἶναι γὰρ ἵνα ἐπέρασεν ἀλέξανδρος αὐτὸν ἐπὶ τῶν πλοίων τε καὶ τῶν διφθερῶν ξὺν τῇ στρατιᾷ, τὸ μὲν ῥεῦμα ὀξὺ τοῦ ἀκεσίνου, πέτραις μεγάλαις καὶ ὀξείαις, καθ' ὧν φερόμενον βίᾳ τὸ ὕδωρ κυμαίνεσθαί τε καὶ καχλάζειν. τὸ δὲ εὖρος σταδίους ἐπέχειν πεντεκαίδεκα. καὶ τοῖς μὲν δὴ ἐπὶ τῶν διφθερῶν πε-

ρῶσι,



ρῶσι, εὐμαρῆ γενέσθαι τὸν πόρον· ἐπὶ δὲ ἐν τοῖς πλοίοις διαβάλλοντας, ἐποκειλάντων πολλῶν πλοίων ἐπὶ ταῖς πέτραις, καὶ συναρραχθέντων, οὐκ ὀλίγους αὐτοῦ ἐν τῷ ὕδατι διαφθαρῆναι. εἴη ἂν οὖν ἐκ τοῦδε τοῦ λόγου ξυντιθέντι τεκμηριοῦσθαι, ὅτι οὐ πόρρω τοῦ ἀληθοῦς ἀναγέγραπται τοῦ ἰνδοῦ ποταμοῦ τὸ μέγεθος, ὅσοις ἐς τεσσαράκοντα σταδίους δοκεῖ τοῦ ἰνδοῦ εἶναι τὸ εὖρος, ἵνα μέσως ἔχει αὐτὸς αὐτοῦ ὁ ἰνδός· ἵνα δὲ στενότατός τε, καὶ διὰ στενότητα βαθύτατος, ἐς τοὺς πεντεκαίδεκα ξυνάγεσθαι. καὶ τοῦτα πολλαχῇ εἶναι τοῦ ἰνδοῦ. καὶ γὰρ καὶ τοῦ ἀκεσίνου τεκμαίρομαι ἐπιλέξασθαι ἀλέξανδρον, ἵνα περ τὸ πλατύτατον ἦν τοῦ πόρου, ὡς σχολαιτέρῳ χρήσασθαι τῷ ῥεύματι. περάσας δὲ τὸν ποταμόν, κοῖνον μὲν ξὺν τῇ αὐτοῦ τάξει ἀπολείπει αὐτοῦ, ἐπὶ τῇ ὄχθῃ, προστάξας ἐπιμελεῖσθαι τῆς ὑπολελειμμένης στρατιᾶς τῆς διαβάσεως. οἱ τόν τε σῖτον αὐτῷ τὸν ἐκ τῆς ἤδη ὑπηκόου τῶν ἰνδῶν χώρας, καὶ τὰ ἄλλα ἐπιτήδεια παρακομίζειν ἔμελλον. πῶρον δὲ ἐς τὰ αὐτοῦ ἤδη ἀπο-

 πέμπει,

πέμπει, κελεύσας ἰνδῶν τε τοὺς μαχιμωτάτους ἐπιλεξάμενον, καὶ εἴ τινας παρ' αὐτῷ ἔχοι ἐλέφαντας· τούτους δὲ ἀναλαβόντας, ἰέναι παρ' αὐτόν. αὐτὸς δὲ πῶρον τὸν ἕτερον τὸν κακόν, ὅτι ἐξηγγέλθη πεφευγέναι ἀπολιπὼν τὴν χώραν ἧς ἦρχε, ἐπενόει διώκειν σὺν τοῖς κουφοτάτοις τῆς στρατιᾶς. ὁ γὰρ πῶρος οὗτος, ἔς τε μὲν πολέμια ξυνειστήκει ἀλεξάνδρῳ τὰ πρὸς τὸν ἄλλον πῶρον, πρέσβεις πρὸς ἀλέξανδρον πέμπων, αὐτόν τε καὶ τὴν ὑπὸ οἱ χώραν ἐνεδίδου ἀλεξάνδρῳ, κατὰ ἔχθος τὸ πώρου μᾶλλον, ἢ φιλίᾳ τῇ ἀλεξάνδρου. ὡς δὲ ἀφειμένόν τε ἐκεῖνον, καὶ πρὸς τῇ αὑτοῦ καὶ ἄλλης πολλῆς ἄρχοντα ἔμαθε, τότε δὴ φοβηθείς, οὐχ οὕτω τι ἀλέξανδρον αὐτόν, ὡς τὸν πῶρον ἐκεῖνον τὸν αὐτοῦ ὁμώνυμον, φεύγει, τὴν ἑαυτοῦ ἀναλαβὼν ὅσους τῶν μαχίμων, ξυμπεῖσαι ἠδυνήθη μεταλαβεῖν οἱ τῆς φυγῆς. ἐπὶ τοῦτον ἐλαύνων ἀλέξανδρος, ἀφικνεῖται ἐπὶ τὸν ὑδραώτην ποταμόν, ἄλλον αὖ τοῦτον ἰνδὸν ποταμόν, τὸ μὲν εὖρος οὐ μείονα τοῦ ἀκεσίνου, ὀξύτητι δὲ τοῦ

ῥοῦ



ῥοῦ μείονα· ὅσην δὲ τῆς χώρας ἔς τε ἐπὶ τὸν ὑδραώτην ἐπῆλθε, φυλακὰς ἐγκατέλιπεν ἐν τοῖς ἐπικαιροτάτοις χωρίοις, ὅπως οἱ ἀμφὶ κρατερόν τε καὶ κοῖνον δι' ἀσφαλείας ἐπέρχοιντο, τῆς χώρας τὴν πολλὴν προνομεύοντες. ἐνταῦθα ἡφαιστίωνα μὲν ἐκπέμπει, δοὺς αὐτῷ μέρος τῆς στρατιᾶς, πεζῶν μὲν φάλαγγας δύο, ἱππέων δὲ τήν τε αὐτοῦ καὶ τὴν δημητρίου ἱππαρχίαν, καὶ τῶν τοξοτῶν τοὺς ἡμίσεας, ἐς τὴν πώρου τοῦ ἀφεστηκότος χώραν, κελεύσας παραδιδόναι ταύτην πώρῳ τῷ ἄλλῳ, καὶ εἰ δή τινα πρὸς ταῖς ὄχθαις τοῦ ὑδραώτου ποταμοῦ αὐτόνομα ἔθνη ἰνδῶν νέμεται, καὶ ταῦτα προσαγαγόμενον τῷ πώρῳ ἄρχειν ἐγχειρίσαι. αὐτὸς δὲ ἐπέρα τὸν ὑδραώτην ποταμόν, οὐ καθάπερ τὸν ἀκεσίνην χαλεπῶς. προχωροῦντι δὲ αὐτῷ ἐπέκεινα τῆς ὄχθης τοῦ ὑδραώτου, τοὺς μὲν πολλοὺς καθ' ὁμολογίαν προσχωρεῖν ξυνέβαινεν. ἤδη δέ τινας ξὺν ὅπλοις ἀπαντήσαντας, τοὺς δὲ καὶ ὑποφεύγοντας ἑλών, βίᾳ κατεστρέψατο. ἐν τούτῳ δὲ ἐξαγγέλλεται ἀλεξάνδρῳ, τῶν αὐτονόμων ἰνδῶν ἄλλους τέ τινας, καὶ τοὺς καλουμένους

 καθαί-

καθαίους, αὐτούς τε παρασκευάζεσθαι ὡς πρὸς μάχην, εἰ προσάγοι τῇ χώρᾳ αὐτῶν ἀλέξανδρος, καὶ ὅσα ὅμορα σφίσιν ὡσαύτως αὐτόνομα, καὶ ταῦτα παρακαλεῖν ἐς τὸ ἔργον. εἶναι δὲ τήν τε πόλιν ὀχυρὰν, πρὸς ἣν ἐπενόουν ἀγωνίσασθαι. σάγγαλα ἦν τῇ πόλει ὄνομα. καὶ αὐτοὶ οἱ καθαῖοι εὐτολμότατοί τε, καὶ τὰ πολέμια κράτιστοι ἐνομίζοντο. καὶ τούτοις κατὰ τὰ αὐτὰ ὀξυδράκαι, ἄλλο ἰνδῶν ἔθνος· καὶ μαλλοὶ, ἄλλο καὶ τοῦτο. ἐπεὶ καὶ ὀλίγῳ πρόσθεν στρατεύσαντας ἐπ᾽ αὐτοὺς πῶρόν τε καὶ ἀβισάρην, ξύν τε τῇ σφετέρᾳ δυνάμει, καὶ πολλὰ ἄλλα ἔθνη τῶν αὐτονόμων ἰνδῶν ἀναστήσαντας, οὐδὲν πράξαντας τῆς παρασκευῆς ἄξιον, ξυνέβη ἀπελθεῖν. ταῦτα ὡς ἐξηγγέλθη ἀλεξάνδρῳ, σπουδῇ ἤλαυνεν, ὡς ἐπὶ τοὺς καθαίους. καὶ δευτεραῖος μὲν ἀπὸ τοῦ ποταμοῦ τοῦ ὑδραώτου, πρὸς πόλιν ἧκεν, ᾗ ὄνομα πίμπραμα· τὸ δὲ ἔθνος τοῦτο τῶν ἰνδῶν, ἀδραϊσταὶ ἐκαλοῦντο. οὗτοι μὲν δὴ προσεχώρησαν ὁμολογίᾳ ἀλεξάνδρῳ. καὶ ἀλέξανδρος ἀναπαύσας τῇ ὑστεραίᾳ τὴν στρα





τιὰν, τῇ τρίτῃ προὐχώρει ἐπὶ τὰ σάγγαλα, ἵνα οἱ καθαῖοί τε καὶ οἱ ἄλλοι πρόσχωροι, αὐτοῖς ξυνεληλυθότες πρὸ τῆς πόλεως παρατεταγμένοι ἦσαν, ἐπὶ γηλόφου οὐ πάντῃ ἀποτόμου· κύκλῳ δὲ τοῦ γηλόφου, ἁμάξας περιστήσαντες, ἐντὸς αὐτῶν ἐστρατοπεδεύοντο, ὡς τριπλοῦν χάρακα προβεβλῆσθαι πρὸ τῶν ἁμαξῶν. ἀλέξανδρος δὲ τό, τε πλῆθος κατιδὼν τῶν βαρβάρων, καὶ τοῦ χωρίου τὴν φύσιν, ὡς μάλιστα πρὸς τὰ παρόντα ἐν καιρῷ οἱ ἐφαίνετο, παρετάσσετο. καὶ τοὺς μὲν ἱπποτοξότας, εὐθὺς ὡς εἶχεν, ἐκπέμπει ἐπ᾽ αὐτοὺς ἀκροβολίζεσθαι· κελεύσας παριππεύοντας, ὡς μή τι ἐκδρομήν τινα ποιήσασθαι τοὺς ἰνδοὺς, πρὶν ξυνταχθῆναι αὐτῷ τὴν στρατιὰν, καὶ ὡς πληγὰς γίγνεσθαι αὐτοῖς, καὶ πρὸ τῆς μάχης ἐντὸς τοῦ ὀχυρώματος. αὐτὸς δὲ ἐπὶ μὲν τοῦ δεξιοῦ κέρως τῶν ἱππέων τὸ ἄγημα κατέστησε, καὶ τὴν κλείτου ἱππαρχίαν· ἐχομένους δὲ τούτων τοὺς ὑπασπιστὰς, καὶ ἐπὶ τούτοις τοὺς ἀγριάνας. κατὰ δὲ τὸ εὐώνυμον, περδίκκας τε αὐτῷ ἐτέτακτο, τήν τε αὐτοῦ ἔχων

ἱππαρχίαν, καὶ τὰς τῶν ἀσθενεστέρων τάξεις. ἐπὶ κέρως δὲ ἑκατέρου οἱ τοξόται αὐτῷ διχῇ διακριθέντες, ἐτάχθησαν. ἐκτάσσοντι δὲ αὐτῷ, παρεγένοντο καὶ οἱ ἀπὸ τῆς ὀπισθοφυλακίας πεζοί τε καὶ ἱππεῖς· καὶ τούτων τοὺς μὲν ἱππέας ἐπὶ τὰ κέρατα διελὼν, παρήγαγε· ἀπὸ δὲ τῶν πεζῶν τῶν προσγινομένων, πυκνοτέραν τὴν σύγκλεισιν τῆς φάλαγγος ποιήσας, αὐτὸς ἀναλαβὼν τὴν ἵππον τὴν ἐπὶ τοῦ δεξιοῦ τεταγμένην, παρήγαγεν ἐπὶ τὰς κατὰ τὸ εὐώνυμον τῶν ἰνδῶν ἁμάξας. ταύτῃ γὰρ εὐπροσοδώτερον αὐτῷ ἐφαίνετο τὸ χωρίον, καὶ οὐ πυκναὶ ὡσαύτως αἱ ἅμαξαι ἐφεστήκεσαν. ὡς δὲ ἐπὶ τὴν ἵππον προσαγαγοῦσαν, οὐκ ἐξέδραμον οἱ ἰνδοὶ ἔξω τῶν ἁμαξῶν, ἀλλ' ἐπιβεβηκότες αὐτῶν, ἐφ' ὑψηλοῦ ἠκροβολίζοντο, γνοὺς ἀλέξανδρος ὅτι οὐκ εἴη τῶν ἱππέων τὸ ἔργον, καταπηδήσας ἀπὸ τοῦ ἵππου, πεζὸς ἐπῆγε τῶν πεζῶν τὴν φάλαγγα. καὶ ἀπὸ μὲν τῶν πρώτων ἁμαξῶν, οὐ χαλεπῶς ἐβιάσαντο οἱ μακεδόνες τοὺς ἰνδούς. πρὸ δὲ τῶν δευτέρων οἱ ἰνδοὶ παρα-

ταξάμ



ταξάμενοι, ῥᾷον ἀπεμάχοντο· οἷα δὴ πυκνότεροί τε ἐφεστηκότες ἐλάττονος τοῦ κύκλῳ, καὶ τῶν μακεδόνων οὐ κατ' εὐρυχωρίαν ὡσαύτως προσαγόντων σφίσιν. ἐν ᾧ τάς τε πρώτας ἁμάξας ὑπεξῆγον, καὶ κατὰ τὰ διαλείμματα αὐτῶν ὡς ἑκάστοις προὐχώρει, ἀτάκτως προσέβαλλον· ἀλλὰ καὶ ἀπὸ τούτων ὅμως ἐξώσθησαν οἱ ἰνδοί, βιασθέντες ὑπὸ τῆς φάλαγγος· οἱ δὲ οὐκέτι ἐπὶ τῶν τρίτων ἀνέμενον, ἀλλ' ὡς τάχους εἶχον, φυγῇ εἰς τὴν πόλιν κατεκλείσθησαν. καὶ ἀλέξανδρος ταύτην μὲν τὴν ἡμέραν περιεστρατοπέδευσε τοῖς πεζοῖς τὴν πόλιν, ὅσα γε ἠδυνήθη αὐτῷ περιβαλεῖν ἡ φάλαγξ. ἐπὶ πολὺ γὰρ ἐπεῖχον τὸ τεῖχος, τῷ στρατοπέδῳ κυκλώσασθαι, οὐ δυνατὸς ἐγένετο. κατὰ δὲ τὰ διαλείποντα αὐτοῦ, ἵνα καὶ λίμνη οὐ μακρὰν τοῦ τείχους ἦν, τοὺς ἱππέας ἐπέταξεν ἐν κύκλῳ τῆς λίμνης, γνὸς ὁ βαθεῖαν οὖσαν τὴν λίμνην· καὶ ἅμα εἰκάσας, ὅτι φοβεροὶ γενόμενοι ἰνδοὶ ἀπὸ τῆς προτέρας ἥττης, ἀπολείψουσι τῆς νυκτὸς τὴν πόλιν. καὶ ξυνέβη οὕτως, ὅπως εἴκασεν.

ἀμφὶ

ἀμφὶ γὰρ δευτέραν φυλακὴν, ἐκπίπτοντων ἐκ τοῦ τείχους οἱ πολλοὶ αὐτῶν, ἐνέκυρσαν ταῖς προφυλακαῖς τῶν ἱππέων. καὶ οἱ μὲν πρῶτοι αὐτῶν κατεκόπησαν πρὸς τῶν ἱππέων· οἱ δὲ ὄπισθεν αἰσθόμενοι, ὅτι φυλάσσεται ἐν κύκλῳ λίμνη, ἐς τὴν πόλιν αὖθις ἀνεχώρησαν. ἀλέξανδρος δὲ χάρακί τε διπλῷ περιβάλλει, ἵνα περ μὴ εἶργεν ἡ λίμνη τὴν πόλιν· καὶ φυλακὰς ἐν κύκλῳ τῆς λίμνης ἀκριβεστέρας κατέστησεν. αὐτὸς δὲ μηχανὰς προσάγειν τῷ τείχει ἐπενόει, ὡς κατασείειν τὸ τεῖχος. αὐτομολήσαντες δὲ αὐτῷ τῶν ἐκ τῆς πόλεώς τινες, φράζουσιν ὅτι ἐν νῷ ἔχοιεν αὐτῆς ἐκείνης τῆς νυκτὸς ἐκπίπτειν ἐκ τῆς πόλεως οἱ ἰνδοὶ κατὰ τὴν λίμνην, ἵνα περ τὸ ἐκλιπὲς ἦν τοῦ χάρακος. ὁ δὲ πτολεμαῖον τὸν λάγου ἐπιτάττει ἐνταῦθα τῶν τε ὑπασπιστῶν αὐτῷ δοὺς χιλιαρχίας τρεῖς, καὶ τοὺς ἀγριᾶνας ξύμπαντας, καὶ μίαν τάξιν τῶν τοξοτῶν, ἀποδείξας τὸ χωρίον, ᾗπερ μάλιστα εἴκαζε βιάζεσθαι τοὺς βαρβάρους. σὺ δὲ ἐπειδὰν αἴσθῃ, ἔφη, βιαζομένους ταύτῃ, αὐτὸς μὲν

ξὺν



ξὺν τῇ στρατιᾷ εἶργειν τοὺς βαρβάρους τοῦ πρόσω· τὸν δὲ σαλπιγκτὴν κέλευε σημαίνειν. ὑμεῖς δὲ ἄνδρες ἡγεμόνες, ἐπειδὰν σημανθῇ ξὺν τοῖς καθ' αὑτοὺς ἕκαστοι ξυντεταγμένοι ἰέναι ἐπὶ τὸν θόρυβον, ἵνα ἂν ἡ σάλπιγξ παρακαλῇ. ἀποστατήσω δὲ οὐδὲ ἐγὼ τοῦ ἔργου. ὁ μὲν ταῦτα παρήγγελε. πτολεμαῖος δὲ ἁμάξας τε ἐκ τῶν ἀπολελειμμένων ἐν τῇ πρώτῃ φυγῇ ἁμαξῶν ταύτῃ ξυναγαγὼν ὡς πλείστας κατέστησεν ἐγκαρσίας, ἵνα πολλὰ ἐν νυκτὶ ἄπορα φαίνηται τοῖς φεύγουσιν, καὶ τοῦ χάρακος τοῦ κεκομμένου τε καὶ οὐ καταπηχθέντος, συνωθῆσαι ἄλλῃ καὶ ἄλλῃ ἐκέλευσεν ἐν μέσῳ τῆς τε λίμνης καὶ τοῦ τείχους. καὶ ταῦτα αὐτῷ οἱ στρατιῶται ἐν τῇ νυκτὶ ἐξειργάσαντο. ἤδη τε ἦν ἀμφὶ τετάρτην φυλακὴν, καὶ οἱ βάρβαροι καθάπερ ἐξήγγελτο ἀλεξάνδρῳ, ἀνοίξαντες τὰς ὡς ἐπὶ τὴν λίμνην πύλας, δρόμῳ ἐπ' αὐτὴν ἐφέροντο. οὐ μὴν ἔλαθον τὰς ταύτῃ φυλακὰς, οὐδὲ πτολεμαῖον τὸν ἐπ' αὐταῖς τεταγμένον· ἀλλὰ ἐν τούτῳ οἵ τε σαλπιγκταὶ ἐσήμαι-

νον

νον αὐτῷ, καὶ αὐτὸς τὴν στρατιὰν ὡπλισμένην τε καὶ συντεταγμένην ἔχων, ἐχώρει ἐπὶ τοὺς βαρβάρους. τοῖς δὲ αἵ τε ἅμαξαι ἐμποδὼν ἦσαν, καὶ ὁ χάραξ ἐν μέσῳ καταβεβλημένος. ὡς δὲ ἥ τε σάλπιγξ ἐφθέγξατο, καὶ οἱ ἀμφὶ πτολεμαῖον προσέκειντο αὐτοῖς, τοὺς ἀεὶ ἐκπίπτοντας διὰ τῶν ἁμαξῶν κατακαίνοντες, ἐνταῦθα δὴ ἀποστρέφονται αὖθις ἐς τὴν πόλιν. καὶ ἀπέθανον αὐτῶν ἐν τῇ ἀποχωρήσει, ἐς πεντακοσίους. ἐν τούτῳ δὲ καὶ πῶρος ἀφίκετο· τοὺς δὲ ὑπολοίπους ἐλέφαντας ἅμα οἱ ἄγων, καὶ τῶν ἰνδῶν ἐς πεντακισχιλίους, αἵ τε μηχαναὶ ἀλεξάνδρῳ ξυμπεπηγμέναι ἦσαν, καὶ προσήγοντο ἤδη τῷ τείχει. ἀλλὰ οἱ μακεδόνες, πρὶν καὶ κατασεισθῆναί τι τοῦ τείχους, ὑπορύττοντές τε αὐτοὶ πλίνθινον ὂν τὸ τεῖχος, καὶ τὰς κλίμακας ἐν κύκλῳ πάντῃ προσθέντες, αἱροῦσι κατὰ κράτος τὴν πόλιν. καὶ ἀποθνήσκουσι μὲν ἐν τῇ καταλήψει τῶν ἰνδῶν, ἐς μυρίους καὶ ἑπτακισχιλίους. ἑάλωσαν δὲ, ὑπὲρ τὰς ἑπτὰ μυριάδας, καὶ ἅρματα τριακόσια, καὶ ἱππεῖς πεντακόσιοι.





τῆς δὲ ξὺν ἀλεξάνδρῳ στρατιᾶς, ἀπέθανον μὲν ὀλίγον ἀποδέοντες τῶν ἑκατὸν, ἐν τῇ πάσῃ πολιορκίᾳ. τραυματίαι δὲ οὐ κατὰ πλῆθος τῶν νεκρῶν ἐγένοντο, ἀλλὰ ὑπὲρ τοὺς χιλίους καὶ διακοσίους. καὶ ἐν τούτοις, τῶν ἡγεμόνων ἄλλοι τε καὶ λυσίμαχος ὁ σωματοφύλαξ. θάψας δὲ ὡς νόμος αὐτῷ τοὺς τελευτήσαντας, εὐμενῆ τὸν γραμματέα ἐκπέμπει ἐς τὰς δύο πόλεις τὰς συναφεστώσας τοῖς σαγγάλοις, δοὺς αὐτῷ τῶν ἱππέων ἐς τριακοσίους, φράσοντας τοῖς ἔχουσι τὰς πόλεις, τῶν τε σαγγάλων τὴν ἅλωσιν, καὶ ὅτι αὐτοῖς οὐδὲν ἔσται χαλεπὸν ὑπ' ἀλεξάνδρου, ὑπομένουσί τε καὶ δεχομένοις φιλίως ἀλέξανδρον. οὐδὲ γὰρ οὐδὲ ἄλλοις τισὶ γενέσθαι τῶν αὐτονόμων ἰνδῶν, ὅσοι ἑκόντες σφᾶς ἐνέδοσαν. οἱ δὲ (ἤδη γὰρ ἐξήγγελτο αὐτοῖς κατὰ κράτος ἑαλωκότα πρὸς ἀλεξάνδρου τὰ σάγγαλα) φοβεροὶ γενόμενοι, φεύγον ἀπολιπόντες τὰς πόλεις. καὶ ἀλέξανδρος ἐπειδὴ ἐξηγγέλθη αὐτῷ ἡ φυγὴ, σπουδῇ ἐδίωκεν. ἀλλὰ οἱ πολλοὶ μὲν αὐτῶν ἔφθασαν ἀποφυγόντες (διὰ μακροῦ

γὰρ ἡ δίωξις ἐγίνετο. ὅσοι δὲ κατὰ τὴν ἀποχώρησιν δι᾽ ἀσθένειαν ὑπελείποντο, οὗτοι ἐγκαταλειφθέντες πρὸς τῆς στρατιᾶς ἀπέθανον ἐς πεντακοσίους μάλιστα. ὡς δὲ ἀπέγνω διώκειν τοῦ πρόσω τοὺς φεύγοντας, ἐπανελθὼν ἐς τὰ Σάγγαλα, τὴν πόλιν μὲν κατέσκαψε· τὴν χώραν δὲ τῶν Ἰνδῶν, τοῖς πάλαι μὲν αὐτονόμοις, τότε δὲ ἑκουσίως προσχωρήσασι, προσέθηκε. καὶ Πῶρον μὲν ξὺν τῇ δυνάμει τῇ ἀμφ᾽ αὐτὸν, ἐκπέμπει ἐπὶ τὰς πόλεις, αἳ προσκεχωρήκεσαν, φρουρὰν εἰσάξοντα ἐς αὐτάς. αὐτὸς δὲ ξὺν τῇ στρατιᾷ ἐπὶ τὸν Ὕφασιν ποταμὸν προὐχώρει, ὡς καὶ τοὺς ἐπέκεινα Ἰνδοὺς καταστρέψαιτο. οὐδὲ ἐφαίνετο αὐτῷ πέρας τι τοῦ πολέμου, ἔς τε ὑπελείπετό τι πολέμιον. τὰ δὲ δὴ πέραν τοῦ Ὑφάσιος εὐδαίμονά τε τὴν χώραν εἶναι ἐξηγγέλλετο, καὶ ἀνθρώπους ἀγαθοὺς μὲν τῆς ἐργασίας, γενναίους δὲ τὰ πολέμια, καὶ εἰς τὰ ἴδια δὲ σφῶν ἐν κόσμῳ πολιτεύοντας. πρὸς γὰρ τῶν ἀρίστων ἄρχεσθαι τοὺς πολλοὺς, τοὺς δὲ οὐδὲν ἔξω τοῦ ἐπιεικοῦς ἐξηγεῖσθαι. πλῆθός τε ἐλεφάντων

εἶναι



εἶναι τοῖς ταύτῃ ἀνθρώποις, πολύ τι ὑπὲρ τοὺς ἄλλους Ἰνδούς· καὶ μεγέθει, μεγίστους τε καὶ ἀνδρείους. ταῦτα δὲ ἐξαγγελλόμενα, Ἀλέξανδρον μὲν παρώξυνε ἐς ἐπιθυμίαν τοῦ πρόσω ἰέναι αὐτόν. οἱ δὲ Μακεδόνες ἐξέκαμον ἤδη ταῖς γνώμαις, πόνους τε ἐκ πόνων, καὶ κινδύνους ἐκ κινδύνων ἐπαναιρούμενον ὁρῶντες τὸν βασιλέα, ξύλλογοί τε ἐγίγνοντο κατὰ τὸ στρατόπεδον, τῶν μὲν τὰ σφέτερα ὀδυρομένων, ὅσοι ἐπιεικέστατοι· τῶν δὲ οὐκ ἀκολουθήσειν, οὐδ᾽ ἢν ἄγῃ Ἀλέξανδρος, ἐπισχυριζομένων. ταῦτα ὡς ἐπύθετο Ἀλέξανδρος, πρὶν καὶ προελθεῖν ἐπὶ μεῖζον τὴν ταραχὴν τοῖς στρατιώταις, καὶ τὴν ἀθυμίαν, ξυγκαλέσας τοὺς ἡγεμόνας τῶν τάξεων, ἔλεξε τάδε. Ὁρῶν ὑμᾶς ὦ ἄνδρες Μακεδόνες τε καὶ ξύμμαχοι, οὐχ ὁμοίᾳ ἔτι τῇ γνώμῃ ἑπομένους μοι ἐς τοὺς κινδύνους, ξυνήγαγον ἐς ταὐτὸ, ὡς ἢ πείσας ἄγειν τοῦ πρόσω, ἢ πεισθεὶς ὀπίσω ἀποστρέφεσθαι. εἰ μὲν δὴ μεμπτοί εἰσιν ὑμῖν οἱ ἡμέτεροι μέχρι δεῦρο πονηθέντες πόνοι, καὶ αὐτὸς ἐγὼ ἡγούμενος, οὐδὲν ἔτι προὔρ

 γου

γου λέγειν μοι δοκεῖν. εἰ δὲ ἰωνία τε πρὸς ὑμῶν διὰ τούσδε τοὺς πόνους ἔχεται, καὶ ἑλλήσποντος καὶ φρύγες ἀμφότεροι, καὶ καππαδόκαι, καὶ παφλαγόνες, καὶ λυδοὶ, καὶ κάρες, καὶ λύκιοι, καὶ παμφυλία τε καὶ φοινίκη, καὶ αἴγυπτος ξὺν τῇ λιβύῃ τῇ ἑλληνικῇ, καὶ ἀραβίας ἔστιν ἃ, καὶ συρία ἥ τε κοίλη, καὶ ἡ μέση τῶν ποταμῶν, καὶ βαβυλὼν δὲ ἔχεται, καὶ τὸ σουσίων ἔθνος, καὶ πέρσαι, καὶ μῆδοι, καὶ ὅσων πέρσαι καὶ μῆδοι ἐπῆρχον, καὶ ὅσων δὲ οὐκ ἦρχον, τὰ ὑπὲρ τὰς κασπίας πύλας, τὰ ἐπέκεινα τοῦ καυκάσου, ὅταν δὲ τὰ πρόσω ἔτι τοῦ τανάϊδος, βακτριανοὶ, ὑρκάνιοι, ἡ θάλασσα ἡ ὑρκανία. σκύθας τε ἀνεστείλαμεν ἔς τε ἐπὶ τὴν ἔρημον. ἐπὶ τούτοις μέντοι, καὶ ὁ ἰνδὸς ποταμὸς διὰ τῆς ἡμετέρας ῥεῖ, ὁ ὑδάσπης διὰ τῆς ἡμετέρας, ὁ ἀκεσίνης, ὁ ὑδραώτης· τί ὀκνεῖτε καὶ τὸν ὕφασιν, καὶ τὰ ἐπέκεινα τοῦ ὑφάσιος γένη προσθεῖναι τῇ ἡμετέρᾳ μακεδόνων ἀρχῇ; ἢ δεδοίκατε μὴ δέξωνται ὑμᾶς ἔτι ἄλλοι βάρβαροι ἐπιόντας, ὧν οἱ μὲν προσχωροῦσιν ἑκόντες,

ἑκόντες, οἱ δὲ φεύγοντες ἁλίσκονται, οἱ δὲ ἀποφυγόντες τὴν χώραν ἡμῖν ἔρημον παραδιδόασιν, οἱ δὲ τοῖς ξυμμάχοις τε καὶ τοῖς ἑκοῦσι προσχωρήσασι προστίθεται. πέρας δὲ τῶν πόνων γενναίῳ μὲν ἀνδρὶ οὐδὲν δοκῶ ἔγωγε, ὅτι μὴ αὐτοὺς τοὺς πόνους, ὅσοι αὐτῶν ἐς καλὰ ἔργα φέρουσιν. εἰ δέ τις καὶ αὐτῷ τῷ πολεμεῖν ποθεῖ ἀκοῦσαι, ὅτι περ ἔσται πέρας, μαθέτω ὅτι οὐ πολλὴ ἔτι ἡμῖν ἡ λοιπή ἐστιν, ἔς τε ἐπὶ τὸν ποταμόν τε γάγγην, καὶ τὴν ἑῴαν θάλασσαν. ταύτῃ δὲ λέγω ὑμῖν ξυναφὴς φανεῖται ἡ ὑρκανία θάλασσα. ἐκπεριέρχεται γὰρ περὶ πᾶσαν ἡ μεγάλη θάλασσα. καὶ ἐγὼ ἐπιδείξω μακεδόσι τε καὶ τοῖς ξυμμάχοις, τὸν μὲν ἰνδικὸν κόλπον ξύρρουν ὄντα τῷ περσικῷ, τὴν δὲ ὑρκανίαν τῷ ἰνδικῷ. ἀπὸ δὲ τοῦ περσικοῦ, εἰς λιβύην περιπλευσθήσεται στόλῳ ἡμετέρῳ, τὰ μέχρι ἡρακλέους στηλῶν. ἀπὸ δὲ στηλῶν, ἡ ἐντὸς πᾶσα λιβύη ἡμετέρα γίγνεται, καὶ ἡ ἀσία δὴ οὕτω πᾶσα, καὶ ὅροι τῆς ταύτης ἀρχῆς, οὕσπερ καὶ τῆς γῆς ὅρους ὁ θεὸς ἐποίησε. νῦν δὲ δὴ ἀποτρεπομένων, πολλὰ μὲν μάχιμα ὑπολείπεται

γένη, ἐπέκεινα τοῦ ὑφάσιος, ἔς τε ἐπὶ τὴν ἑῴαν θάλασσαν· πολλὰ δὲ ἀπὸ τούτων ἐπὶ τὴν ὑρκανίαν, ὡς ἐπὶ βορρᾶν ἄνεμον· καὶ τὰ σκυθικὰ γένη, οὐ πόρρω τούτων. ὥς τε δέος, μὴ ἀπελθόντων ὀπίσω, καὶ τὰ νῦν κατεχόμενα οὐ βέβαια ὄντα, ἐπαρθῇ πρὸς ἀπόστασιν πρὸς τῶν μήπω ἐχομένων. τότε δὴ ἀνόνητοι ἡμῖν ἔσονται οἱ πολλοὶ πόνοι· ἢ ἄλλως αὖθις ἐξ ἀρχῆς δεήσει, πόνων τε καὶ κινδύνων. ἀλλὰ παραμείνατε ἄνδρες μακεδόνες καὶ ξύμμαχοι, πονούντων τοι καὶ κινδυνευόντων τὰ καλὰ ἔργα· καὶ ζῆν τε ξὺν ἀρετῇ ἡδὺ, καὶ ἀποθνήσκειν κλέος ἀθάνατον ὑπολειπομένους. ἢ οὐκ ἴστε, ὅτι ὁ πρόγονος ὁ ἡμέτερος, οὐκ ἐν τίρυνθι, οὐδ' ἐν ἄργει, ἀλλ' οὐδὲ ἐν πελοποννήσῳ ἢ θήβαις μένων, ἐς τοσόνδε κλέος ἦλθεν, ὡς θεὸς ἐξ ἀνθρώπου γενέσθαι, ἢ δοκεῖν; οὐ μὲν δὴ οὐδὲ διονύσου ἀκροτέρου τούτου θεοῦ, ἢ καθ' ἡρακλέα, ὀλίγοι πόνοι· ἀλλὰ ἡμεῖς γε καὶ ἐπέκεινα τῆς νύσης ἀφίγμεθα, καὶ ἡ ἄορνος πέτρα, ἡ τῷ ἡρακλεῖ ἀνάλωτος, πρὸς ἡμῶν ἔχεται. ὑμεῖς δὲ καὶ τὰ ἔτι ὑπό





λοιπα τῆς ἀσίας πρόσθετε τοῖς ἤδη κεκτημένοις, καὶ τὰ ὀλίγα τοῖς πολλοῖς. ἐπεὶ καὶ ἡμῖν αὐτοῖς τί ἂν μέγα καὶ καλὸν κατεπέπρακτο, ἢ ἐν μακεδονίᾳ καθήμενοι, ἱκανὸν ἐποιούμεθα ἀπόνως τὴν οἰκίαν διασώζειν, θρᾷκας τοὺς ὁμόρους, ἢ ἰλλυριοὺς, ἢ τριβαλλοὺς, ἢ καὶ τῶν ἑλλήνων ὅσοι οὐκ ἐπιτήδειοι ἐς τὰ ἡμέτερα ἀναστέλλοντες. εἰ μὲν δὴ ὑμᾶς πονοῦντας καὶ κινδυνεύοντας, αὐτὸς ἀπόνως καὶ ἀκινδύνως ἐξηγούμενος ἦγον, οὐκ ἀπεικότως ἂν προεκάμνετε ταῖς γνώμαις· τῶν μὲν πόνων μόνοις ὑμῖν, μετὸν· τὰ δὲ ἆθλα αὐτῶν, ἄλλοις περιποιοῦντες. νῦν δὲ κοινοὶ μὲν οἱ πόνοι, ἴσον δὲ μέτεστι τῶν κινδύνων. τὰ δὲ ἆθλα ἐν μέσῳ κεῖται ξύμπασιν, ἥ τε χώρα ἡμετέρα· καὶ ὑμεῖς αὐτῆς σατραπεύετε, καὶ τῶν χρημάτων τὸ μέρος νῦν τε ἐς ὑμᾶς πολὺ ἔρχεται. καὶ ἐπειδὰν ἐπεξέλθωμεν τὴν ἀσίαν, τότε οὐκ ἐμπλήσας μὰ δία ὑμᾶς, ἀλλὰ καὶ ὑπερβαλὼν ὅσα ἕκαστος ἐλπίζει ἀγαθὰ ἔσεσθαι· τοὺς μὲν ἀπιέναι οἴκαδε ἐθέλοντας ἐς τὴν οἰκείαν, ἀποπέμψω, ἢ ἐπανάξω αὐτός. τοὺς δὲ αὐ-

τοὺς μένοντας, ζηλωτοὺς τοῖς ἐπὶ ὁρμωμένοις
ποιήσω. ταῦτα καὶ τοιαῦτα εἰπόντος ἀλε-
ξάνδρου, πολὺν μὲν χρόνον σιωπὴ ἦν. οὔ-
τε ἀντιλέγειν τολμώντων πρὸς τὸν βασι-
λέα ἐκ τοῦ εὐθέως, οὔτε ξυγχωρεῖν ἐθελόν-
των. ἐν δὲ τούτῳ, πολλάκις μὲν ἀλέξαν-
δρος ἐκέλευε λέγειν τὸν βουλόμενον, εἰ
δή τις τὰ ἐναντία τοῖς ὑπ' αὐτοῦ λεχθεῖσι
γινώσκει. ἔμενε δὲ καὶ ὣς ἐπὶ πολὺ ἡ σιω-
πή. ὀψὲ δέ ποτε θαρσήσας κοῖνος ὁ πολε-
μοκράτους, ἔλεξε τοιάδε. ἐπειδὴ αὐτὸς ὦ
βασιλεῦ οὐ κατὰ πρόσταξιν ἐθέλεις μακε-
δόνων ἐξηγεῖσθαι, ἀλλὰ πείσας μὲν ἄξειν
φῄς, πεισθεὶς δὲ οὐ βιάσασθαι, οὐχ ὑπὲρ
ἡμῶν τῶνδε ποιήσομαι ἐγὼ τοὺς λόγους,
οἳ καὶ πρωτιμώμενοι τῶν ἄλλων, καὶ τὰ
ἆθλα τῶν πόνων οἱ πολλοὶ ἤδη κεκομισμέ-
νοι, καὶ τῷ κρατιστεύειν παρὰ τοὺς ἄλλους
πρόθυμοί σοι ἐς πάντα ἐσμέν. ἀλλ' ὑπὲρ
τῆς στρατιᾶς τῆς πολλῆς, οὐδ' ὑπὲρ ταύτης
ἐρῶ, τὰ καθ' ἡδονὴν ἐκείνοις, ἀλλ' ἃ νομίζω
σύμφορά τε σοὶ ἐς τὰ παρόντα, καὶ ἐς τὰ
μέλλοντα μάλιστα ἀσφαλῆ εἶναι. δίκαιος δὲ





ἅμα καθ' ἡλικίαν τε, μὴ ἀποκρύψασθαι τὰ
δοκοῦντα βέλτιστα, καὶ κατὰ τὴν ἐκ σοῦ μοι
οὖσαν, καὶ ἐς τοὺς ἄλλους ἀξίωσιν, καὶ κατὰ τὴν
ἐν τοῖς πόνοις τε καὶ κινδύνοις, ἐς τόδε ἀ-
προφάσιστον τόλμαν. ὅσῳ γάρ τοι πλεῖστα καὶ
μέγιστα σοί τε ἡγουμένῳ καταπέπρακται,
καὶ τοῖς ἅμα σοι οἴκοθεν ὁρμηθεῖσι, τοσῷδε
μᾶλλόν τι ξύμφορόν μοι δοκεῖ, πέρας τι ἐπι-
θεῖναι τοῖς πόνοις τε καὶ κινδύνοις. αὐτὸς γάρ
τοι ὁρᾷς, ὅσοι μὲν μακεδόνων τε καὶ ἑλλήνων
ἅμα ὡρμήθημεν, ὅσοι δὲ ὑπολελείμμεθα.
ὧν, θετταλοὺς μὲν ἀπὸ βάκτρων εὐθὺς οὐ προ-
θύμους ἔτι ἐς τοὺς πόνους αἰσθόμενος, οἴκα-
δε (καλῶς ποιῶν) ἀπέπεμψας· τῶν δὲ ἄλ-
λων ἑλλήνων, οἱ μὲν ἐν ταῖς πόλεσι ταῖς
πρὸς σοῦ οἰκισθείσαις κατῳκισμένοι, οἱ δὲ
οὔτι πάντῃ ἑκόντες μένουσιν, οἱ δὲ ξυμ-
πονοῦντές τε ἔτι καὶ ξυγκινδυνεύοντες,
αὐτοί τε καὶ ἡ μακεδόνων στρατιά, τοὺς μὲν
ἐν ταῖς μάχαις ἀπολωλέκασιν· οἱ δὲ ἐκ
τῶν τραυμάτων ἀπόμαχοι γεγενημένοι,
ἄλλοι ἄλλῃ τῆς ἀσίας ὑπολελειμμένοι εἰ-
σίν, οἱ πλείους δὲ νόσῳ ἀπολώλασιν, ὀλίγοι

δὲ ἐκ πολλῶν ἀπολείπονται, καὶ οὔτε τοῖς σώμασιν ἔτι ὡσαύτως ἐρρωμένοι, ταῖς τε γνώμαις πολὺ ἔτι μᾶλλον προσκεκμηκότων. καὶ τούτοις ξύμπασι πόθος μὲν γονέων ἐστὶν, ὅσοις ἔτι σώζονται· πόθος δὲ γυναικῶν, καὶ παίδων. πόθος δὲ δὴ τῆς γῆς αὐτῆς τῆς οἰκείας, ἣν ξὺν τῷ ἐκ σοῦ πορισθέντι σφίσι κόσμῳ, μεγάλοι τε ἀντὶ μικρῶν, καὶ πλούσιοι ἐκ πενήτων ἀναστρέφοντες, ξύγγνωστοί εἰσιν ἐπιδεῖν ποθοῦντες. σὺ δὲ νῦν μὴ ἄγειν ἄκοντας. οὐδὲ γὰρ ὁμοίοις ἔτι χρήσῃ ἐς τοὺς κινδύνους, οἷς τὸ ἑκούσιον ἐν τοῖς ἀγῶσιν ἀπέσται. ἐπανελθών τε αὐτὸς, εἰ δοκεῖ, ἐς τὴν οἰκείαν, καὶ τὴν μητέρα τὴν σαυτοῦ ἰδὼν, καὶ τὰ τῶν ἑλλήνων καταστησάμενος, καὶ τὰς νίκας ταύτας τὰς πολλὰς καὶ μεγάλας ἐς τὸν πατρῷον οἶκον κομίσας, οὕτω δὴ ἐξ ἀρχῆς ἄλλον στόλον στέλλεσθαι, εἰ μὲν βούλει ἐπ' αὐτὰ ταῦτα τὰ πρὸς τὴν ἕω ᾠκισμένα ἰνδῶν γένη. εἰ δὲ βούλει, ἐς τὸν εὔξεινον πόντον· εἰ δὲ ἐπὶ καρχηδόνας, καὶ τὰ ἐπέκεινα καρχηδονίων τῆς λιβύης, ταῦτα δὲ σὸν

ἤδη



ἤδη ἐξηγεῖσθαι. ἕψονται δέ σοι ἄλλοι μακεδόνες, νέοι τε ἀντὶ γηρώντων, καὶ ἀκμῆτες ἀντὶ κεκμηκότων, καὶ οἷς τὰ τοῦ πολέμου διὰ τὸ ἀπείρατον ἔς τε τὸ παραυτίκα οὐ φοβερὰ, καὶ κατὰ τὴν τοῦ μέλλοντος ἐλπίδα ἐν σπουδῇ ἐστι. οὓς καὶ ταύτῃ ἔτι προθυμότερον ἀκολουθήσειν σοι εἰκὸς, ὁρῶντας τοὺς πρότερον ξυμπονήσαντάς τε καὶ ξυγκινδυνεύσαντας, ἐς τὰ σφέτερα ἤδη ἐπανεληλυθότας πλουσίους τε ἀντὶ πενήτων, καὶ ἀντὶ ἀφανῶν τῶν πάλαι εὐκλεεῖς. καλὸν δὲ ὦ βασιλεῦ εἴπερ τι καὶ ἄλλο, καὶ ἐν τῷ εὐτυχεῖν σωφροσύνη. σοὶ μὲν γὰρ αὐτῷ ἡγουμένῳ, καὶ στρατιὰν τοιαύτην ἄγοντι, ἐκ μὲν πολεμίων δέος οὐδέν· τὰ δὲ ἐκ τοῦ δαιμονίου ἀδόκητά τε καὶ ταύτῃ, καὶ ἀφύλακτα τοῖς ἀνθρώποις ἐστί. τοιαῦτα εἰπόντος τοῦ κοίνου, θόρυβον γενέσθαι ἐκ τῶν παρόντων ἐπὶ τοῖς λόγοις. πολλοῖς δὲ καὶ δάκρυα προχυθέντα, ἔτι μᾶλλον δηλῶσαι, τό τε ἀκούσιον τῆς γνώμης ἐς τοὺς πρόσω κινδύνους, καὶ τὸ καθ' ἡδονὴν σφίσιν εἶναι τὴν ἀποχώρησιν. ἀλέξαν-

δρος

δρος δὲ τότε μὲν ἀχθεσθεὶς τοῦ τε κοίνου τῇ παῤῥησίᾳ, καὶ τῷ ὄκνῳ τῶν ἄλλων ἡγεμόνων, διέλυσε τὸν ξύλλογον. ἐς δὲ τὴν ὑστεραίαν ξυγκαλέσας αὖθις ξὺν ὀργῇ τοὺς αὐτοὺς, αὐτὸς μὲν ἰέναι ἔφη τοῦ πρόσω, βιάσασθαι δὲ οὐδένα ἄκοντα μακεδόνων ξυνέπεσθαι. ἕξειν γὰρ τοὺς ἀκολουθήσοντας τῷ βασιλεῖ σφῶν ἑκόντας. τοῖς δὲ καὶ ἀπιέναι οἴκαδε ἐθέλουσιν, ὑπάρχειν ἀπιέναι καὶ ἐξαγγέλλειν τοῖς οἰκείοις, ὅτι τὸν βασιλέα σφῶν ἐν μέσοις τοῖς πολεμίοις ἐπανήκουσιν ἀπολιπόντες. ταῦτα εἰπόντα ἀπελθεῖν ἐς τὴν σκηνὴν, μηδέ τινα τῶν ἑταίρων προσέσθαι αὐτῆς τε ἐκείνης τῆς ἡμέρας, καὶ ἐς τὴν τρίτην ἔτι ἀπ᾽ ἐκείνης, ὑπομένοντα εἰ δή τις τροπὴ ταῖς γνώμαις τῶν μακεδόνων τε καὶ ξυμμάχων, οἷα δὴ ἐν ὄχλῳ στρατιωτῶν τὰ πολλὰ φιλεῖ γίγνεσθαι, ἐμπεσοῦσα, εὐπειθεστέρους παρέξει αὐτούς. ὡς δὲ σιγὴ πολλὴ ἦν ἀνὰ τὸ στρατόπεδον, καὶ ἀχθόμενοι μὲν τῇ ὀργῇ αὐτοῦ δῆλοι ἦσαν, οὐ μὴν μεταβαλλόμενοί γε ὑπ᾽ αὐτῆς, ἐνταῦθα δὲ λέγει πτολεμαῖος

ὁ λάγου



ὁ λάγου, ὅτι ἐπὶ τῇ διαβάσει οὐδὲν μᾶλλον ἐθύετο. θυομένῳ δὲ, οὐκ ἐγίνετο αὐτῷ τὰ ἱερά. τότε δὴ τούς τε πρεσβυτάτους τῶν ἑταίρων, καὶ μάλιστα τοὺς ἐπιτηδείους αὐτῷ συναγαγὼν, ὡς πάντα ἐς τὴν ὀπίσω ἀναχώρησιν αὐτῷ ἔφερε, ἐκφαίνει ἐς τὴν στρατιὰν, ὅτι ἔγνω ὀπίσω ἀποστρέφειν. οἱ δὲ ἐβόων τε, οἷα ἂν ὄχλος ξυμμιγὴς χαίρων ἐβόησε, καὶ ἐδάκρυον οἱ πολλοὶ αὐτῶν. οἱ δὲ, καὶ τῇ σκηνῇ τῇ βασιλικῇ πελάζοντες, ηὔχοντο ἀλεξάνδρῳ πολλὰ καὶ ἀγαθὰ, ὅτι πρὸς σφῶν μόνων νικηθῆναι ἠνέσχετο. ἔνθα δὴ διελὼν κατὰ τάξιν τὴν στρατιὰν, δώδεκα βωμοὺς κατασκευάζειν προστάττει. ὕψος μὲν, κατὰ τοὺς μεγίστους πύργους. εὖρος δὲ, μείζονας ἔτι ἢ κατὰ πύργους, χαριστήρια τοῖς θεοῖς, τοῖς ἐς τοσόνδε ἀγαγοῦσιν αὐτὸν νικῶντα, καὶ μνημεῖα τῶν αὐτοῦ πόνων. ὡς δὲ κατεσκευασμένοι αὐτῷ οἱ βωμοὶ ἦσαν, θύει δὴ ἐπ᾽ αὐτῶν, ὡς νόμος. καὶ ἀγῶνα ποιεῖ γυμνικὸν, καὶ ἱππικόν. καὶ τὴν μὲν χώραν τὴν μέχρι τοῦ ὑφάσιος ποταμοῦ, πώρῳ ἄρχειν προσέθηκεν.

αὐτὸς

αὐτὸς δὲ ἐπὶ τὸν ὑδραώτην ἀνέστρεφε. διαβὰς δὲ τὸν ὑδραώτην, ἐπὶ τὸν ἀκεσίνην ἐπανήει, ὅπου ἂν καὶ ἐνταῦθα καταλαμβάνει τὴν πόλιν ἐξῳκοδομημένην, ἥν τινα ἡφαιστίων αὐτῷ ἐκτειχίσας, ἐτάχθη. καὶ ἐν ταύτῃ ξυνοικίσας τῶν τε προσχώρων ὅσοι ἐθελονταὶ κατῳκίζοντο, καὶ τῶν μισθοφόρων, ὅτι περ ἀπόμαχον, αὐτὸς τὰ ἐπὶ τοῦ κατάπλου παρεσκευάζετο, τοῦ ἐς τὴν μεγάλην θάλασσαν. ἐν τούτῳ δὲ ἀφίκοντο πρὸς αὐτὸν, ἀρσάκης τε ὁ τῆς ὁμόρου ἀβισάρῃ χώρας ὕπαρχος, καὶ ὁ ἀδελφὸς ἀβισάρου, καὶ οἱ ἄλλοι οἰκεῖοι, δῶρά τε κομίζοντες, ἃ μέγιστα παρ' ἰνδοῖς, καὶ τοὺς παρ' ἀβισάρῃ ἐλέφαντας, ἐς τριάκοντα τὸν ἀριθμόν· ἀβισάρην γὰρ νόσῳ ἀδύνατον γενέσθαι ἐλθεῖν. ξυνέβαινον δὲ τούτοις καὶ οἱ παρὰ ἀλεξάνδρου ἐκπεμφθέντες πρέσβεις πρὸς ἀβισάρην. καὶ ταῦτα οὐ χαλεπῶς πιστεύσας οὕτως ἔχειν, ἀβισάρην τε τῆς αὐτοῦ χώρας σατραπεύειν ἔδωκε, καὶ ἀρσάκην τῇ ἀβισάρου ἐπικρατείᾳ προσέθηκε· καὶ φό-

ρους



ρους οὕς τινας ἀποίσουσι τάξας, θύει αὖ, καὶ ἐπὶ τῷ ἀκεσίνῃ ποταμῷ, καὶ τὸν ἀκεσίνην αὖ διαβὰς, ἐπὶ τὸν ὑδάσπην ἧκεν, ἵνα καὶ τῶν πόλεων τῆς τε νικαίας, καὶ τῶν βουκεφάλων ὅσα πρὸς τὸν ὄμβρον πεπονηκότα ἦν, ξὺν τῇ στρατιᾷ ἐπεσκεύασε, καὶ τὰ ἄλλα τὰ κατὰ τὴν χώραν ἐκόσμει.

# ΑΡΡΙΑΝΟΥ ΑΛΕΞΑΝΔΡΟΥ ΑΝΑΒΑΣΕΩΣ ΙΣΤΟΡΙΩΝ ΕΚΤΗ.

ΑΛΕΞΑΝΔΡΟΣ δὲ ἐπειδὴ παρεσκευάσθησαν αὐτῷ ἐπὶ τοῦ ὑδάσπου ταῖς ὄχθαις, πολλαὶ μὲν τριακόντοροι, καὶ ἡμιόλιαι, πολλὰ δὲ καὶ ἱππαγωγὰ πλοῖα, καὶ ἄλλα ὅσα ἐς παρακομιδὴν στρατιᾶς ποταμῷ εὔπορα, ἔγνω καταπλεῖν κατὰ τὸν ὑδάσπην, ὡς ἐπὶ τὴν μεγάλην θάλασσαν. πρότερον μὲν γε ἐν τῷ ἰνδῷ

ποταμῷ

ποταμῷ κροκοδείλους ἰδὼν μόνῳ τῶν ἄλλων ποταμῶν, πλὴν νείλου· πρὸς δὲ ταῖς ὄχθαις τοῦ ἀκεσίνου κυάμους πεφυκότας, ὁποίους ἡ γῆ ἐκφέρει ἡ αἰγυπτία. καὶ ἀκούσας ὅτι ὁ ἀκεσίνης ἐμβάλλει ἐς τὸν ἰνδὸν ποταμὸν, ἔδοξεν ἐξευρηκέναι τοῦ νείλου τὰς ἀρχὰς, ὡς τὸν νεῖλον ἔνθεν ποθὲν ἐξ ἰνδῶν ἀνίσχοντα, καὶ δὶ ἐρήμου πολλῆς γῆς ῥέοντα, καὶ ταύτῃ ἀπολύοντα τὸν ἰνδὸν τὸ ὄνομα. ἔπειτα ὁπόθεν ἔρχεται διὰ τῆς οἰκουμένης χώρας ῥεῖν, νεῖλον ἤδη πρὸς αἰθιόπων τε τῶν ταύτῃ, καὶ αἰγυπτίων καλούμενον, ὡς ὅμηρος ἐποίησεν, ἐπώνυμον τῆς αἰγύπτου, αἴγυπτον, οὕτω δὴ ἐκδιδόναι ἐς τὴν ἐντὸς θάλασσαν. καὶ δὴ καὶ πρὸς ὀλυμπιάδα γράφοντα ὑπὲρ τῶν ἰνδῶν τῆς γῆς, ἄλλα τε γράψαι, καὶ ὅτι δοκοίη αὐτῷ ἐξευρηκέναι τοῦ νείλου τὰς πηγάς. μικροῖς δή τισι καὶ φαύλοις ὑπὲρ τῶν τηλικούτων τεκμαιρόμενον. ἐπεὶ μέντοι ἀτρεκέστερον ἐξήλεγξε τὰ ἀμφὶ τὸν ποταμὸν τὸν ἰνδὸν, οὕτω δὴ μαθεῖν παρὰ τῶν ἐπιχωρίων. τὸν μὲν ὑδάσπην, τῷ ἀκεσίνῃ· τὸν

ἀκεσίνην



ἀκεσίνην δὲ, τῷ ἰνδῷ τό, τε ὕδωρ ξυμβάλλοντας, καὶ τῷ ὀνόματι ξυγχωροῦντας. τὸν ἰνδὸν δὲ ἐκδιδόντα ἤδη ἐς τὴν μεγάλην θάλασσαν, δίστομον τὸν ἰνδὸν ὄντα· οὐδέ τι αὐτῷ προσῆκον τῆς γῆς τῆς αἰγυπτίας. τηνικαῦτα δὲ τῆς ἐπιστολῆς τῆς πρὸς τὴν μητέρα τοῦτο ἀμφὶ τοῦ νείλου ἔγραφεν ἀφελεῖν, καὶ τὸν κατάπλουν τὸν κατὰ τοὺς ποταμοὺς, ἐς τε μεγάλην θάλασσαν ἐπινοοῦντα παρασκευασθῆναί οἱ ἐπὶ τῷδε κελεῦσαι τὰς ναῦς. αἱ δὲ ὑπηρεσίαι αὐτοῦ ἐς τὰς ναῦς ξυνεπληρώθησαν, ἐκ τῶν ξυνεπομένων τῇ στρατιᾷ φοινίκων, καὶ κυπρίων, καὶ καρῶν, καὶ αἰγυπτίων. ἐν δὲ τούτῳ, κοῖνος μὲν ἐν τοῖς πιστοτάτοις ἀλεξάνδρῳ ὢν τῶν ἑταίρων, νόσῳ τελευτᾷ. καὶ τοῦτον θάπτει ἐκ τῶν παρόντων μεγαλοπρεπῶς. αὐτὸς δὲ ξυναγαγὼν τούς τε ἑταίρους, καὶ ὅσοι ἰνδῶν πρέσβεις παρ' αὐτὸν ἀφιγμένοι ἦσαν, βασιλέα μὲν τῆς ἑαλωκυίας ἤδη ἰνδῶν γῆς ἀπέδειξε πῶρον. ἑπτὰ μὲν ἐθνῶν τῶν ξυμπάντων. πόλεων δὲ ἐν τοῖς ἔθνεσιν, ὑπὲρ τὰς δισχιλίας·

λίας· τὴν στρατιὰν δὲ διένειμεν ὧδε. αὐτὸς μὲν τοὺς ὑπασπιστάς τε ἅμα οἱ ξύμπαντας ἐπὶ τὰς ναῦς ἀνεβίβασε, καὶ τοὺς τοξότας, καὶ τοὺς ἀγριάνας, καὶ τὸ ἄγημα τῶν ἱππέων. κρατερὸς δὲ αὐτῷ μοῖράν τε τῶν πεζῶν καὶ τῶν ἱππέων παρὰ τὴν ὄχθην τοῦ ὑδάσπου τὴν ἐν δεξιᾷ ἦγεν. κατὰ δὲ τὴν ἑτέραν ὄχθην, τὸ πλεῖστόν τε καὶ κράτιστον τῆς στρατιᾶς, καὶ τοὺς ἐλέφαντας ἡφαιστίων προὐχώρει ἄγων ἤδη ὄντας ἐς διακοσίους. τούτοις δὲ ἦν παρηγγελμένον, ὡς τάχιστα ἄγειν, ἵνα πρὸς τὰ σωπείθου βασίλεια. φιλίππῳ δὲ τῷ σατράπῃ, τῆς ἐπέκεινα τοῦ ἰνδοῦ, ὡς ἐπὶ βακτρίους γῆς διαλειπόντα τρεῖς ἡμέρας παρήγγελτο ἕπεσθαι ξὺν τοῖς ἀμφ᾽ αὐτόν, τοὺς ἱππέας δὲ τοὺς νυσαίους, ὀπίσω ἀποπέμπει ἐς τὴν νῦσαν. τοῦ μὲν δὴ ναυτικοῦ παντός, νέαρχος αὐτῷ ἐξηγεῖτο· τῆς δὲ αὐτοῦ νεὼς κυβερνήτης, ὀνησίκριτος, ὃς ἐν τῇ ξυγγραφῇ ἥν τινα ὑπὲρ ἀλεξάνδρου ξυνέγραψε, καὶ τοῦτο ἐψεύσατο, ναύαρχον ἑαυτὸν εἶναι γράψας, κυβερνήτην ὄντα, ἦν δὲ τὸ ξύμπαν πλῆθος τῶν





νεῶν, ὡς λέγει πτολεμαῖος ὁ λάγου, ᾧ μάλιστα ἐγὼ ἕπομαι, τριακόντοροι μὲν ἐς ὀγδοήκοντα. τὰ δὲ πάντα πλοῖα σὺν τοῖς ἱππαγωγοῖς καὶ κερκούροις, καὶ ὅσα ἄλλα ποτάμια, ἢ τῶν πάλαι πλεόντων κατὰ τοὺς ποταμούς, ἢ ἐν τῷ τότε ποιηθέντων, οὐ πολὺ ἀποδέοντα τῶν δισχιλίων. ὡς δὲ ξύμπαντα αὐτῷ παρεσκεύαστο, ὑπὸ τὴν ἕω ὁ μὲν στρατὸς ἐπέβαινε τῶν νεῶν, αὐτὸς δὲ ἔθυε τοῖς θεοῖς ὡς νόμος, καὶ τῷ ποταμῷ τῷ ὑδάσπῃ, ὅπως οἱ μάντεις ἐξηγοῦντο. καὶ ἐπιβὰς τῆς νεὼς ἀπὸ τῆς πρώρας ἐκ χρυσῆς φιάλης ἔσπενδεν ἐπὶ τὸν ποταμόν· τόν τε ἀκεσίνην ξυνεπικαλούμενος τῷ ὑδάσπῃ, ὅν τινα μέγιστον αὐτῶν ἄλλων ποταμῶν ξυμβαλεῖν τῷ ὑδάσπῃ ἐπέπυστο, καὶ οὐ πόρρω αὐτῶν εἶναι τὰς ξυμβολάς, καὶ τὸν ἰνδόν, ἐς ὅν τινα ὁ ἀκεσίνης ξὺν τῷ ὑδάσπῃ ἐμβάλλει. ἐπεὶ δὲ ἡρακλεῖ τε τῷ προπάτορι σπείσας, καὶ ἄμμωνι, καὶ τοῖς ἄλλοις θεοῖς ὅσοις αὐτῷ νόμος, σημῆναι ἐς ἀναγωγὴν κελεύει τῇ σάλπιγγι, ἅμα τε δὴ ἐσημάνθη, καὶ ἀνήγοντο ἐν κόσμῳ. παρήγγελ-

τὸ γὰρ ἐφ' ὅσον τε τὰ σκευοφόρα πλοῖα ἐχρῆν τετάχθαι, καὶ ἐφ' ὅσον τὰ ἱππαγωγά, ἐφ' ὅσον τε τὰς μαχίμους τῶν νεῶν, ὡς μὴ συμπίπτειν ἀλλήλαις κατὰ τὸν πόρον εἰκῇ πλεούσας, καὶ ταῖς ταχυνούσαις φθάνειν οὐκ ἐφεῖτο ἔξω τῆς τάξεως. ἦν δὲ ὅ,τε κτύπος τῆς εἰρεσίας οὐδενὶ ἄλλῳ ἐοικώς, ἅτε ἀπὸ πολλῶν νεῶν ἐν ταὐτῷ ἐρεσσομένων, καὶ βοὴ ἀπό τε τῶν κελευστῶν ἐνδιδόντων τὰς ἀρχάς τε καὶ ἀναπαύλας τῇ εἰρεσίᾳ, καὶ τῶν ἐρετῶν ὁπότε ἀθρόοι ἐμπίπτοιεν τῷ ῥοθίῳ ἐπαλαλάξειαν, αἵ τε ὄχθαι ὑψηλότεραι τῶν νεῶν πολλαχῇ οὖσαι, ἐς στενόν τε τὴν βοὴν ξυναγαγοῦσαι, καὶ τῇ ξυναγωγῇ αὐτῇ ἐπὶ μέγα ηὐξημένην ἐς ἀλλήλας ἀντέπεμπον. καί που καὶ νάπαι ἑκατέρωθεν τοῦ ποταμοῦ τῇ τε ἐρημίᾳ καὶ τῇ ἀντιπέμψει τοῦ κτύπου, καὶ αὗται ξυνεπελάμβανον· οἵ τε ἵπποι διαφαινόμενοι διὰ τῶν ἱππαγωγῶν πλοίων, οὐ πρόσθεν ἵπποι ἐπὶ νεῶν ὀφθέντες ἐν τῇ ἰνδῶν γῇ. καὶ γὰρ καὶ τὸν διόνυσον ἐπ' ἰνδοὺς στόλον οὐκ ἐμέμνηντο γενέσθαι ναυτικόν, ἔκπλη-





ξιν παρεῖχον τοῖς θεωμένοις τῶν βαρβάρων. ὥς τε οἱ μὲν αὐτόθεν τῇ ἀναγωγῇ παραγενόμενοι, ἐπὶ πολὺ ἐφωμάρτουν. ἐς ὅσους δὲ τῶν ἤδη ἀλεξάνδρῳ προσκεχωρηκότων ἰνδῶν ἡ βοὴ τῶν ἐρετῶν, ἢ ὁ κτύπος τῆς εἰρεσίας ἀφίκετο. καὶ οὗτοι ἐπὶ τῇ ὄχθῃ κατέθεον, καὶ ξυνείποντο ἐπᾴδοντες βαρβαρικῶς. φιλῳδοὶ γὰρ εἴπερ τινὲς ἄλλοι ἰνδοί· καὶ φιλορχήμονες ἀπὸ διονύσου ἔτι, καὶ τῶν ἅμα διονύσῳ βακχευσάντων κατὰ τὴν ἰνδῶν γῆν. οὕτω δὴ πλέων τρίτῃ γε ἡμέρᾳ κατέσχεν, ἵνα πρὸς ἡφαιστίωνί τε καὶ κρατερῷ κατὰ τὸ αὐτὸ στρατοπεδεύειν ἐπὶ ταῖς ἀντιπέραν ὄχθαις παρήγγελτο. μείνας δὲ ἐνταῦθα ἡμέρας δύο, ὡς καὶ φίλιππος αὐτῷ ξὺν τῇ λοιπῇ στρατιᾷ ἀφίκετο. τοῦτον μὲν ἐπὶ τὸν ἀκεσίνην ποταμὸν ἐκπέμπει, ξὺν οἷς ἔχων ἧκε, τάξας παρὰ τοῦ ἀκεσίνου ποταμοῦ τὴν ὄχθην πορεύεσθαι. τοὺς δὲ ἀμφὶ κρατερόν τε καὶ ἡφαιστίωνα αὖθις ἐκπέμπει, παραγγείλας ὅπως χρὴ τὴν πορείαν ποιεῖσθαι. αὐτὸς δὲ ἔπλει κατὰ τὸν ὑδάσπην ποταμόν,

οὐδαμοῦ μείονα ἐν τῷ κατάπλῳ, εἴκοσι σταδίων τὸ εὖρος. προσορμιζόμενος δέ, ὅπῃ τύχοι ταῖς ὄχθαις τοὺς προσοικοῦντας τῷ ὑδάσπῃ ἰνδῶν, τοὺς μὲν ἐνδιδόντας σφᾶς, ὁμολογίαις κατελάμβανε. ἤδη δέ τινας καὶ ἐς ἀλκὴν χωρήσαντας, βίᾳ κατεστρέψατο. αὐτὸς δὲ ὡς ἐπὶ τὴν μαλλῶν τε καὶ ὀξυδρακῶν γῆν σπουδῇ ἔπλει, πλείστους τε καὶ μαχιμωτάτους τῶν ταύτῃ ἰνδῶν πυνθανόμενος. καὶ ὅτι ἐξηγγέλλοντο αὐτῷ παῖδας μὲν καὶ γυναῖκας ἀποτεθεῖσθαι εἰς τὰς ὀχυρωτάτας τῶν πόλεων, αὐτοὶ δὲ ἐγνωκέναι διὰ μάχης ἰέναι πρὸς αὐτόν· ἐφ' ὅτῳ δὴ καὶ σπουδῇ πλείονι ἐποιεῖτο τὸν πλοῦν, ὅπως μὴ καθεστηκόσιν αὐτοῖς. ἀλλὰ ἐν τῷ ἐνδεεῖ ἔτι τῆς παρασκευῆς καὶ τεταραγμένῳ προσφέρηται. ἔνθεν δὲ ὡρμήθη τὸ δεύτερον, καὶ πέμπτῃ ἡμέρᾳ ἀφίκετο ἐπὶ τὴν ξυμβολὴν τοῦ τε ὑδάσπου καὶ τοῦ ἀκεσίνου, ἵνα ξυμβάλλουσιν οἱ ποταμοὶ οὗτοι, στενώτατος εἷς ποταμὸς ἐκ τοῖν δυοῖν γίγνεται, καὶ τὸ ῥεῦμα αὐτῷ ὀξὺ ἐπὶ τῇ στενότητι, καὶ δῖναι ἄρτι ὑποστρέφον-

τος



τος τοῦ ῥοῦ· καὶ τὸ ὕδωρ κυμαίνεται, καὶ κοχλάζει ἐπὶ μέγα, ὡς καὶ πόρρω ἔτι ὄντων, ἐξακούεσθαι τὸν κτύπον τοῦ κύματος. καὶ ἦν μὲν προεξηγγελμένα ταῦτα ἀλεξάνδρῳ ἐκ τῶν ἐγχωρείων, καὶ ἀλεξάνδρου τῇ στρατιᾷ. ὅμως δὲ ἐπειδὴ ἐπέλαζον αὐτῷ ταῖς ξυμβολαῖς ὁ στρατός, ἐς τοσόνδε ὁ ἀπὸ τοῦ ῥοῦ κτύπος κατεῖχεν, ὥς τε ἐπέσχησαν τὰς εἰρεσίας οἱ ναῦται οὐκ ἐκ παραγγέλματος, ἀλλὰ τῶν τε κελευστῶν ὑπὸ θαύματος ἐκσιωπησάντων, καὶ αὐτοὶ μετέωροι πρὸς τὸν κτύπον γενόμενοι. ὡς δὲ οὐ πόρρω τῶν ξυμβολῶν ἦσαν, ἐνταῦθα δὴ οἱ κυβερνῆται παραγγέλλουσιν ὡς βιαιοτάτῃ εἰρεσίᾳ χρωμένους ἐξελαύνειν ἐκ τῶν στενῶν, τοῦ μὴ ἐμπιπτούσας τὰς ναῦς ἐς τὰς δίνας, ἀναστρέφεσθαι πρὸς αὐτῶν, ἀλλὰ κρατεῖν γὰρ τῇ εἰρεσίᾳ τῶν ἐπιστροφῶν τοῦ ὕδατος. τὰ μὲν δὴ στρογγύλα πλοῖα, ὅσα καὶ ἔτυχεν αὐτῶν περιστραφέντα πρὸς τοῦ ῥοῦ, οὐδέν τι παθόντα ἐν τῇ ἐπιστροφῇ, ὅτι μὴ ταράξαντα τοὺς ἐμπλέοντας, κατέστη ἐς εὐθὺ πρὸς αὐτοῦ τοῦ ῥοῦ ὀρθωθέντα. αἱ δὲ μακραὶ



νῆες

νῆες, οὐχ ὡσαύτως ἀπαθεῖς ἦλθον ἐν τῇ
ἐπιστροφῇ, οὔτε μετέωροι ὑπὲρ τοῦ ἐπικαχλά-
ζοντος κύματος ὡσαύτως οὖσαι, ὅσαι τε
δίκροτοι αὐτῶν τὰς κάτω κώπας οὐκ ἐπὶ
πολὺ ἔξω ἔχουσαι τοῦ ὕδατος· καὶ αἱ κῶ-
παι δὲ αὐτοῖς πλαγίοις ἐν ταῖς δίναις γε-
νομένοις, συνετρίβοντο ὅσον γε ἐγκατελή-
φθη ὑπὸ τοῦ ὕδατος, οὐ φθασάντων αὐ-
τὰς μετεωρίσαι. ὡς πολλὰς μὲν πονῆσαι
τῶν νεῶν, δύο δὲ περιπεσούσας ἀλλήλαις,
αὐτάς τε διαφθαρῆναι, καὶ τῶν ἐμπλεόν-
των ἐν αὐταῖς πολλούς. ὡς δὲ ἐς πλάτος
ἤδη ὁ ποταμὸς διέσχεν, ἐνταῦθα δὴ ὅ, τε
ῥοῦς οὐκέτι ὡσαύτως χαλεπὸς ἦν, καὶ αἱ
δῖναι οὐχ ὁμοίᾳ τῇ βίᾳ ἐπέστρεφον. προσορ-
μίσας οὖν τῇ ἐν δεξιᾷ ὄχθῃ ὁ ἀλέξανδρος
τὸν στρατὸν, ἵνα σκέπη τε ἦν τοῦ ῥοῦ καὶ
προσβολὴ ταῖς ναυσίν, καί τις καὶ ἄκρα
τοῦ ποταμοῦ, ἐπιτηδείως ἀνεῖχεν, ἐς τῶν
ναυαγίων τε τὴν ξυναγωγὴν, καὶ εἴ τινες
ἐξ αὐτῶν ζῶντες ἔτι ἐφέροντο, τούτους τε
διέσωσε· καὶ ἐπισκευάσας τὰς πεπονη-
κυίας τῶν νεῶν, νέαρχον μὲν καταπλεῖν κε-
λεύει,



λεύει, ἔς τ' ἂν ἀφίκηται ὑπὲρ τὰ ὅρια τοῦ μα-
λλῶν ἔθνους. αὐτὸς δὲ τῶν βαρβάρων τῶν οὐ
προσχωρούντων, καταδρομὴν τῆς χώρας
ποιησάμενος, καὶ κωλύσας ἐπικουρῆσαι
αὐτοὺς τοῖς μαλλοῖς, οὕτω δὴ αὖθις ξυνέμι-
ξε τῷ ναυτικῷ. καὶ ἐνταῦθα ἡφαιστίων τε
αὐτῷ καὶ κρατερὸς καὶ φίλιππος ξὺν τοῖς
ἀμφ' αὐτοὺς ὁμοῦ ἤδη ἦσαν. ὁ δὲ τοὺς μὲν ἐλέ-
φαντας, καὶ τὴν πολυπέρχοντος τάξιν,
καὶ τοὺς ἱπποτοξότας, καὶ φίλιππον, ξὺν
τῇ ἀμφ' αὐτὸν στρατιᾷ διαβιβάσας τὸν
ὑδάσπην ποταμὸν, κρατερῷ ἄγειν προσέ-
ταξε. νέαρχον δὲ ξὺν τῷ ναυτικῷ πέμπει,
τρισὶν ἡμέραις τὴν στρατιὰν κελεύσας φθά-
νειν ἐπὶ τὸν πλοῦν· τὸν δὲ ἄλλον στρατὸν
διχῶς διένειμε. καὶ ἡφαιστίωνα μὲν πέντε ἡ-
μέραις προϊέναι ἔταξεν, ὡς εἴ τινες τοὺς ξὺν
αὐτῷ τεταγμένους φεύγοντες, ἐς τὸ πρό-
σω κατὰ σπουδὴν ἴοιεν, τοῖς ἀμφὶ ἡφαιστίω-
να ἐμπίπτοντες ἁλίσκοιντο. πτολεμαῖον
δὲ τὸν λάγου, δοὺς καὶ τούτῳ τῆς στρα-
τιᾶς μέρος, τρισὶν ἡμέραις ὑπολειπόμε-
νον ἕπεσθαι ἐκέλευσεν, ὡς ὅσοι τὸ ἔμπαλιν

ὑποστρέφοιεν αὐτὸν φεύγοντες, οὗτοι δὲ
εἰς τοὺς ἀμφὶ τὸν πτολεμαῖον ἐμπίπτοιεν.
ἐπεὶ δὲ ἀφίκοντο ἐς τὰς ξυμβολὰς τοῦ
τε ἀκεσίνου καὶ τοῦ ὑδραώτου ποταμοῦ,
ἐνταῦθα δὲ τούς τε φθάνοντας ὑπομένειν
ἐκέλευσεν, ἔς τ' ἂν ἥκῃ αὐτὸς, καὶ τοὺς ἀμφὶ
κρατερὸν καὶ πτολεμαῖον αὐτῷ ξυμβα-
λεῖν. αὐτὸς δὲ ἀναλαβὼν τοὺς ὑπασπιστὰς
καὶ τοὺς τοξότας, καὶ τοὺς ἀγριᾶνας, καὶ τῶν
ἀσθετέρων καλουμένων τὴν πείθωνος τά-
ξιν, καὶ τοὺς ἱπποτοξότας τε πάντας, καὶ
τῶν ἱππέων τῶν ἑταίρων τοὺς ἡμίσεας, διὰ
γῆς ἀνύδρου ὡς ἐπὶ μαλλοὺς ᾔει, ἔθνος
ἰνδικὸν, ἰνδῶν τῶν αὐτονόμων. καὶ τῇ μὲν
πρώτῃ κατεστρατοπέδευσε πρὸς ὕδατι
οὐ πολλῷ, ὃ δὴ ἀπέχει τοῦ ἀκεσίνου ποτα-
μοῦ σταδίους εἰς ἑκατόν. δειπνοποιησάμε-
νος δὲ, καὶ ἀναπαύσας τὴν στρατιὰν οὐ πο-
λὺν χρόνον, παραγγέλλει ὅτι τις ἔχει ἄγγος,
ἐμπλῆσαι τοῦ ὕδατος. διελθὼν δὲ τῆς τε
ἡμέρας τὸ ἔτι ὑπολειπόμενον, καὶ τὴν νύ-
κτα ὅλην ἐς τετρακοσίους μάλιστα σταδί-
ους, ἅμα ἡμέρᾳ πρὸς πόλιν ἀφίκετο, ἐς ἣν
ξυμπε-



ξυμπεφεύγεσαν πολλοὶ τῶν μαλλῶν. οἱ δὲ
οὔ ποτ' ἂν οἰηθέντες διὰ τῆς ἀνύδρου ἐλ-
θεῖν ἐπὶ σφᾶς ἀλέξανδρον, ἔξω τε τῆς πό-
λεως οἱ πολλοὶ καὶ ἄνοπλοι ἦσαν, ἐφ' ὅτῳ
καὶ δῆλος ἐγένετο, ταύτην ἀγαγὼν ἀλέ-
ξανδρος, ἣν ὅτι αὐτῷ ἀγαγεῖν χαλεπὸν
ἦν. ἐπὶ τῷδε οὐδὲ τοῖς πολεμίοις ὅτι ἄξει πι-
στὸν ἐφαίνετο. τούτοις μὲν δὴ οὐ προσδοκή-
σασιν ἐπιπεσὼν, τοὺς μὲν πολλοὺς ἀπέ-
κτεινεν αὐτῶν, οὐδὲ εἰς ἀλκὴν οἷα δὴ ἀνό-
πλους τραπέντας· τῶν δὲ ἄλλων εἰς τὴν πό-
λιν κατειληθέντων, κύκλῳ περιστήσας περὶ
τὸ τεῖχος τοὺς ἱππέας, ὅτι μήπω ἡ φάλαγξ τῶν
πεζῶν ἠκολουθήκει αὐτῷ, ἀντὶ χάρακος
ἐχρήσατο τῇ ἵππῳ. ὡς δὲ τάχιστα οἱ πεζοὶ
ἀφίκοντο, περδίκκαν μὲν τήν τε αὐτοῦ ἱπ-
παρχίαν ἔχοντα, καὶ τὴν κλείτου, καὶ τοὺς
ἀγριᾶνας, πρὸς ἄλλην πόλιν ἐκπέμπει τῶν
μαλλῶν, οἱ ξυμπεφευγότες ἦσαν πολλοὶ
τῶν ταύτῃ μαλλῶν, φυλάσσειν τοὺς ἐν τῇ πό-
λει κελεύσας. ἔργον δὲ μὴ ἔχεσθαι, ἔς τ' ἂν
ἀφίκηται αὐτός. ὡς μὴ δὲ ἀπὸ ταύτης τῆς
πόλεως διαφυγόντας τινὰς αὐτῶν, ἀγγέλους
γενέσθαι

γενέσθαι τοῖς ἄλλοις Βαρβάροις, ὅτι προσάγει ἤδη Ἀλέξανδρος. αὐτὸς δὲ προσέβαλε τῷ τείχει· οἱ δὲ Βάρβαροι τὸ μὲν τεῖχος ἐκλείπουσιν, ὡς οὐκ ἂν διαφυλάξοντες αὐτὸ ἔτι πολλῶν ἐν τῇ καταλήψει τεθνηκότων· τῶν δὲ καὶ ἀπὸ τραυμάτων ἀπομάχων γεγενημένων, ἐς δὲ τὴν ἄκραν ξυμφυγόντες, χρόνον μέν τινα ἠμύνοντο ἐξ ὑπερδεξίου τε χωρίου, καὶ χαλεποῦ ἐς προσβολήν. προσκειμένων δὲ πάντοθεν εὐρώστως τῶν Μακεδόνων, καὶ αὐτοῦ Ἀλεξάνδρου ἄλλοτε ἄλλῃ ἐπιφαινομένου τῷ ἔργῳ, ἥ, τε ἄκρα κατὰ κράτος ἑάλω, καὶ οἱ ξυμφυγόντες ἐς αὐτὴν, πάντες ἀπέθανον· ἦσαν δὲ ἐς δισχιλίους. Περδίκκας δὲ ἐς τὴν πόλιν ἐφ᾽ ἥν τινα ἐστάλη ἀφικόμενος, τὴν μὲν πόλιν ἐρήμην καταλαμβάνει· μαθὼν δὲ, ὅτι οὐ πρὸ πολλοῦ πεφεύγασιν ἐξ αὐτῆς οἱ ἐνοικοῦντες, δρόμῳ ἤλαυνε κατὰ στίβον τῶν φευγόντων. οἱ δὲ ψιλοὶ ὡς τάχους εἶχον ποδῶν, αὐτῷ ἐφείποντο. καταλαβὼν δὲ τῶν φευγόντων κατέκοψεν, ὅσοι γε μὴ ἔφθασαν ἐς τὰ ἕλη

ξυμφυ



ξυμφυγόντες. Ἀλέξανδρος δὲ δειπνοποιησάμενός τε καὶ ἀναπαύσας τοὺς ἀμφ᾽ αὑτὸν, ἔς τε ἐπὶ πρώτην φυλακὴν, ᾔει τοῦ πρόσω. καὶ τὴν νύκτα διελθὼν πολλὴν ὁδὸν, ἅμα ἡμέρᾳ ἀφίκετο πρὸς τὸν Ὑδραώτην ποταμόν. ἔνθα δὴ τῶν Μαλλῶν τοὺς μὲν πολλοὺς διαβεβηκότας ἤδη ἔμαθε· τοῖς δὲ καὶ διαβαίνουσιν ἐπιγενόμενος περὶ αὐτὸν τὸν πόρον, πολλοὺς αὐτῶν διέφθειρε, καὶ αὐτὸς ὡς εἶχε ξυνδιαβὰς κατὰ τὸν αὐτὸν πόρον, διώκων εἴχετο τῶν φθασάντων ἐς τὴν ἀποχώρησιν. καὶ πολλοὺς μὲν ἀπέκτεινεν αὐτῶν, τοὺς δὲ καὶ ζῶντας ἔλαβεν. οἱ πλείους δὲ καταπέφυγον ἔς τι χωρίον ὀχυρὸν καὶ τετειχισμένον. Ἀλέξανδρος δὲ ὡς οἱ πεζοὶ ἀφίκοντο αὐτῷ, ἀποστέλλει ἐπὶ τούτους Πείθωνα, τήν τε αὐτοῦ τάξιν ἔχοντα, καὶ τῶν ἱππέων δύο ἱππαρχίας. καὶ οὗτοι δὴ ἐξ ἐφόδου προσβαλόντες, λαμβάνουσι τὸ χωρίον. καὶ τοὺς καταπεφευγότας ἐς αὐτὸ ἠνδραπόδισαν, ὅσοι γε μὴ ἐν τῇ προσβολῇ διεφθάρησαν. ταῦτα δὲ οἱ ἀμφὶ τὸν Πείθωνα διαπραξάμενοι, ἐπανῆλθον αὖθις ἐς τὸ στρατόπεδον. αὐτὸς δὲ Ἀλέξανδρος

ὡς

ὡς ἐπὶ τῶν Βραχμάνων τινὰ πόλιν ἦγεν, ὅτι καὶ ἐς ταύτην ξυμπεφευγέναι τινὰς τῶν μαλλῶν ἔμαθεν. ὡς δὲ ἀφίκετο πρὸς αὐτὴν, ἐπῆγε τῷ τείχει πάντοθεν πυκνὴν τὴν φάλαγγα· οἱ δὲ ὑπορυσσόμενα τὰ τείχη ἰδόντες, καὶ ἐκ τῶν βελῶν ἀναστελλόμενοι, τὰ μὲν τείχη καὶ οὗτοι ἐκλείπουσιν· ἐς δὲ τὴν ἄκραν ξυμφυγόντες, ἐκεῖθεν ἠμύνοντο· ξυνεισπεσόντων δὲ αὐτοῖς ὀλίγων μακεδόνων μεταβαλλόμενοι καὶ ξυστραφέντες, τοὺς μὲν ἐξέωσαν αὐτῶν· ἀπέκτειναν δὲ ἐν τῇ ὑποστροφῇ ἐς πέντε καὶ εἴκοσι. καὶ ἐν τούτῳ ἀλέξανδρος τάς τε κλίμακας πάντοθεν κελεύει προστιθέναι τῇ ἄκρᾳ, καὶ ὑπορύττειν τὸ τεῖχος. ὡς δὲ πύργος τε ἔπεσεν ὑπορυσσόμενος, καὶ τοῦ μεταπυργίου τι παραρραγὲν ἐπιμαχοτέραν ταύτῃ ἐποίησε τὴν ἄκραν. πρῶτος ἀλέξανδρος ἐπιβὰς τοῦ τείχους, ὤφθη ἔχων τὸ τεῖχος. καὶ τοῦτον ἰδόντες οἱ ἄλλοι μακεδόνες, αἰσχυνθέντες, ἄλλος ἄλλῃ ἀνίεσαν. εἴχετό τε ἤδη ἡ ἄκρα· καὶ τῶν ἰνδῶν οἱ μὲν τὰς οἰκίας ἐνεπίμπρασαν, καὶ ἐν αὐταῖς ἐγκαταλαμ-

βανόμενοι



βανόμενοι ἀπέθνησκον· οἱ πολλοὶ δὲ μαχόμενοι αὐτῶν. ἀπέθανον δὲ οἱ πάντες ἐς πεντακισχιλίους· ζῶντες δὲ διὰ ἀνδρείαν ὀλίγοι ἐλήφθησαν. μείνας δὲ αὐτοῦ μίαν ἡμέραν, καὶ ἀναπαύσας τὴν στρατιὰν, τῇ ὑστεραίᾳ προὐχώρει ὡς ἐπὶ τοὺς ἄλλους μαλλούς· καὶ τὰς μὲν πόλεις ἐκλελοιπότας καταλαμβάνει. αὐτοὺς δὲ ἔμαθεν, ὅτι πεφευγότες εἶεν ἐς τὴν ἔρημον· καὶ ἐνταῦθα μίαν ἡμέραν ἀναπαύσας τὴν στρατιὰν, ἐς τὴν ἐπιοῦσαν. πείθωνα μὲν καὶ δημήτριον τὸν ἱππάρχοντα πρὸς τὸν ποταμὸν ὀπίσω ἀπέπεμψεν, ὧν τε αὐτοὶ ἡγοῦντο ἄγοντας, καὶ πρὸς τούτοις ψιλῶν τάξεις δύο αὐτοῖς ὅσαι ἱκαναὶ πρὸς τὸ ἔργον. προσέταξε δὲ παρὰ τῇ ὄχθῃ τοῦ ποταμοῦ ἰόντας, εἴ τισι περιτυγχάνοιεν τῶν ἐς τὰς ὕλας ξυμπεφευγότων, αἳ δὴ πολλαὶ πρὸς τῇ ὄχθῃ τοῦ ποταμοῦ ἦσαν, τούτους κτείνειν ὅσοι μὴ ἐθέλοντας σφᾶς ἐνδιδοῖεν. καὶ πολλοὺς καταλαβόντες ἐν ταῖς ὕλαις οἱ ἀμφὶ πείθωνά τε καὶ δημήτριον ἀπέκτειναν. αὐτὸς δὲ ἦγεν ἐπὶ τὴν μεγίστην τῶν μαλλῶν πόλιν,

ἵνα

ἵνα καὶ ἐκ τῶν ἄλλων πόλεων πολλοὺς ξυμπεφευγέναι αὐτῷ ἐξηγγέλλετο· ἀλλὰ καὶ ταύτην ἐξέλιπον οἱ ἰνδοὶ, ὡς προσάγοντα ἀλέξανδρον ἔμαθον. διαβάλοντος δὲ τὸν ὑδραώτην ποταμὸν, ἐπὶ ταῖς ὄχθαις αὐτοῦ, ὅτι ὑψηλαὶ αἱ ὄχθαι ἦσαν, παρατεταγμένοι ἔμενον, ὡς εἴρξοντες τοῦ πόρου ἀλέξανδρον. καὶ ταῦτα ὡς ἤκουσεν, ἀναλαβὼν τὴν ἵππον τὴν ἅμα αὐτῷ πᾶσαν, ᾔει ὡς ἐπὶ τὸν ὑδραώτην, ἵνα περ παρατετάχθαι τοὺς μαλλοὺς ἐξηγγέλλετο. οἱ δὲ πεζοὶ ἐπιέσθαι αὐτῷ ἐτάχθησαν. ὡς δὲ ἀφίκετό τε ἐπ' αὐτὸν, καὶ ἐν τῷ πέραν τοὺς πολεμίους κατεῖδε τεταγμένους, ὡς εἶχεν ἐκ τῆς ὁδοῦ, ἐμβάλλει ἐς τὸν πόρον ξὺν τῇ ἵππῳ μόνῃ. οἱ δὲ ἰδόντες ἐν μέσῳ τοῦ ποταμοῦ ὄντα ἤδη ἀλέξανδρον, κατὰ σπουδὴν μὲν, ξυντεταγμένοι δὲ ὅμως, ἀπεχώρουν ἀπὸ τῆς ὄχθης· καὶ ἀλέξανδρος ξὺν μόνῃ τῇ ἵππῳ εἵπετο. ὡς δὲ κατεῖδον ἱππέας μόνους, ἐπιστρέψαντες οἱ ἰνδοὶ καρτερῶς ἐμάχοντο, πλῆθος ὄντες ἐς πέντε μυριάδας. καὶ ἀλέξανδρος ὡς τήν τε φάλαγγα αὐτῶν πυκ-

νὴν



νὴν κατεῖδε, καὶ αὐτῷ οἱ πεζοὶ ἀπῆσαν, προσβολὰς μὲν ἐποίει ἐς κύκλῳ παριππεύων· ἐς χεῖρας δὲ οὐκ ᾔει τοῖς ἰνδοῖς. καὶ ἐν τούτῳ παραγίνονται αὐτῷ οἵ τε ἀγριᾶνες, καὶ ἄλλαι τάξεις τῶν ψιλῶν, ἃς δὴ ἐπιλέκτους ἅμα οἷ ἦγε, καὶ οἱ τοξόται, οὐ πόρρω δὲ οὐδὲ ἡ φάλαγξ ἐφαίνετο τῶν πεζῶν. καὶ οἱ ἰνδοὶ ὁμοῦ σφίσι πάντων τῶν δεινῶν προσκειμένων, ἀποστρέψαντες ἤδη προτροπάδην ἔφευγον ἐς πόλιν ὀχυρωτάτην τῶν πλησίων. καὶ ἀλέξανδρος ἑπόμενός τε αὐτοῖς, πολλοὺς ἔκτεινε. καὶ ὡς ἐς τὴν πόλιν διαφυγόντες κατελήφθησαν, πρῶτα μὲν τοῖς ἱππεῦσιν ἐξ ἐφόδου ἐκυκλώσατο τὴν πόλιν. ὡς δὲ οἱ πεζοὶ αὐτῷ παρῆσαν, ταύτῃ μὲν τῇ ἡμέρᾳ περιστρατοπεδεύει ἐν κύκλῳ τοῦ τείχους, ὅτι οὐ πολύ τε τῆς ἡμέρας ὑπελείπετο ἐς τὴν προσβολήν. καὶ ἡ στρατιὰ αὐτῷ, ὑπό τε πορείας μακρᾶς οἱ πεζοὶ, καὶ ὑπὸ διώξεως συνεχοῦς οἱ ἵπποι, καὶ οὐχ ἥκιστα κατὰ τὸν πόρον τοῦ ποταμοῦ τεταλαιπωρήκεσαν. τῇ δὲ ὑστεραίᾳ διχῇ διελὼν τὸν στρατὸν, τοῦ

μὲν

μὲν ἑτέρου αὐτὸς ἡγούμενος, προσέβαλλε τῷ τείχει· τὸ δὲ ἕτερον περδίκκας προσῆγε. καὶ ἐν τούτῳ οὐ δεξάμενοι οἱ ἰνδοὶ τῶν μακεδόνων τὴν ὁρμὴν, τὰ μὲν τείχη τῆς πόλεως λείπουσιν, αὐτοὶ δὲ ἐς τὴν ἄκραν ξυνέφυγον. ἀλέξανδρος δὲ καὶ οἱ ἀμφ' αὐτὸν, πυλίδα τινὰ κατασχίσαντες, παρῆλθον εἰς τὴν πόλιν πολὺ πρὸ τῶν ἄλλων· οἱ δὲ ὁμοῦ περδίκκᾳ τεταγμένοι, ὑστέρησαν ὑπερβαίνοντες κατὰ τὰ τείχη, οὐκ εὐπετῶς. οὐδὲ τὰς κλίμακας οἱ πολλοὶ αὐτῶν φέροντες, ὅτι ἑαλωκέναι αὐτοῖς ἐδόκει ἡ πόλις, ἐρημούμενα τῶν προμαχομένων τὰ τείχη ὡς κατεῖδον. ὡς δὲ ἡ ἄκρα ἐχομένη πρὸς τῶν πολεμίων, καὶ πρὸ ταύτης τεταγμένοι εἰς τὸ ἀπομάχεσθαι πολλοὶ ἐφάνησαν, ἐνταῦθα δὴ οἱ μὲν ὑπορύσσοντες τὸ τεῖχος· οἱ δὲ προσθέσθαι ὅπῃ πάροικοι τῶν κλιμάκων βιάσασθαι ἐπειρῶντο εἰς τὴν ἄκραν. ἀλέξανδρος δὲ, ὡς βλακεύειν αὐτῷ οἱ μακεδόνες ἐδόκουν, οἱ φέροντες τὰς κλίμακας, ἁρπάσας κλίμακα ἑνὸς τῶν φερόντων, προσέθηκε τῷ τείχει αὐτὸς, καὶ εἰληθεὶς

ὑπὸ



ὑπὸ τῇ ἀσπίδι, ἀνέβαινε. ἐπὶ δὲ αὐτῷ πευκέστας, ὁ τὴν ἱερὰν ἀσπίδα φέρων, ἣν ἐκ τοῦ νεὼ τῆς ἀθηνᾶς τῆς ἰλιάδος λαβὼν, ἅμα οἷ εἶχεν ἀλέξανδρος, καὶ πρὸ αὐτοῦ ἐφέρετο ἐν ταῖς μάχαις. ἐπὶ δὲ τούτῳ, λεοννάτος ἀνῄει κατὰ τὴν αὐτὴν κλίμακα ὁ σωματοφύλαξ. κατὰ δὲ ἄλλην κλίμακα, ἀβρέας τῶν διμοιριτῶν τις στρατευομένων. ἤδη τε πρὸς τῇ ἐπάλξει τοῦ τείχους ὁ βασιλεὺς ἦν, καὶ ἐρείσας ἐπ' αὐτῇ τὴν ἀσπίδα, τοὺς μὲν ὤθει εἴσω τοῦ τείχους τῶν ἰνδῶν· τοὺς δὲ καὶ αὐτοῦ τῷ ξίφει ἀποκτείνας γεγυμνώκει τὸ ταύτῃ τεῖχος, καὶ οἱ ὑπασπισταὶ ὑπέρφοβοι γενόμενοι ὑπὲρ τοῦ βασιλέως, σπουδῇ ὠθούμενοι κατὰ τὴν αὐτὴν κλίμακα, συντρίβουσιν αὐτήν. ὥστε οἱ μὲν ἤδη ἀνιόντες αὐτῶν, κάτω ἔπεσον· τοῖς δὲ ἄλλοις ἄπορον ἐποίησαν τὴν ἄνοδον. ἀλέξανδρος δὲ ὡς ἐπὶ τοῦ τείχους στὰς, κύκλῳ τε ἀπὸ τῶν πλησίον πύργων ἐβάλλετο (οὐ γὰρ πελάσαι γε ἐτόλμα τις αὐτῷ τῶν ἰνδῶν, καὶ ὑπὸ τῶν ἐκ τῆς πόλεως, οὐδὲ πόῤῥω τούτων τε ἐσακοντιζόντων. ἔτυχε

D γὰρ

γαῖς τι καὶ προσκεχωσμένον ταύτῃ πρὸς τὸ τεῖχος) δῆλος μὲν ἦν ἀλέξανδρος τῶν τε ὅπλων τῇ λαμπρότητι, καὶ τῷ ἀτόπῳ τῆς τόλμης. ἔγνω διότι αὐτοῦ μὲν μένων κινδυνεύσει μηδὲν, ὅτι καὶ λόγου ἄξιον ἀποδεικνύμενος. καταπηδήσας δὲ εἴσω τοῦ τείχους, τυχὸν μὲν αὐτῷ τούτῳ ἐκπλήξει τοὺς ἰνδούς· εἰ δὲ μὴ κινδυνεύειν δέοι μεγάλα ἔργα, καὶ τοῖς ἔπειτα πυθέσθαι ἄξια ἐργασάμενος, οὐκ ἀπρεπῶς ἀποθανεῖται. ταῦτα γνοὺς, καταπηδᾷ ἀπὸ τοῦ τείχους ἐς τὴν ἄκραν. ἔνθα δὴ ἐρεισθεὶς πρὸς τῷ τείχει, τοὺς μέν τινας ἐς χεῖρας ἐλθόντας, καὶ τόν γε ἡγεμόνα τῶν ἰνδῶν προσφερόμενον οἱ θρασύτερον, παίσας τῷ ξίφει ἀποκτείνει· ἄλλον δὲ πελάζοντα, λίθῳ βαλὼν ἔσχε· καὶ ἄλλον, λίθῳ· τὸν δὲ ἐγγυτέρω προσάγοντα, τῷ ξίφει αὖθις. οἱ δὲ βάρβαροι πελάζειν μὲν αὐτῷ οὐκέτι ἤθελον· ἔβαλλον δὲ πάντοθεν περιεστηκότες, ὅ, τι τις ἔχων βέλος ἐτύγχανεν, ἢ ἐν τῷ τότε λαβὼν. ἐν τούτῳ τε πευκέστας τε καὶ ὁ διμοιρίτης ἀβρέας, καὶ ἐπὶ αὐτοῖς λεοννάτος, οἳ δὴ μό





νοι ἔτυχον πρὶν ξυντριβῆναι τὰς κλίμακας, ἀναβεβηκότες ἐπὶ τὸ τεῖχος, καταπηδήσαντες καὶ αὐτοὶ πρὸ τοῦ βασιλέως ἐμάχοντο. καὶ ἀβρέας μὲν ὁ διμοιρίτης πίπτει αὐτοῦ, τοξευθεὶς ἐς τὸ πρόσωπον. ἀλέξανδρος δὲ καὶ βάλλεται καὶ αὐτὸς διὰ τοῦ θώρακος ἐς τὸ στῆθος τοξεύματι ὑπὲρ τὸν μαστόν. ὥστε λέγει πτολεμαῖος, ὅτι καὶ πνεῦμα ὁμοῦ τῷ αἵματι ἐκ τοῦ τραύματος ἐξέπνει. ὁ δὲ, ἔστε μὲν ἔτι θερμὸν ἦν αὐτῷ τὸ αἷμα, καίπερ κακῶς ἔχων, ἠμύνετο. πολλοῦ δὲ δὴ τοῦ αἵματος, καὶ ἀθρόου, οἷα δὴ ξὺν πνεύματι ἐκρυέντος, ἴλιγγός τε αὐτὸν καὶ λειποψυχία κατέσχε, καὶ πίπτει αὐτοῦ ἐπὶ τὴν ἀσπίδα ξυννεύσας. πευκέστας δὲ περιβὰς πεπτωκότι, καὶ ὑπερσχὼν τὴν ἱερὰν τὴν ἐξ ἰλίου ἀσπίδα, πρὸ αὐτοῦ ἔσχε· καὶ λεοννάτος ἐς τὰ ἐπὶ θάτερα. οὗτοι δὲ βάλλονται ἀμφότεροι, καὶ ἀλέξανδρος ἐγγὺς ἦν ἤδη ὑπὸ τοῦ αἵματος ἐκλιπεῖν. τοῖς γὰρ μακεδόσι καὶ ταύτῃ ἐν ἀπόρῳ γεγένητο τὰ περὶ προσβολῆς, ὅτι οἱ τὸν ἀλέξανδρον βαλλόμενόν τε ἐπὶ τῷ τείχει ἰδόντες, καὶ πηδῶντα ἔσω ἐς τὴν ἄκραν, ὑπὸ

σπουδῆς τε καὶ φόβου μή τι αὐτοῖς ὁ βασι-
λεὺς πάθῃ οὐ ξὺν νόῳ κινδυνεύων, τὰς
κλίμακας συντετριφότες, ἄλλοι ἄλλας μη-
χανὰς ἐς τὸ ἀνελθεῖν ἐπὶ τὸ τεῖχος, ὡς ἐν
ἀπόροις ἐμηχανῶντο, οἱ μὲν πασσάλους ἐμ-
πηγνύοντες ἐς τὸ τεῖχος γήϊνον ὄν, καὶ κα-
τὰ τούτους ἐκκρεμαννύμενοι χαλεπῶς ἀ-
νεῖρπον. οἱ δὲ ἄλλοι, ἐπ' ἄλλους ἐπιβαίνον-
τες. ὁ δὲ πρῶτος ἀνελθὼν, ἐρρίπτει ἑαυ-
τὸν κατὰ τὸ τεῖχος ἐς τὴν πόλιν, ἵνα περ
τὸν βασιλέα ἑώρων κείμενον, ξὺν οἰμωγῇ
καὶ ἀλαλαγμῷ πάντες ἤδη τε ἀμφ' αὐ-
τῷ πεπτωκότι, καρτερὰ μάχη ξυνειστήκει,
ἄλλου ἐπ' ἄλλῳ τῶν μακεδόνων προασπίζον-
τος. καὶ ἐν τούτῳ οἱ μὲν τὸν μοχλὸν ὅτῳ
εἴχετο ἡ κατὰ τὸ μεταπύργιον πύλη κα-
τασχίσαντες, ἐπ' ὀλίγους παρήεσαν· οἱ δὲ
καθότι ἡ πύλη διέσχε, τοὺς ὤμους ὑποθέν-
τες, καὶ ὤσαντες ἐς τὸ ἔσω τὸ τεῖχος, ἀνε-
πέτασαν ταύτῃ τὴν ἄκραν. ἐν τούτῳ δὲ
οἱ μὲν ἔκτεινον τοὺς ἰνδοὺς, καὶ ἀπέκτειναν
γε πάντας, οὐδὲ γυναῖκα ἢ παῖδα ὑπελεί-
ποντο· οἱ δὲ ἐξέφερον τὸν βασιλέα ἐπὶ τῆς
ἀσπίδος



ἀσπίδος κακῶς ἔχοντα, οὔπω γιγνώσκον-
τες βιώσιμον ὄντα· τὸ δὲ βέλος ἐξελκύσαι
ἐκ τοῦ τραύματος ἐπιτεμόντα τὴν πλη-
γὴν, οἱ μὲν κριτόδημον ἀνέγραψαν ἰατρὸν
κῷον, τὸ γένος τῶν ἀσκληπιαδῶν· οἱ δὲ,
περδίκκαν τὸν σωματοφύλακα, οὐ παρόν-
τος ἐν τῷ δεινῷ ἰατροῦ, ἐγκελευσαμένου
ἀλεξάνδρου, τῷ ξίφει ἐπιτεμεῖν τὴν πλη-
γὴν, καὶ κομίσασθαι τὸ βέλος. ἐν δὲ τῇ κο-
μιδῇ, φορὰ αἵματος πολλοῦ γίγνεται, ὥς-
τε λειποψυχῆσαι αὖθις ἀλέξανδρον, καὶ
οὕτω σχεθῆναι αὐτῷ τὸ αἷμα ὑπὸ τῇ λειπο-
ψυχίᾳ. πολλὰ δὲ καὶ ἄλλα ἀναγέγραπται
τοῖς ξυγγραφεῦσιν, ὑπὲρ τοῦ παθήματος.
καὶ ἡ φήμη παραδεξαμένη αὐτὰ κατὰ τοὺς
πρώτους ψευσαμένους, ἔτι καὶ εἰς ἡμᾶς δια-
σώζει· οὐδὲ ἀφήσει, παραδιδοῦσα καὶ ἐφε-
ξῆς ἄλλοις τὰ ψεύδη, εἰ μὴ ὑπὸ τῆσδε τῆς
ξυγγραφῆς παύσεται. αὐτίκα ἐν ὀξυδρά-
καις τὸ πάθημα τοῦτο γενέσθαι ἀλεξάνδρῳ,
ὁ πᾶς λόγος κατέχει. τὸ δὲ, ἐν μαλλοῖς ἔθνει
αὐτονόμῳ ἰνδικῷ ξυνέβη. καὶ ἥ, τε πόλις
μαλλῶν ἦν· καὶ οἱ βαλόντες ἀλέξανδρον,

 μαλλοὶ,

μαλλοί, οἳ δὴ ἐγνώκεσαν μὲν ξυμμίξαντες τοῖς ὀξυδράκαις οὕτω διαγωνίζεσθαι. ἔφθη δὲ διὰ τῆς ἀνύδρου ἐπ' αὐτοὺς ἐλάσας, πρὶν τινὰ ὠφέλειαν αὐτοῖς παρὰ τῶν ὀξυδρακῶν γενέσθαι, ἢ αὐτοὺς ἐκείνοις τι ἐπωφελῆσαι. ἐπεὶ καὶ τὴν τελευταίαν μάχην τὴν πρὸς δαρεῖον γινομένην, καθ' ἥν τινα ἔφυγε δαρεῖος, οὐδὲ πρόσθεν ἔληξε τῆς φυγῆς, πρὶν ξυλληφθῆναι ὑπὸ τῶν ἀμφὶ βῆσσον. καὶ προσάγοντος ἤδη ἀλεξάνδρου ἀποθανεῖν, πρὸς ἀρβήλοις γενέσθαι, ὁ πᾶς λόγος κατέχει καθάπερ οὖν καὶ τὴν πρὸ ταύτης ἐν ἰσσῷ, καὶ τὴν πρώτην ἱππομαχίαν πρὸς γρανίκῳ, ἀλλὰ πρὸς γρανίκῳ μὲν ξυνέβη μάχη ἱππική, καὶ πρὸς ἰσσῷ ἡ αὖθις πρὸς δαρεῖον μάχη. ἀρβῆλα δὲ τοῦ χώρου, ἐν ᾧ τὴν ὑστάτην μάχην δαρεῖός τε καὶ ἀλέξανδρος ἐμαχέσαντο, οἱ μὲν τὰ πλεῖστα ξυγγράψαντες, λέγουσιν ὅτι ἑξακοσίους σταδίους ἀπέχει· οἱ δὲ τὰ ἐλάχιστα, ὅτι ἐς πεντακοσίους. ἀλλὰ ἐν γαυγαμήλοις γὰρ γενέσθαι τὴν μάχην πρὸς τῷ ποταμῷ βουμήλῳ, λέγει πτολεμαῖος, καὶ ἀριστόβου-

λος.



λος, πόλις δὲ οὐκ ἦν τὰ γαυγάμηλα, ἀλλὰ κώμη μεγάλη. οὐδὲ ὀνομαστὸς ὁ χῶρος, οὐδὲ εἰς ἀκοὴν ἡδὺ τὸ ὄνομα. ἔνθεν δέ μοι δοκεῖ πόλις οὖσα τὰ ἄρβηλα, ἀπηνέγκατο τὴν δόξαν τῆς μεγάλης μάχης. εἰ δὲ πρὸς ἀρβήλοις χρὴ οἴεσθαι γενέσθαι τὸ ἔργον ἐκεῖνο, εἰς τοσόνδε ἀρβήλων ἀπέχον· καὶ τὴν ἐν σαλαμῖνι γενομένην ναυμαχίαν, πρὸς ἰσθμῷ τῷ κορινθίων ἔξεστι λέγειν ὅτι ἐγένετο. καὶ τὴν ἐπ' ἀρτεμισίῳ τῆς εὐβοίας, πρὸς αἰγίνῃ ἢ σουνίῳ. καὶ μὴν ὑπὲρ τῶν ὑπερασπισάντων ἐν τῷ κινδύνῳ ἀλέξανδρον, πευκέσταν μὲν γενέσθαι ξύμπαντες ὁμολογοῦσιν, ὑπὲρ λεοννάτου δὲ οὐκέτι ξυμφέρονται, οὐδὲ ὑπὲρ ἀβρέου τοῦ διμοιρίτου. καὶ οἱ μὲν ξύλῳ πληγέντα κατὰ τοῦ κράνους ἀλέξανδρον, καὶ ἰλιγγιάσαντα πεσεῖν, αὖθις δὲ ἀναστάντα, βληθῆναι βέλει διὰ τοῦ θώρακος ἐς τὸ στῆθος. πτολεμαῖος δὲ ὁ λάγου, ταύτην μόνην τὴν πληγὴν πληγῆναι λέγει τὴν ἐς τὸ στῆθος. τὸ δὲ μέγιστον πλημμέλημα τῶν ξυγγραψάντων τὰ ἀμφὶ ἀλέ-



ἀλέ-

ἀλέξανδρου, ἐκεῖνο τίθεμαι ἔγω γε. πτολε-
μαῖον γὰρ τὸν λάγου ἔστιν οἳ ἀνέγραψαν, ξυ-
ναναβῆναί τε ἀλεξάνδρῳ κατὰ τὴν κλί-
μακα ὁμοῦ πευκέστᾳ, καὶ ὑπερασπίσαι κει-
μένου, καὶ ἐπὶ τῷδε σωτῆρα ἐπικληθῆναι
τὸν πτολεμαῖον. καί τοι αὐτὸς πτολεμαῖος
ἀναγέγραφεν, οὐδὲ παραγενέσθαι τούτῳ
τῷ ἔργῳ. ἀλλὰ στρατιᾶς γὰρ αὐτὸς ἡγούμε-
νος, ἄλλας μάχεσθαι μάχας καὶ πρὸς ἀλ-
λους βαρβάρους. ταῦτα μὲν δὴ ἐν ἐκβολῇ
τοῦ λόγου ἀναγεγράφθω μοι, ὡς μὴ ἀταλαί
πωρον γίγνεσθαι τοῖς ἔπειτα ἀνθρώποις,
τὴν ὑπὲρ τῶν τηλικούτων ἔργων τε καὶ
παθημάτων ἀφήγησιν. ἐν ᾧ δὲ ἀλέξαν-
δρος αὐτοῦ μένων τὸ τραῦμα ἐθεραπεύε-
το, ἦν τὸ στρατόπεδον, ἔνθεν περ ὡρμήθη
ἐπὶ τοὺς μαλλούς, ὁ μὲν πρῶτος λόγος ἧκεν
ὅτι τεθνηκὼς εἴη ἐκ τοῦ τραύματος. καὶ τὰ
μὲν πρῶτα οἰμωγὴ ἦν τῆς στρατιᾶς ξυμπά
σης, ἄλλου ἄλλῳ παραδιδόντος τὴν φή-
μην. παυσάμενοι δὲ τῆς οἰμωγῆς, ἄθυμοί
τε καὶ ἄποροι ἦσαν, ὅς τις μὲν ἐξηγούμενος
ἔσται τῆς στρατιᾶς. πολλοῖς γὰρ δὴ ἐν ἴσῳ
τὰ



τὰ τῆς ἀξιώσεως ἐδόκει πρός τε αὐτοῦ ἀλε
ξάνδρου, καὶ πρὸς μακεδόνων καθεστηκέ-
ναι. ὅπως δὲ ἀποσωθήσονται εἰς τὴν οἰκεί
αν, τοσούτων μὲν ἐθνῶν μαχίμων περιειρ-
γόντων σφᾶς ἐν κύκλῳ· τῶν μὲν οὔπω προσ
κεχωρηκότων, ἃ δὴ ὑπὲρ τῆς ἐλευθερίας
εἴκαζον ἀγωνιεῖσθαι καρτερῶς· τῶν δὲ ἀποστη
σομένων, ἀφαιρεθέντος αὐτοῖς τοῦ ἀλεξάν
δρου φόβου. ποταμῶν τε ἐν μέσῳ ἀδιαβά
των, τότε δὲ ἐδόκουν εἶναι, καὶ πάντα σφί
σιν ἄπορα, καὶ ἀμήχανα ἐρήμοις ἀλεξάν-
δρου ἐφαίνετο. ὡς δὲ ἧκε ποτὲ λόγος, ὅτι
ζῇ ἀλέξανδρος, τούτῳ μὲν μόγις ξυνεχώ-
ρησαν· εἰ δὲ καὶ βιώσιμός ἐστιν, οὔπω ἐπι-
στεύετο. ὡς δὲ καὶ γράμματα παρ' αὐτοῦ
ἧκεν, ὅτι ὅσον οὔπω κατελεύσεται ἐπὶ τὸ
στρατόπεδον, οὐδὲ ταῦτα τοῖς πολλοῖς ὑπὸ
τοῦ ἄγαν δέους πιστὰ ἐφαίνετο· ἀλλὰ πλάτ
τεσθαι γὰρ πρὸς τῶν ἀμφ' αὐτὸν σωματοφυ-
λάκων τε καὶ στρατηγῶν, εἴκαζεν. καὶ ταῦ
τα ἐννοήσας ἀλέξανδρος, μή τι νεωτερι-
σθείη ἐν τῇ στρατιᾷ, ὅτε πρῶτον ἠδυνήθη,
κομίζεται ἐπὶ τοῦ ποταμοῦ τοῦ ὑδραώτου
τὰς

τὰς ὄχθας, καὶ πλοίων κατὰ τὸν ποταμὸν (ἦν γὰρ τὸ στρατόπεδον ἐπὶ ταῖς ξυμβολαῖς τοῦ τε ὑδραώτου καὶ τοῦ ἀκεσίνου) ἵνα ἡφαιστίων τε ἐπὶ τῆς στρατιᾶς ἦν, καὶ νέαρχος τὸ ναυτικὸν αὐτῷ εἶχεν. ὡς δὲ ἐπέλαζεν ἡ ναῦς ἤδη τῷ στρατοπέδῳ τὸν βασιλέα φέρουσα, κελεύει δὴ ἀφελεῖν τὴν σκηνὴν ἀπὸ τῆς πρύμνης, ὡς καταφανὴς εἶναι πᾶσιν· οἱ δὲ ἔτι ἠπίστουν, ὡς νεκροῦ δῆθεν κομιζομένου ἀλεξάνδρου, πρίν γε δὴ προσχούσης τῆς νεὼς τῇ ὄχθῃ, ὁ μὲν τὴν χεῖρα ἀνέτεινεν ἐς τὸ πλῆθος· οἱ δὲ ἀνεβόησαν ἐς τὸν οὐρανὸν, ἀνασχόντες τὰς χεῖρας· οἱ δὲ πρὸς αὐτὸν ἀλέξανδρον. πολλοῖς δὲ καὶ δάκρυα ἐπὶ τῷ ἀνελπίστῳ προεχύθη ἀκούσια. καὶ οἱ μὲν τῶν ὑπασπιστῶν κλίνην προσέφερον αὐτῷ, ἐκκομιζομένῳ ἐκ τῆς νεώς· ὁ δὲ, τὸν ἵππον προσαγαγεῖν ἐκέλευσεν. ὡς δὲ ἐπιβὰς τοῦ ἵππου ὤφθη, αὖθις κρότῳ δὴ πολλῷ ἐπεκτύπησεν ἡ στρατιὰ πᾶσα. ἐπήχησαν δὲ αἵ τε ὄχθαι, καὶ αἱ πλησίον αὐτῶν νάπαι. προσάγων δὲ ἤδη τῇ σκηνῇ, καταβαίνει ἀπὸ τοῦ ἵππου, ὡς τε καὶ βαδί-



ζων ὀφθῆναι. οἱ δὲ ἐπέλαζον, ἄλλοθεν ἄλλος· οἱ μὲν χειρῶν, οἱ δὲ γονάτων, οἱ δὲ τῆς ἐσθῆτος αὐτῆς ἁπτόμενοι· οἱ δὲ καὶ ἰδεῖν ἐγγύθεν, καί τι καὶ ἐπευφημίσαντες ἀπελθεῖν· οἱ δὲ ταινίαις ἔβαλλον, οἱ δὲ ἄνθεσιν, ὅσα ἐν τῷ τότε ἡ ἰνδῶν χώρα παρεῖχε. νέαρχος δὲ λέγει, ὅτι χαλεποὶ αὐτῷ τῶν φίλων ἐγένοντο, ὅσοι ἐκάκιζον, ὅτι αὐτὸς πρὸ τῆς στρατιᾶς κινδυνεύοι· οὐ γὰρ στρατηγοῦ ταῦτα, ἀλλὰ στρατιώτου εἶναι. καί μοι δοκεῖ ἄχθεσθαι ἀλέξανδρος τοῖσδε τοῖς λόγοις, ὅτι ἀληθεῖς τε ὄντας ἐγίνωσκε, καὶ αὑτὸν ὑπαίτιον τῇ ἐπιτιμήσει· καὶ ὅμως ὑπὸ μένους τε τοῦ ἐν ταῖς μάχαις, καὶ τοῦ ἔρωτος τῆς δόξης, καθάπερ οἱ ἄλλης τινὸς ἡσσώμενοι, οὐ καρτερὸς ἦν ἀπέχεσθαι τῶν κινδύνων. ἄνθρωπον δέ τινα πρεσβύτερον λέγει βοιώτιον, τὸ δὲ ὄνομα τοῦ ἀνθρώπου οὐ λέγει, ὡς ἀχθόμενόν τε πρὸς τὰς ἐπιτιμήσεις τῶν φίλων κατέμαθεν ἀλέξανδρον, καὶ σκυθρωπακότα, προσελθόντα τοῦτον βοιωτιάζοντα ἅμα τῇ φωνῇ, ταῦτα φάναι· ὦ ἀλέξανδρε, ἀνδρῶν τὰ ἔργα, καί τι καὶ ἰαμβεῖον ὑπειπεῖν, τὸ δὲ νοῦν εἶναι

τοῦ

τοῦ ἰαμβέου, ὅτι περί τι δρῶντι, καὶ παθεῖν δίκην ὀφειλόμενον· καὶ αὐτὸν ἔν τε τῷ παραυτίκα εὐδοκιμῆσαι, καὶ ἐπιτηδειότερον ἐς τὸ ἔπειτα ἀλεξάνδρῳ γενέσθαι. ἐν τούτῳ δὲ ἀφίκοντο παρὰ ἀλεξάνδρου τῶν μαλλῶν τῶν ὑπολειπομένων πρέσβεις, ἐνδιδόντες τὸ ἔθνος· καὶ παρὰ ὀξυδρακῶν οἵ τε ἡγεμόνες τῶν πόλεων, καὶ οἱ νομάρχαι αὐτοί, καὶ ἄλλοι ἅμα τούτοις, ἑκατὸν καὶ πεντήκοντα οἱ γνωριμώτατοι αὐτοκράτορες, περὶ σπονδῶν δῶρά τε ὅσα μέγιστα παρ' ἰνδοῖς κομίζοντες, καὶ τὸ ἔθνος καὶ οὗτοι ἐνδιδόντες. συγγνωστὰ δὲ ἁμαρτεῖν ἔφασαν, οὐ πάλαι παρ' αὐτὸν πρεσβευσάμενοι. ἐπιθυμεῖν γὰρ, ὥσπερ τινὲς ἄλλοι, ἔτι μᾶλλον αὐτοὶ ἐλευθερίας τε καὶ αὐτόνομοι εἶναι. ἥν τινα ἐλευθερίαν ἐξ ὅτου διόνυσος ἐς ἰνδοὺς ἧκε, σώαν σφίσιν εἶναι ἐς ἀλέξανδρον. εἰ δὲ καὶ ἀλεξάνδρῳ δοκοῦν εἶναι, ὅτι καὶ ἀλέξανδρον ἀπὸ θεῶν γενέσθαι λόγος κατέχει, σατράπην τε ἀναδέξασθαι, ὅν τινα τάττοι ἀλέξανδρος, καὶ φόρους ἀποίσειν τοὺς ἀλεξάνδρῳ δόξαντας· διδόναι δὲ

καὶ



καὶ ὁμήρους ἐθέλειν, ὅσους ἂν αἰτῇ ἀλέξανδρος. ὁ δὲ χιλίους ᾔτησε, τοὺς κρατιστεύοντας τοῦ ἔθνους· οὓς εἰ μὲν βούλοιτο, ἀντὶ ὁμήρων καθέξειν· εἰ δὲ μὴ, ξυστρατεύοντας ἕξειν, ἔς τ' ἂν διαπολεμηθῇ αὐτῷ πρὸς τοὺς ἄλλους ἰνδούς. οἱ δὲ, τούς τε χιλίους ἔπεμψαν, τοὺς κρατίστους καὶ μεγίστους σφῶν ἐπιλεξάμενοι, καὶ ἅρματα πεντακόσια, οὐκ αἰτηθέντα, καὶ τοὺς ἀμβάτας τῶν ἁρμάτων. ἀλέξανδρος δὲ σατράπην μὲν τούτοις τε καὶ τῶν μαλλῶν, τοῖς ἔτι σωζομένοις, ἐπέταξε φίλιππον· τοὺς ὁμήρους δὲ αὐτοῖς ἀφῆκε, τὰ δὲ ἅρματα ἔλαβε. ὡς δὲ ταῦτα αὐτῷ κεκόσμητο, καὶ πλοῖα ἐν τῇ διατριβῇ τῇ τοῦ τραύματος, πολλὰ προσεναυπηγήθη, ἀναβιβάσας ἐς τὰς ναῦς τῶν μὲν ἑταίρων, ἱππέας ἑπτακοσίους καὶ χιλίους, τῶν ψιλῶν δὲ ὅσους περ καὶ πρότερον, πεζοὺς δὲ ἐς μυρίους· ὀλίγον μέν τοι κατὰ ὑδραώτην ποταμὸν κατέπλευσεν. ὡς δὲ συνέμιξεν ὁ ὑδραώτης τῷ ἀκεσίνῃ, ὅτι ὁ ἀκεσίνης κρατεῖ τοῦ ὑδραώτου ἐν τῇ ἐπωνυμίᾳ, κατὰ τὸν ἀκεσίνην αὖ ἔπλει, ἔς τε

ἐπὶ

ἐπὶ τὴν ξυμβολὴν τοῦ ἀκεσίνου καὶ τοῦ ἰν-
δοῦ ἧκε. τέσσαρες γὰρ οὗτοι μεγάλοι ποτα
μοὶ, καὶ ναυσίποροι, οἱ τέσσαρες εἰς τὸν ἰν-
δὸν ποταμὸν τὸ ὕδωρ ξυμβάλλουσιν, οὐ
ξὺν τῇ σφετέρᾳ ἕκαστος ἐπωνυμίᾳ, ἀλλὰ ὁ
ὑδάσπης μὲν ἐς τὸν ἀκεσίνην ἐμβάλλει· ἐμ
βαλὼν δὲ τὸ πᾶν ὕδωρ, ἀκεσίνην παρέ-
χεται καλούμενον. αὖθις δὲ ὁ ἀκεσίνης οὗ-
τος ξυμβάλλει τῷ ὑδραώτῃ, καὶ παρα-
λαβὼν τοῦτον, ἔτι ἀκεσίνης ἐστί· καὶ τὸν ὕφα
σιν ἐπὶ τούτῳ ὁ ἀκεσίνης παραλαβὼν, τῷ
αὑτοῦ δὴ ὀνόματι ἐς τὸν ἰνδὸν ἐμβάλλει·
ξυμβαλὼν δὲ, ξυγχωρεῖ δὴ τῷ ἰνδῷ. ἐν-
θεν δὴ ὁ ἰνδὸς πρὶν ἐς τὸ δέλτα σχισθῆ-
ναι, οὐκ ἄπιστα, ὅτι καὶ ἐς ἑκατὸν σταδίους
ἔρχεται. καὶ ὑπὲρ τοὺς ἑκατὸν τυχὸν, ἵνα πε
ριλιμνάζει μᾶλλον, ἐνταῦθα ἐπὶ ταῖς ξυμ-
βολαῖς τοῦ ἀκεσίνου καὶ τοῦ ἰνδοῦ προσέμε
νεν, ἔς τε ἀφίκετο αὐτῷ ξὺν τῇ στρατιᾷ περ
δίκκας, καταστρεψάμενος ἐν παρόδῳ τὸ
ἀβαστανῶν ἔθνος αὐτόνομον. ἐν τούτῳ δὲ,
ἄλλαι τε προσγίγνονται ἀλεξάνδρῳ τρια
κόντοροι, καὶ πλοῖα στρογγύλα ἄλλα, ἃ δὴ
ἐν



ἐν ξάθροις ἐναυπηγήθη αὐτῷ, καὶ ἄλλο
ἔθνος ἰνδῶν αὐτόνομον προσεχώρησαν. καὶ
παρὰ ὀσαδίων, καὶ τούτου γένους αὐτονό-
μου ἰνδικοῦ, πρέσβεις ἧκον, ἐνδιδόντες καὶ
οὗτοι τοὺς ὀσαδίους. Φιλίππῳ μὲν δὴ
τῆς σατραπείας ὅρους ἔταξε, τὰς συμβο-
λὰς τοῦ τε ἀκεσίνου καὶ ἰνδοῦ. καὶ ἀπολεί
πει ξὺν αὐτῷ τούς τε θρᾷκας πάντας,
καὶ ἐκ τῶν τάξεων ὅσοι ἐς φυλακὴν τῆς
χώρας ἱκανοὶ ἐφαίνοντο. πόλιν τε ἐνταῦ-
θα κτίσαι ἐκέλευσε, ἐπ' αὐτῇ ξυμβολῇ
τοῖν ποταμοῖν, ἐλπίσας μεγάλην τε ἔσε-
σθαι, καὶ ἐπιφανῆ ἐς ἀνθρώπους, καὶ νεωσοί
κους ποιηθῆναι. ἐν τούτῳ δὲ καὶ ὀξυάρτης
ὁ βάκτριος, ὁ ῥωξάνης τῆς γυναικὸς ἀλε-
ξάνδρου πατὴρ, ἧκε παρ' ἀλέξανδρον, καὶ
προστίθησιν αὐτῷ παραπαμισαδῶν σατρα
πεύειν, ἀπαλλάξας τυριέσπην τὸν πρόσθεν
σατραπεύοντα, ὅτι οὐκ ἐν κόσμῳ ἐξηγεῖσθαι αὐ
τοῦ ὁ τυριέσπης ἐξηγγέλθη. ἔνθα δὴ διαβιβά
σας κρατερόν τε καὶ τῆς στρατιᾶς τὴν πολλὴν,
καὶ τοὺς ἐλέφαντας ἐν ἀριστερᾷ τοῦ ἰνδοῦ ποτα
μοῦ, ὅτι εὐπορώτερά τε ταύτῃ τὰ παρὰ τὸν πο
ταμὸν

ταμὸν στρατιᾷ βαρέως ἐφαίνετο, καὶ τὰ ἔθνη τὰ προσοικοῦντα οὐ πάντῃ φιλία ἦν, αὐτὸς κατέπλει ἐπὶ τῶν σόγδων τὸ βασίλειον. καὶ ἐνταῦθα πόλιν τε ἐτείχιζεν ἄλλην, καὶ νεωσοίκους ἐποίει ἄλλους· καὶ τὰ πλοῖα αὐτῷ τὰ πεπονηκότα ἐπεσκευάσθη. τῆς δὲ ἀπὸ τῶν ξυμβολῶν τοῦ τε ἰνδοῦ καὶ ἀκεσίνου χώραν, ἔς τε ἐπὶ θάλασσαν, σατράπην ἐπέδειξεν ὀξυάρτην καὶ πείθωνα, ξὺν τῇ παραλίᾳ πάσῃ τῆς ἰνδῶν γῆς. καὶ κρατερὸν μὲν ἐκπέμπει αὖθις ξὺν τῇ στρατιᾷ, διὰ τῆς ἀραχωτῶν καὶ δραγγῶν γῆς. αὐτὸς δὲ κατέπλει ἐπὶ τὴν μουσικανοῦ ἐπικράτειαν, ἥν τινα εὐδαιμονεστάτην τῆς ἰνδῶν γῆς εἶναι ἐξηγγέλλετο, ὅτι οὔπω ἀπηντήκει αὐτῷ μουσικανὸς, ἐνδιδοὺς αὐτόν τε καὶ τὴν χώραν, οὔτε πρέσβεις ὑπὲρ φιλίας ἐκπέμπει, οὐδέ τι οὔτε αὐτὸς ἐπεπόμφει, ἃ δὴ μεγάλῳ βασιλεῖ εἰκὸς, οὔτε τι ᾐτήκει ἐξ ἀλεξάνδρου. καὶ γίγνεται αὐτῷ ὁ πλοῦς κατὰ τὸν ποταμὸν, ἐν τοσῷδε ἐνσπουδασμένος. ὥστε ἔφθη ἐπὶ τοῖς ὁρίοις γενέσθαι τῆς μουσικανοῦ χώρας, πρὶν πυθέσθαι μουσικανὸν,

ὅτι



ὅτι ὥρμηται ὡς ἐπ' αὐτὸν ἀλέξανδρος. οὕτω δὴ ἐκπλαγεὶς, κατὰ τάχος ἀπήντα ἀλεξάνδρῳ, δῶρά τε τὰ πλείστου ἄξια παρ' ἰνδοῖς κομίζων, καὶ τοὺς ἐλέφαντας ξύμπαντας ἄγων, καὶ τὸ ἔθνος τε καὶ αὐτὸν ἐνδιδοὺς, καὶ ὁμολογῶν ἀδικεῖν, ὅπερ μέγιστον παρ' ἀλεξάνδρῳ ἦν ἐπὶ τὸ τυχεῖν, ὧν τις δέοιτο. καὶ οὖν καὶ μουσικανῷ ἐπὶ τοῖσδε ἄδεια ἐδόθη ἐξ ἀλεξάνδρου, καὶ τὴν πόλιν ἐθαύμασεν ἀλέξανδρος, καὶ τὴν χώραν· καὶ ἄρχειν αὐτῆς μουσικανῷ ἔδωκε. κρατερὸς δὲ ἐν τῇ πόλει ἐτάχθη τὴν ἄκραν ἐκτειχίσαι· καὶ παρόντος ἔτι ἐτειχίσθη ἀλεξάνδρου. καὶ φυλακὴ κατεστάθη, ὅτι ἐπιτήδειον αὐτῷ ἐφάνη τὸ χωρίον, ἐς τὸ κατέχεσθαι τὰ κύκλῳ ἔθνη φυλαττόμενα. ἔνθεν δὲ ἀναλαβὼν τούς τε τοξότας, καὶ τοὺς ἀγριᾶνας, καὶ τὴν ἵππον τὴν ἅμα οἱ πλέουσαν, ἐξελαύνει ἐπὶ τὸν νομάρχην τῆς ταύτης γῆς. ὄνομα δὲ ἦν ὀξυκανὸς, ὅτι μήτε αὐτὸς ἀφῖκτο, μήτε πρέσβεις παρ' αὐτοῦ ἧκον, ἐνδιδόντες αὐτόν τε καὶ τὴν χώραν. δύο μὲν δὴ πόλεις τὰς μεγίστας τῶν ὑπὸ τῷ ὀξυκανῷ,

 ἐξ

τῆς ἐφόδου κατὰ κράτος ἔλαβεν. ἐν δὲ τῇ
ἑτέρᾳ τούτων, καὶ αὐτὸς ὀξυκανὸς ἑάλω. ὁ
δὲ τὴν μὲν λείαν τῇ στρατιᾷ δίδωσι, τοὺς
ἐλέφαντας δὲ ἅμα οἷ ἦγε. καὶ ἄλλαι δὲ πό-
λεις αὐτῷ αἱ ἐν τῇ αὐτῇ χώρᾳ ἐνεδίδοντο
ἐπιόντι, οὐδέ τις ἐτρέπετο ἐς ἀλκήν. οὕ-
τω καὶ ἰνδοὶ πάντες ἐδεδούλωντο ἤδη τῇ
γνώμῃ πρὸς ἀλέξανδρόν τε καὶ τὴν ἀλεξάν
δρου τύχην. ὁ δὲ, ἐπὶ σάμβον αὖ ἦγε, τῶν
ὀρείων ἰνδῶν σατράπην ὑπ' αὐτοῦ κατασταθέντα,
θέντα, ὃς πεφευγέναι αὐτῷ ἐξηγγέλλετο,
ὅτι μουσικανὸν ἀφειμένον πρὸς ἀλεξάνδρου
ἐπύθετο, καὶ τῆς χώρας τῆς ἑαυτοῦ ἄρχον-
τα. τὰ γὰρ πρὸς μουσικανὸν αὐτῷ πολέμια
ἦν. ὡς δὲ ἐπέλαζεν ἤδη τῇ πόλει ἀλέξαν-
δρος, ἥν τινα μητρόπολιν εἶχεν ἡ τοῦ σάμ-
βου χώρα, ὄνομα ἦν τῇ πόλει σινδόμανα, αἵ
τε πύλαι αὐτῷ ἀνοίγονται προσάγοντι,
καὶ οἱ οἰκεῖοι τοῦ σάμβου τά τε χρήματα
ἀπηριθμήθη, καὶ τοὺς ἐλέφαντας μετὰ
σφῶν ἄγοντες ἀπήντων. οὐ γὰρ δὴ ἀλεξάν
δρῳ γε πολεμίως ἔχοντα σάμβον φυγεῖν,
ἀλλὰ μουσικανοῦ τὴν ἄφεσιν δείσαντα. ὁ
δὲ



δὲ καὶ ἄλλην πόλιν ἐν τούτῳ ἀποστᾶσαν
εἷλε, καὶ τῶν βραχμάνων (οἳ δὴ σοφισταὶ τοῖς
ἰνδοῖς εἰσὶν) ὅσοι αἴτιοι τῆς ἀποστάσεως ἐγέ-
νοντο, ἀπέκτεινεν. ὑπὲρ ὧν ἐγὼ τῆς σοφί-
ας, εἰ δή τις ἐστὶν, ἐν τῇ ἰνδικῇ ξυγγραφῇ δη-
λώσω. καὶ ἐν τούτῳ, μουσικανὸς αὐτῷ ἀφε-
στάναι ἐξήγγελτο· καὶ ἐπὶ τοῦτον μὲν ἐκπέμ-
πει πείθωνα τὸν ἀγήνορος σατράπην,
ξὺν στρατιᾷ ἀποχρώσῃ. αὐτὸς δὲ τὰς πόλεις
τὰς ὑπὸ μουσικανῷ τεταγμένας ἐπελθὼν,
τὰς μὲν ἐξανδραποδίσας αὐτῶν, κατέσκα-
ψεν. ἐς ἃς δὲ φρουρὰς εἰσήγαγε, καὶ ἄκρας
ἐξετείχισε. ταῦτα δὲ διαπραξάμενος, ἐπὶ
τὸ στρατόπεδόν τε ἐπανῆκε, καὶ τὸν στόλον.
ἔνθα δὴ μουσικανός τε ξυλληφθεὶς, ἄγεται
πρὸς πείθωνος. καὶ τοῦτον κρεμάσαι ἀλέξαν
δρος κελεύει ἐν τῇ αὐτοῦ γῇ, καὶ τῶν βραχ-
μάνων ὅσοι αἴτιοι τῆς ἀποστάσεως τῷ μουσι
κανῷ κατέστησαν. ἀφίκετο δὲ αὐτῷ, καὶ ὁ
τῶν παττάλων τῆς χώρας ἄρχων (ὃ δὴ τὸ δέλ
τα ἔφην εἶναι τὸ πρὸς τοῦ ποταμοῦ τοῦ ἰνδοῦ
ποιούμενον, μεῖζον ἔτι τοῦ δέλτα τοῦ αἰγυ
πτίου) καὶ οὗτος τήν τε χώραν αὐτοῦ ἐνεδί-

 δου

τὴν πᾶσαν, καὶ αὐτόν τε καὶ τὰ αὐτοῦ ἐπέτρεψε. τοῦτον μὲν δὴ ἐπὶ τῇ αὐτοῦ ἀρχῇ ἐκπέμπει αὖθις, παραγγείλας παρασκευάζειν ὅσα ἐς ὑποδοχὴν τῇ στρατιᾷ. αὐτὸς δὲ κρατερὸν μὲν, τήν τε ἀττάλου τάξιν ἄγοντα, καὶ τὴν μελεάγρου, καὶ ἀντιγένους, καὶ τῶν τοξοτῶν ἔστιν οὓς, καὶ τῶν ἑταίρων τε καὶ ἄλλων μακεδόνων, ὅσους μακεδονίαν ἀπομάχους ὄντας, ἤδη ἔστελλε, καὶ τὴν ἐπαραχωτῶν, καὶ ζαραγγῶν, ἔπεμπεν ἐς καρμανίαν, καὶ τοὺς ἐλέφαντας τούτῳ ἄγειν ἔδωκε· τὴν δὲ ἄλλην στρατιὰν, ὅση γε μὴ ξὺν αὐτῷ κατέπλει ὡς ἐπὶ θάλασσαν, ἡφαιστίων ἐπετάχθη. πείθωνα δὲ τούς τε ἱππακοντιστὰς ἄγοντα, καὶ τοὺς ἀγριάνας, ἐς τὴν ἐπέκεινα ὄχθην τοῦ ἰνδοῦ διαβιβάσας, οὐχ ᾗ περ ἡφαιστίων τὴν στρατιὰν ἄγειν ἔμελλε, τάς τε ἐκτετειχισμένας ἤδη πόλεις ξυνοικίσαι ἐκέλευσε. καὶ εἰ δή τινα νεωτερίζοιτο πρὸς τῶν ταύτῃ ἰνδῶν, καὶ ταῦτα ἐς κόσμον καταστήσαντα, ξυμβάλλειν οἱ ἐς τὰ πάτταλα. ἤδη δὲ τρίτην ἡμέραν αὐτῷ τοῦ πλοῦ ἔχοντι, ἐξαγγέλλεται ὅτι τῶν παττάλων

τάλων



τάλων ὕπαρχον ξυλλαβὼν τῶν παταλέων τοὺς πολλοὺς, ἀποδεδρακὼς οἴχοιτο, ἀπολιπὼν τὴν χώραν ἔρημον. καὶ ἐπὶ τούτῳ πλείονι ἢ πρόσθεν σπουδῇ κατέπλει ἀλέξανδρος. ὡς δὲ ἀφίκετο ἐς τὰ πάτταλα, τήν τε πόλιν καὶ τὴν χώραν ἔρημον καταλαμβάνει τῶν ἐνοικούντων τε, καὶ ἐπεργαζομένων. ὁ δὲ, κατὰ δίωξιν τῶν φευγόντων ἐκπέμψας τῆς στρατιᾶς τοὺς κουφοτάτους, ἐπεί τινες αὐτῶν ξυνελήφθησαν, ἀποπέμπει τούτους παρὰ τοὺς ἄλλους, ἐντειλάμενος ἐπανιέναι θαρροῦντας. εἶναι γὰρ αὐτοῖς τήν τε πόλιν οἰκεῖν ὡς πρόσθεν, καὶ τὴν χώραν ἐργάζεσθαι. καὶ ἐπανῆλθον οἱ πολλοὶ αὐτῶν. αὐτὸς δὲ ἡφαιστίωνι προστάξας, τειχίζειν ἐν τοῖς παττάλοις ἄκραν, ἀποπέμπει ἐς τὴν ἄνυδρον τῆς πλησίον γῆς, φρέατά τε ὀρύξοντας, καὶ οἰκήσιμον τὴν χώραν κατασκευάσοντας· καὶ τούτοις ἐπέθεντο τῶν προσχώρων τινὲς βαρβάρων. καὶ ἔστι μὲν οὓς διέφθειραν αὐτῶν ἄφνω προσπεσόντες. πολλοὺς δὲ καὶ σφῶν ἀποβαλόντες, ἔφυγον ἐς τὴν ἔρημον, ὥστε ἐπιτελεσθῆναι τοῖς ἐκ

 πεμ-

ἐκπεμφθεῖσι τὰ ἔργα, προσγενομένης αὐτῆς καὶ ἄλλης στρατιᾶς, ἣν ἀλέξανδρος πυθόμενος τῶν βαρβάρων τὴν ἐπίθεσιν, ἐστάλκει μεθέξοντας τοῦ ἔργου. πρὸς δὲ τοῖς πατάλοις σχίζεται τοῦ ἰνδοῦ τὸ ὕδωρ, ἐς ποταμοὺς μεγάλους· καὶ οὗτοι ἀμφότεροι σώζουσι τοῦ ἰνδοῦ τὸ ὄνομα, ἔς τε ἐπὶ τὴν θάλασσαν. ἐνταῦθα ναύσταθμόν τε καὶ νεωσοίκους ἐποίει ἀλέξανδρος. ὡς δὲ προὐκεχωρήκει αὐτῷ τὰ ἔργα, ὁ δὲ καταπλεῖν ἐπενόει, ἔς τε ἐπὶ τὴν ἐκβολὴν τοῦ ἐν δεξιᾷ ῥέοντος ποταμοῦ, ἐς τὴν θάλασσαν, λεοννάτον μὲν δὴ δοὺς αὐτῷ τῶν τε ἱππέων ἐς χιλίους, καὶ τῶν ὁπλιτῶν τε καὶ ψιλῶν ἐς ὀκτακισχιλίους, κατὰ τὴν νῆσον τὰ πάταλα, ἐκπέμπει ἀντιπαράγειν τῷ στόλῳ. αὐτὸς δὲ τὰς μάλιστα τῶν νεῶν ταχυναυτούσας ἀναλαβὼν, ὅσαι τε ἡμιόλιαι, καὶ τὰς τριακοντόρους πάσας, καὶ τῶν κερκούρων ἔστιν οὓς, ἔπλει κατὰ τὸν ποταμὸν τὸν ἐν δεξιᾷ. οὐκ ἔχοντι δὲ αὐτῷ ἡγεμόνα τοῦ πλοῦ, ὅτι πεφεύγεσαν οἱ ταύτῃ ἰνδοὶ, ἀπορώτερα τοῦ κατάπλου ἦν. χειμών τε ἐπιγίγνεται





ἐν τῇ ὑστεραίᾳ ἀπὸ τῆς ἀναγωγῆς, καὶ ὁ ἄνεμος τῷ ῥόῳ πνέων ὑπεναντίος, κοῖλόν τε ἐποίει τὸν ποταμὸν, καὶ τὰ σκάφη διέσειεν. ὥστε ἐπόνησαν αὐτῷ, αἱ πλεῖσται τῶν νεῶν. τῶν δὲ τριακοντόρων ἔστιν αἳ καὶ πάντῃ διελύθησαν. ἔφθασαν δὲ ἐποκείλαντες αὐτὰς, πρὶν παντάπασι διαπεσεῖν ἐν τῷ ὕδατι. ἑτέρας οὖν ξυνεπήγνυντο· καὶ τῶν ψιλῶν τοὺς κουφοτάτους ἐκπέμψας ἐς τὴν προσωτέρω τῆς ὄχθης χώραν, ξυλλαμβάνει τινὰς τῶν ἰνδῶν, καὶ οὗτοι τὸ ἀπὸ τοῦδε ἐξηγοῦντο αὐτῷ τὸν πόρον. ὡς δὲ ἧκον ἵνα περ ἀναχεῖται ἐς εὖρος ὁ ποταμὸς, ὡς καὶ διακοσίους ταύτῃ σταδίους ἐπέχειν, ᾗ περ εὐρύτατος αὐτὸς αὑτοῦ ἦν, τό τε πνεῦμα κατήει μέγα ἀπὸ τῆς ἔξω θαλάσσης, καὶ αἱ κῶπαι ἐν κλύδωνι χαλεπῶς ἀνεφέροντο, ξυμφεύγουσιν αὖ ἐς διώρυχα, ἐς ἥν τινα οἱ ἡγεμόνες αὐτῷ καθηγήσαντο. ἐνταῦθα ὁρμισάντων, τὸ πάθημα ἐπιγίγνεται τῆς μεγάλης θαλάσσης, ἡ ἄμπωτις, ὥστε ἐπὶ ξηροῦ ἀπελείφθησαν αὐτοῖς αἱ νῆες. καὶ τοῦτο οὔπω πρότερον ἐγνωκόσι τοῖς ἀμφ' ἀλέ-

ξανδρον, ἔκπληξιν μὲν καὶ αὐτὸ οὐ σμικρὰν παρέσχε. πολὺ δὲ δὴ ἔτι μείζονα, ἀπό τε διελθούσης τῆς ὥρας προσῄει τε τὸ ὕδωρ, καὶ τὰ σκάφη μετεωρίζοντο, ὅσαις μὲν δὴ τῶν νεῶν ἐν τῷ πηλῷ ἑδραίας κατέλαβον, αὗται δὲ ἀβλαβῶς τε ἐμετεωρίσθησαν, καὶ οὐδὲν χαλεπὸν παθοῦσαι, ἔπλεον αὖθις· ὅσαι δὲ ἐν ξηροτέρᾳ τε τῇ γῇ, καὶ οὐ βεβαίως τὴν στάσιν ἔχουσαι ὑπελείφθησαν· αὗται δὲ ἀθρόου ἐπελθόντος τοῦ κύματος, αἱ μὲν αὐτῶν ἐμπεσοῦσαι ἐς ἀλλήλας, αἱ δὲ πρὸς τῇ γῇ ἀραχθεῖσαι, ξυνετρίβησαν. ταῦτά τε οὖν ἐπεσκεύασεν ἀλέξανδρος ἐκ τῶν παρόντων, καὶ ἐν κερκούροιν δυοῖν προπέμπει κατὰ τὸν ποταμὸν τοὺς κατασκεψομένους τὴν νῆσον, ἐς ἥν τινα οἱ ἐπιχώριοι ἔφασκον ὁρμιστέα εἶναι αὐτῷ κατὰ τὸν πλοῦν τὸν ἐς τὴν θάλασσαν. κίλλουτα δὲ τῇ νήσῳ τὸ ὄνομα ἔλεγον. ὡς δὲ ἐξηγγέλθη, ὅτι ὅρμοι τε ἐν τῇ νήσῳ εἰσὶ, καὶ αὐτὴ μεγάλη, καὶ ὕδωρ ἔχουσα, ὁ μὲν ἄλλος αὐτῷ στόλος ἐς τὴν νῆσον κατέσχεν· αὐτὸς δὲ ταῖς ἄριστα πλεούσαις τῶν

νεῶν,



νεῶν, ἐπέκεινα προὐχώρει, ὡς ἀπιδεῖν τοῦ ποταμοῦ τὴν ἐκβολὴν τὴν ἐς τὴν θάλασσαν, εἰ παρέχει τὸν ἔκπλουν εὔπορον. προελθόντες δὲ ἀπὸ τῆς νήσου σταδίους ὅσον διακοσίους, ἀφορῶσιν ἄλλην νῆσον, ταύτην ἤδη ἐν τῇ θαλάσσῃ. τότε μὲν δὴ ἐπανῆλθον ἐς τὴν ἐν τῷ ποταμῷ νῆσον, καὶ πρὸς τοῖς ἄκροις αὐτῆς καθορμισθεὶς, θύει τοῖς θεοῖς ἀλέξανδρος ὅσοις ἔφασκεν, ὅτι παρὰ τοῦ ἄμμωνος ἐπηγγελμένον ἦν, θῦσαι αὐτῷ. ἐς δὲ τὴν ὑστεραίαν κατέπλει ὡς ἐπὶ τὴν ἄλλην, τὴν ἐν τῷ πόντῳ νῆσον. καὶ προσχὼν καὶ ταύτῃ, ἔθυε καὶ ἐνταῦθα ἄλλας αὖ θυσίας, ἄλλοις τε θεοῖς, καὶ ἄλλῳ τρόπῳ. καὶ ταύτας δὲ κατ' ἐπιθεσπισμὸν θύει τοῦ ἄμμωνος. αὐτὸς δὲ ὑπερβαλὼν τοῦ ἰνδοῦ ποταμοῦ τὰς ἐκβολὰς, ἐς τὸ πέλαγος ἀνέπλει, ὡς μὲν ἔλεγεν ἀπιδεῖν, εἴπου τις χώρα πλησίον ἀνίσχει ἐν τῷ πόντῳ. ἐμοὶ δὲ δοκεῖ, οὐχ ἥκιστα ὡς πεπλευκέναι τὴν μεγάλην τὴν ἔξω ἰνδῶν θάλασσαν. ἐνταῦθα ταύρους τε σφάξας τῷ ποσειδῶνι, ἀφῆκεν ἐς τὴν θάλασσαν. καὶ σπεί

σας

σας ἐπὶ τῇ θυσίᾳ, τήν τε φιάλην χρυσῆν οὖσαν, καὶ κρατῆρας, χρυσᾶ ἐνέβαλλεν ἐς τὸν πόντον χαριστήρια εὐχόμενος, σῶόν οἱ παραπέμψαι τὸν στρατὸν τὸν ναυτικὸν, ὅν τινα ξὺν νεάρχῳ ἐπενόει στέλλειν, ὡς ἐπὶ τὸν κόλπον τὸν περσικὸν, καὶ τὰς ἐκβολὰς τοῦ τε εὐφράτου καὶ τοῦ τίγρητος. ἐπανελθὼν δὲ ὀπίσω ἐς τὰ πάταλα, τήν τε ἄκραν τετειχισμένην καταλαμβάνει, καὶ πείθωνα ξὺν τῇ στρατιᾷ ἀφιγμένον, καὶ τούτῳ ξύμπαντα κατὰ πεπραγμένα, ἐφ' οἷς περ ἐστάλη, ἡφαιστίων μὲν δὴ ἐτάχθη παρασκευάζειν τὰ πρὸς τὸν ἐκτειχισμὸν τοῦ ναυστάθμου, καὶ τῶν νεωσοίκων τὴν κατασκευήν. καὶ γὰρ ἐνταῦθα ἐπενόει στόλον ὑπολείπεσθαι νεῶν οὐκ ὀλίγων, πρὸς τῇ πόλει τοῖς παττάλοις, ἵνα περ ἐσχίζετο ὁ ποταμὸς ὁ ἰνδός. αὐτὸς δὲ κατὰ τὸ ἕτερον στόμα τοῦ ἰνδοῦ ποταμοῦ, κατέπλει αὖθις ἐς τὴν μεγάλην θάλασσαν, ὡς καταμαθεῖν, ὅπῃ εὐπορωτέρα ἡ ἐκβολὴ τοῦ ἰνδοῦ ἐς πόντον γίνεται. ἀπέχει δὲ ἀλλήλων τὰ στόματα τοῦ ποταμοῦ τοῦ ἰνδοῦ, ἐς σταδίους

μάλιστα



μάλιστα ὀκτακοσίους καὶ χιλίους. ἐν δὲ τῷ κατάπλῳ, ἀφίκετο τῆς ἐκβολῆς τοῦ ποταμοῦ ἐς λίμνην μεγάλην, ἥν τινα ἀναχεόμενος ὁ ποταμὸς, τυχὸν δὲ καὶ ἐκ τῶν πέριξ ὑδάτων ἐμβαλόντων ἐς αὐτὴν, μεγάλην τε ποιεῖ, καὶ κόλπῳ θαλάσσης μάλιστα ἐοικυῖαν. καὶ γὰρ ἰχθύες ἤδη ἐν αὐτῇ τῶν ἀπὸ θαλάσσης ἐφαίνοντο, μείζονες τῶν ἐν τῇδε τῇ ἡμετέρᾳ θαλάσσῃ. προσορμισθεὶς οὖν κατὰ τὴν λίμνην, ἵνα περ οἱ καθηγεμόνες ἐξηγοῦντο, τῶν μὲν στρατιωτῶν τοὺς πολλοὺς καταλείπει σὺν λεοννάτῳ αὐτοῦ, καὶ τοὺς κερκούρους ξύμπαντας. αὐτὸς δὲ ταῖς τριακοντόροις τε καὶ ἡμιολίαις ὑπερβαλὼν τὴν ἐκβολὴν τοῦ ἰνδοῦ, καὶ προελθὼν καὶ ταύτῃ ἐς τὴν θάλασσαν, εὐπορωτέραν τε κατέμαθε τὴν ἐπὶ τάδε τοῦ ἰνδοῦ ποταμοῦ ἐκβολήν. καὶ αὐτὸς προσορμισθεὶς τῷ αἰγιαλῷ, καὶ τῶν ἱππέων τινὰς ἅμα οἱ ἔχων, παρὰ θάλασσαν ᾔει σταθμοὺς τρεῖς. τήν τε χώραν ὁποία τίς ἐστιν ἡ ἐν τῷ παράπλῳ ἐπισκεπτόμενος, καὶ φρέατα ὀρύττεσθαι

κελεύων.

κελεύων, ὅπως ἔχοιεν ὑδρεύεσθαι οἱ πλέοντες, αὐτὸς μὲν δὴ ἐπανελθὼν ἐπὶ τὰς ναῦς, ἀνέπλει ἐς τὰ πάτταλα. μέρος δέ τι τῆς στρατιᾶς τὰ αὐτὰ ταῦτα ἐργασομένους, κατὰ τὴν παραλίαν ἔπεμψεν, ἐπανιέναι καὶ αὐτοὺς προστάξας ἐς τὰ πάτταλα. αὖθις δὲ ὡς ἐπὶ τὴν λίμνην καταπλεύσας, ἄλλον ναύσταθμον καὶ ἄλλους νεωσοίκους ἐνταῦθα κατεσκεύασεν. καὶ φυλακὴν καταλιπὼν τῷ χωρίῳ, σῖτόν τε ὅσον καὶ ἐς τέσσαρας μῆνας ἐξαρκέσαι τῇ στρατιᾷ, ἐσηγάγετο, καὶ τἆλλα ὅσα ἐν τῷ παράπλῳ παρεσκεύαζεν. ἦν δὲ ἐν μὲν τῷ τότε ἄπορος ἡ ὥρα ἐς τὸν πλοῦν. οἱ γὰρ ἐτήσιοι ἄνεμοι κατεῖχον, οἳ δὴ τῇ ὥρᾳ ἐκείνῃ οὐ καθάπερ παρ' ἡμῖν ἀπ' ἄρκτου, ἀλλὰ ἀπὸ τῆς μεγάλης θαλάσσης κατὰ νότον μάλιστα ἄνεμον ἵστανται. ἀπὸ δὲ τοῦ χειμῶνος τὴν ἀρχήν, τὸ ἀπὸ πλειάδων δύσεως, ἐς τὰς τροπάς, ἃς ἐν χειμῶνι ὁ ἥλιος ἐπιστρέφει, πλώιμα εἶναι ταύτῃ ἐξηγγέλλετο. τότε γὰρ κατὰ τὴν μᾶλλον οἷα δὴ πολλῷ ὕδατι ἐξ οὐρανοῦ βεβρεγμένην, αὔρας ἵστασθαι μαλθακάς, καὶ ἐς

τὸν



τὸν παράπλουν ταῖς τε κώπαις καὶ τοῖς ἱστίοις ξυμμέτρους. νέαρχος μὲν δὴ ἐπιταχθεὶς τῷ ναυτικῷ προσέμενε τὴν ὥραν τοῦ παράπλου· αὐτὸς δὲ ἄρας ἐκ παττάλων, ἔς τε μὲν ἐπὶ τὸν ποταμὸν τὸν ἀράβιον ξὺν τῇ στρατιᾷ πάσῃ, προὐχώρει. ἐκεῖθεν δὲ ἀναλαβὼν τῶν ὑπασπιστῶν τε καὶ τῶν τοξοτῶν τοὺς ἡμίσεας, καὶ τῶν πεζεταίρων καλουμένων τὰς τάξεις, καὶ τῆς ἵππου τῆς ἑταιρικῆς τό, τε ἄγημα καὶ ἴλην ἀφ' ἑκάστης ἱππαρχίας, καὶ τοὺς ἱπποτοξότας ξύμπαντας, ὡς ἐπὶ τὴν θάλασσαν ἐν ἀριστερᾷ ἐτράπετο, ὕδατά τε ὀρύσσοντας, ὡς κατὰ τὸν παράπλουν ἄφθονα εἶναι τῇ στρατιᾷ τῇ παραπλεούσῃ, καὶ ἅμα ὡς τοῖς ὠρείταις τοῖς ταύτῃ ἰνδοῖς αὐτονόμοις ἐκ πολλοῦ οὖσιν, ἄφνω ἐπιπεσεῖν, ὅτι μηδὲν φίλιον αὐτοῖς ἐς αὐτόν τε καὶ τὴν στρατιὰν ἐπέπρακτο. τῆς δὲ ὑπολειφθείσης δυνάμεως, ἡφαιστίων ἀφηγεῖτο. ἀραβῖται μὲν δή, ἔθνος καὶ τοῦτο αὐτόνομον, τῶν περὶ τὸν ἀράβιον ποταμὸν νεμομένων, οὔτε ἀξιόμαχοι δόξαντες εἶναι ἀλεξάνδρῳ, οὔτε ὑποδῦναι ἐθελήσαντες,

ὡς

ὡς προσάγοντα ἐπύθοντο ἀλέξανδρον,
φεύγουσιν ἐς τὴν ἔρημον. ἀλέξανδρος δὲ
διαβὰς τὸν ἀράβιον ποταμὸν, στενόν τε καὶ
ὀλίγου ὕδατος, καὶ διελθὼν ἐν νυκτὶ τῆς
ἐρήμου τὴν πολλὴν, ὑπὸ τὴν ἕω πρὸς τῇ οἰ-
κουμένῃ ἦν. καὶ τοὺς μὲν πεζοὺς ἐν τάξει ἐκέ-
λευσεν ἕπεσθαι, τοὺς δὲ ἱππέας ἀναλαβὼν
αὐτὸς, καὶ ἐς ἴλας κατανέμας, ὅπως ἐπὶ
πλεῖστον τοῦ πεδίου ἐπέχοιεν, ἐπῄει τὴν χώ-
ραν τῶν ὠρειτῶν. ὅσοι μὲν δὴ ἐς ἀλκὴν ἐ-
τράποντο αὐτῶν, κατεκόπησαν πρὸς τῶν
ἱππέων. πολλοὶ δὲ καὶ ζῶντες ἑάλωσαν.
ὁ δὲ, τότε μὲν κατεστρατοπέδευσε, πρὸς οὐ
πολλῷ ὕδατι. ὡς δὲ καὶ οἱ περὶ ἡφαιστίωνα
αὐτῷ ὁμοῦ δὴ ἦσαν, προὐχώρει ἐς τὸ πρό-
σω. ἀφικόμενος δὲ ἐς κώμην, ἥ περ ἦν με-
γίστη τοῦ ἔθνους τοῦ ὠρειτῶν, ῥαμβακία
ἐκαλεῖτο ἡ κώμη, τόν τε χῶρον ἐπῄνεσε, καὶ
ἐδόκει ἂν αὐτῷ πόλις ξυνοικισθεῖσα μεγά-
λη καὶ εὐδαίμων γενέσθαι. ἡφαιστίωνα μὲν
δὴ ἐπὶ τούτοις ὑπελείπετο· αὐτὸς δὲ ἀνα-
λαβὼν αὖθις τῶν ὑπασπιστῶν καὶ τῶν ἀ-
γριάνων τοὺς ἡμίσεας, καὶ τὸ ἄγημα τῶν
ἱππέων,



ἱππέων, καὶ τοὺς ἱπποτοξότας, προῄει ὡς
ἐπὶ τὰ ὅρια τῶν τε γαδρωσῶν καὶ ὠρει-
τῶν, ἵνα περ στενή τε ἡ πάροδος αὐτῷ εἶ-
ναι ἐξηγγέλλετο, καὶ ὠρεῖται τοῖς γαδρω-
σοῖς ξυντεταγμένοι πρὸ τῶν στενῶν στρατο-
πεδεύειν, ὡς εἴρξοντες τῆς παρόδου ἀλέ-
ξανδρον. καὶ ἦσαν μὲν ταύτῃ τεταγμέ-
νοι. ὡς δὲ προσάγων ἤδη ἐξηγγέλλετο, οἱ μὲν
πολλοὶ ἔφυγον ἐκ τῶν στενῶν, λιπόντες τὴν
φυλακήν· οἱ δὲ ἡγεμόνες τῶν ὠρειτῶν ἀφί-
κοντο παρ᾽ αὐτὸν, σφᾶς τε αὐτοὺς καὶ τὸ
ἔθνος ἐνδιδόντες. τούτοις μὲν δὴ προσέτατ-
τε ξυγκαλέσαντας τὸ πλῆθος τῶν ὠρει-
τῶν, πέμπειν ἐπὶ τὰ σφέτερα ἤθη, ὡς δει-
νὸν οὐδὲν πεισομένους. σατράπην δὲ καὶ
τούτοις ἐπιτάσσει, ἀπολλοφάνην. καὶ ξὺν
τούτῳ ἀπολείπει λεοννάτον τὸν σωματο-
φύλακα, ἐν ὤροις, ἔχοντας τούς τε ἀγρι-
ᾶνας ξύμπαντας, καὶ τῶν τοξοτῶν ἔστιν
οὓς, καὶ τῶν ἱππέων, καὶ ἄλλους πεζούς
τε καὶ ἱππέας ἕλληνας μισθοφόρους. τό, τε
ναυτικὸν ὑπομένειν ἔς τ᾽ ἂν περιπλεύσῃ
τὴν χώραν, καὶ τὴν πόλιν ξυνοικίζειν, καὶ
τὰ

τὰ κατὰ τοὺς ὠρείτας κοσμεῖν, ὅπως μᾶλλόν τι προσέχοιεν τῷ σατράπῃ τὸν νοῦν. αὐτὸς δὲ ξὺν τῇ στρατιᾷ τῇ πολλῇ, καὶ γὰρ καὶ ἡφαιστίων ἀφῖκτο, ἄγων αὐτῷ τοὺς ὑπολειφθέντας, προὐχώρει ὡς ἐπὶ γαδρωσοὺς ἔρημον τὴν πολλήν. καὶ ἐν τῇ ἐρήμῳ ταύτῃ λέγει ἀριστόβουλος σμύρνης πολλὰ δένδρα πεφυκέναι, μείζονα ἢ κατὰ τὴν ἄλλην σμύρναν. καὶ τοὺς φοίνικας τοὺς κατ᾽ ἐμπορίαν τῇ στρατιᾷ ξυνεπομένους, ξυλλέγοντας τὸ δάκρυον τῆς σμύρνης. πολὺ γὰρ εἶναι, οἷα δὴ ἐκ μεγάλων τε τῶν πρέμνων, καὶ οὔπω πρόσθεν ξυλλεγμένων, ἐμπλήσαντας τὰ ὑποζύγια ἄγειν. ἔχειν δὲ τὴν ἔρημον ταύτην, καὶ νάρδου ῥίζαν πολλήν τε καὶ εὔοσμον, καὶ ταύτην ξυλλέγειν τοὺς φοίνικας. πολὺ δὲ εἶναι αὐτῆς τὸ καταπατούμενον πρὸς τῆς στρατιᾶς. καὶ ἀπὸ τοῦ πατουμένου, ὀδμὴν ἡδεῖαν κατέχειν ἐπὶ πολὺ τῆς χώρας, τοσόνδε εἶναι τὸ πλῆθος. εἶναι δὲ καὶ ἄλλα δένδρα ἐν τῇ ἐρήμῳ, τὸ μέν τι δάφνῃ ἐοικὸς τὸ φύλλον, καὶ τοῦτο ἐν τοῖς προσκλυζομένοις τῇ θαλάσσῃ χωρίοις πεφυκέναι. καὶ

ἀπο-



ἀπολείπεσθαι μὲν τὰ δένδρα πρὸς τῆς ἀμπώτεως ἐπὶ ξηροῦ. ἐπελθόντος δὲ τοῦ ὕδατος, ἐν τῇ θαλάσσῃ ἐπικλύζεσθαι, ὅσα ἐν κοίλοις χωρίοις ἐπιπεφύκει. ἔνθεν περ οὐχ ὑπενόστει τὸ ὕδωρ, καὶ ὅμως οὐ διαφθείρεσθαι τὸ δένδρον πρὸς τῆς θαλάσσης. εἶναι δὲ τὰ δένδρα ταύτῃ, πηχέων τριάκοντα ἔστιν, ἃ αὐτῶν τυχεῖν τε ἀνθοῦντα ἐκείνῃ τῇ ὥρᾳ, καὶ τὸ ἄνθος εἶναι τῷ λευκῷ μάλιστα ἴῳ προσφερὲς, τὴν ὀδμὴν τε δὲ πολύ τι ὑπερφέρον. καὶ ἄλλον εἶναι καυλὸν ἐκ τῆς πεφυκότα ἀκάνθης, καὶ τούτῳ ἐπεῖναι ἰσχυρὰν τὴν ἄκανθαν, ὥς τε ἤδη τινῶν καὶ παριππευόντων ἐμπλακεῖσαν τὴν ἐσθῆτα, κατασπᾶσαι ἀπὸ τοῦ ἵππου μᾶλλόν τι τὸν ἱππέα, ἢ αὐτὴν ἀποσχισθῆναι ἀπὸ τοῦ καυλοῦ. καὶ τῶν λαγωῶν λέγεται ὅτι παραθεόντων ἔχονται ἐν ταῖς θριξὶν αἱ ἄκανθαι, καὶ οὗτοι οὕτως ἡλίσκοντο οἱ λαγωοὶ, καθάπερ ὑπὸ ἰξοῦ αἱ ὄρνιθες, ἢ τοῖς ἀγκίστροις οἱ ἰχθύες. σιδήρῳ δὲ ὅτι διακοπῆναι οὐ χαλεπὴ ἦν. καὶ ὀπὸν ὅτι ἀνίει πολὺν ὁ καυλὸς, τῆς ἀκάνθης τεμνομένης, ἔτι πλείο



νκ

να ἢ αἱ συκαὶ τοῦ ἦρος, καὶ δρυμώτερον.
ἔνθεν δὲ διὰ τῆς γαδρωσῶν χώρας, ᾔει ὁδὸν
χαλεπὴν καὶ ἄπορον τῶν ἐπιτηδείων, τῶν
τε ἄλλων, καὶ ὕδωρ πολλαχοῦ τῇ στρατιᾷ
οὐκ ἦν. ἀλλὰ νύκτωρ ἠναγκάζοντο τὴν πολ
λὴν πορεύεσθαι, καὶ προσωτέρω ἀπὸ θαλάσ
σης. ἐπεὶ αὐτῷ γε ἐν σπουδῇ ἦν ἐλθεῖν τὰ
παρὰ τὴν θάλασσαν τῆς χώρας, καὶ λιμέ-
νας τε ἰδεῖν τοὺς ὄντας. καὶ ὅσα τε ἐν παρό-
δῳ δυνατὰ γένοιτο τῷ ναυτικῷ παρα-
σκευάσαι, ἢ φρέατα ὀρύξαντας, ἢ ἀγορᾶς
που ἢ ὅρμου ἐπιμεληθέντας. ἀλλὰ ἦν γὰρ
ἔρημα παντάπασι τὰ πρὸς τῇ θαλάσσῃ τῆς
γαδρωσῶν γῆς. ὁ δὲ, θόαντα τὸν μανδρο-
δώρου καταπέμπει ἐπὶ θάλασσαν ξὺν ὀ-
λίγοις ἱππεῦσι, κατασκεψόμενον εἴ που
τις ὅρμος ὢν τυγχάνει ταύτῃ, ἢ ὕδωρ οὐ
πόρρω ἀπὸ θαλάσσης, ἤ τι ἄλλο τῶν ἐπιτη-
δείων. καὶ οὗτος ἐπανελθὼν, ἀπήγγελλεν
ἁλιέας τινὰς καταλαβεῖν ἐπὶ τοῦ αἰγιαλοῦ
ἐν καλύβαις πνιγηραῖς. πεποιῆσθαι δὲ τὰς
καλύβας, ξυνθέντας τὰς κόγχας. στέγην δὲ
εἶναι αὐταῖς, τὰς ἀκάνθας τῶν ἰχθύων. καὶ
τούτους



τούτους τοὺς ἁλιέας ὕδατι ὀλίγῳ διαχρῆ-
σθαι χαλεπῶς, διαμωμένους τὸν κάχλη-
κα· καὶ οὐδὲ τούτῳ πάντῃ γλυκεῖ τῷ ὕδα-
τι. ὡς δὲ ἀφίκετο ἀλέξανδρος ἐν χῶρόν
τινα τῆς γαδρωσίας, ἵνα ἀφθονώτερος ἦν
σῖτος, διανέμει ἐν τὰ ὑποζύγια, τὸν κα-
ταληφθέντα. καὶ τοῦτον σημηνάμενος τῇ
ἑαυτοῦ σφραγῖδι, κατακομίζεσθαι κελεύει,
ὡς ἐπὶ θάλασσαν. ἐν ᾧ δὲ ᾔει ὡς ἐπὶ τὸν στα-
θμόν, ἔνθεν περ ἐγγύτατα ἦν ἡ θάλασσα,
ἐν τούτῳ ὀλίγον φροντίσαντες οἱ στρατιῶ
ται τῆς σφραγῖδος, αὐτοί τε οἱ φύλακες
τῷ σίτῳ ἐχρήσαντο, καὶ ὅσοι μάλιστα λιμῷ
ἐπιέζοντο, ὁ τούτοις μετέδωκαν. ἐν τοσῷ
δὲ πρὸς τοῦ κακοῦ ἐνικῶντο, ὡς τὸν πρόδη-
λον καὶ παρόντα ἤδη ὄλεθρον, τοῦ ἀφα-
νοῦς τε καὶ πρόσω ἔτι ὄντος ἐκ τοῦ βασι-
λέως κινδύνου, ξὺν λογισμῷ ἔδοξε σφίσιν
ἔμπροσθεν ποιήσασθαι. καὶ ἀλέξανδρος
καταμαθὼν τὴν ἀνάγκην, συνέγνω τοῖς
πράξασιν. αὐτὸς δὲ ὅσα ἐκ τῆς χώρας ἐπι-
δραμὼν ξυναγαγεῖν ἠδυνήθη εἰς ἐπισιτι-
σμὸν τῇ στρατιᾷ, τῇ περιπλεούσῃ ξὺν τῷ

 στόλῳ

στόλῳ ταῦτα κομίσοντα, πέμπει Κρηθέα τὸν καλλατιανόν· καὶ τοῖς ἐγχωρίοις προστάχθη ἐκ τῶν ἄνω τόπων, σῖτόν τε ὅσον δυνατοὶ ἦσαν, κατακομίσαι ἀλέσαντας. καὶ τὰς βαλάνους τὰς τῶν φοινίκων, καὶ πρόβατα ἐς ἀγορὰν τῷ στρατῷ. καὶ ἐς ἄλλον αὖ τόπον τήλεφον κατέπεμψε τῶν ἑταίρων, σὺν σίτῳ οὐ πολλῷ ἀληλεσμένῳ. αὐτὸς δὲ προὐχώρει ὡς ἐπὶ τὰ βασίλεια τῶν γαδρωσῶν. ὁ δὲ χῶρος, πούρα ὀνομάζεται. ἵνα περ ἀφίκετο ἐξ ὤρων ὁρμηθεὶς, ἐν ἡμέραις ταῖς πάσαις ἑξήκοντα. καὶ λέγουσιν οἱ πολλοὶ τῶν ξυγγραψάντων τὰ ἀμφ᾽ ἀλέξανδρον, οὐδὲ τὰ ξύμπαντα ὅσα ἐταλαιπώρησεν αὐτῷ κατὰ τὴν ἀσίαν ἡ στρατιὰ, ξυμβληθῆναι ἄξια εἶναι, τοῖς τῇδε πονηθεῖσι πόνοις. οὐ μὴν ἀγνοήσαντα ἀλέξανδρον τῆς ὁδοῦ τὴν χαλεπότητα, ταύτῃ ἐλθεῖν. τοῦτο μὲν μόνος νέαρχος λέγει ὧδε. ἀλλὰ ἀκούσαντα γὰρ ὅτι οὔπω τις πρόσθεν διελθὼν ταύτῃ ξὺν στρατιᾷ, ἀπεσώθη. ὅτι μὴ σεμίραμις ἐξ ἰνδῶν ἔφυγε· καὶ ταύτην δὲ ἔλεγον οἱ ἐπιχώριοι, ξὺν εἴκοσι μόνοις τῆς

στρατιᾶς



στρατιᾶς ἀποσωθῆναι. κῦρον δὲ τὸν καμβύσου, ξὺν ἑπτὰ μόνοις καὶ τοῦτον. ἐλθεῖν γὰρ δὴ καὶ κῦρον ἐς τοὺς χώρους τούτους, ὡς ἐσβαλοῦντα ἐς τὴν ἰνδῶν γῆν· φθάσαι δὲ ὑπὸ τῆς ἐρημίας τε καὶ ἀπορίας τῆς ὁδοῦ ταύτης, ἀπολέσαντα τὴν πολλὴν τῆς στρατιᾶς. καὶ ταῦτα ἀλεξάνδρῳ ἐξαγγελλόμενα, ἔριν ἐμβαλεῖν, πρὸς κῦρον καὶ σεμίραμιν. τούτων τε οὖν ἕνεκα, καὶ ἅμα ὡς τῶν ναυτικῶν ἐγγύθεν ἐκπορίζεσθαι τὰ ἀναγκαῖα, λέγει νέαρχος ταύτην τραπῆναι ἀλέξανδρον. τό τε οὖν καῦμα ἐπιφλέγον, καὶ τοῦ ὕδατος τὴν ἀπορίαν πολλὴν τῆς στρατιᾶς διαφθεῖραι, καὶ μάλιστα δὴ τὰ ὑποζύγια. ταῦτα μὲν δὴ πρὸς τοῦ βάθους τε τῆς ψάμμου καὶ τῆς θέρμης, ὅτι κεκαυμένη ἦν, τὰ πολλὰ καὶ δίψει ἀπόλλυσθαι. καὶ γὰρ καὶ γηλόφοις ἐπιτυγχάνειν ὑψηλοῖς, ψάμμου βαθείας ἀνενηνεγμένης, ἀλλοίας δέχεσθαι καθάπερ ἐς πηλὸν, ἢ ἔτι μᾶλλον ἐς χιόνα ἀπάτητον ἐπιβαίνοντας. καὶ ἅμα ἐν ταῖς προσβάσεσί τε, καὶ καταβαίνοντας τούς τε ἵππους καὶ τοὺς ἡμιόνους, ἔτι μᾶλ-

 λον

λου κακοπαθεῖν διὰ ἀνομαλίαν τῆς ὁδοῦ,
καὶ ἅμα οὐ βεβαίαν, τῶν τε σταθμῶν τὰ μή-
κη πιέσαι οὐχ ἥκιστα τὴν στρατιάν. ἀπορία
γὰρ ὕδατος οὐ ξύμμετρος οὖσα, μᾶλλόν
τι ἦγε πρὸς ἀνάγκην τὰς πορείας ποιεῖσθαι,
ὁπότε μὲν δὴ τῆς νυκτὸς ἐπελθόντων τὴν
ὁδὸν, ἥν τινα ἀνύσαι ἐχρῆν, ἕωθεν πρὸς ὕ-
δωρ ἔλθοιεν, οὐ πάντη ἐταλαιπωροῦντο.
προχωρούσης δὲ τῆς ἡμέρας, ὑπὸ μήκους
τῆς ὁδοῦ, εἰ ὁδοιποροῦντες ἔτι ἐγκαταλη-
φθεῖεν, ἐνταῦθα ἂν ἐταλαιπώρουν πρὸς τοῦ
καύματός τε, καὶ ἅμα δίψει ἀπαύστῳ συ-
νεχόμενοι. τῶν δὲ δὴ ὑποζυγίων πολλῶν, ὁ
φθόρος καὶ ἑκούσιος τῇ στρατιᾷ ἐγίγνετο.
ξυνιόντες γὰρ ὁπότε ἐπιλείποι σφᾶς τὰ σι-
τία, καὶ τῶν ἵππων τοὺς πολλοὺς ἀποσφα-
ζοντες, καὶ τῶν ἡμιόνων τὰ κρέα ἐσιτοῦντο.
καὶ ἔλεγον δίψει ἀποθανεῖν αὐτοὺς, ἢ ὑπὸ
καμάτου ἐκλιπόντας. καὶ ὁ τὴν ἀτρέκειαν
τοῦ ἔργου ἐξελέγχων ὑπό τε τοῦ παντὸς, οὐ-
δεὶς ἦν· καὶ ὅτι ξύμπαντες τὰ αὐτὰ ἡμάρ-
τανον. καὶ ἀλέξανδρος μὲν οὐκ ἐλελήθει
τὰ γιγνόμενα, ἴασιν δὲ τῶν παρόντων ἑώρα,
τὴν



τὴν τῆς ἀγνοίας προσποίησιν μᾶλλόν τι, ἢ
τὴν ὡς γιγνωσκομένων ἐπιχώρησιν. οὔκουν
οὐδὲ τοὺς νόσῳ κάμνοντας τῆς στρατιᾶς, οὐ-
δὲ τοὺς διὰ κάματον ὑπολειπομένους ἐν
ταῖς ὁδοῖς, ἄγειν ἔτι ἦν εὐμαρῶς, ἀπορίᾳ
τε τῶν ὑποζυγίων, καὶ ὅτι τὰς ἁμάξας αὐ-
τοὶ κατέκοπτον, ἀπόρους οὔσας αὐτοῖς ὑπὸ
βάθους τῆς ψάμμου ἄγεσθαι· καὶ ὅτι ἐν
τοῖς πρώτοις σταθμοῖς διὰ ταῦτα ἐξηναγκά-
ζοντο, οὐ τὰς βραχυτάτας εἶναι τῶν ὁδῶν,
ἀλλὰ τὰς εὐπορωτάτας τοῖς ζεύγεσι. καὶ
οὕτως οἱ μὲν νόσῳ κατὰ τὰς ὁδοὺς ἀπελεί-
ποντο, οἱ δὲ ὑπὸ καμάτου ἢ καύματος, ἢ
τῷ δίψει οὐκ ἀντέχοντες. καὶ οὔτε οἱ ἄξον-
τες ἦσαν, οὔτε οἱ μένοντας θεραπεύσον-
τες. σπουδὴ γὰρ πολλὴ ἐγίγνετο ὁ στόλος,
καὶ ἐν τῷ ὑπὲρ τοῦ παντὸς προθύμῳ τὸ
καθ' ἑκάστους ξὺν ἀνάγκῃ ἠμελεῖτο. οἱ δὲ
καὶ ὕπνῳ κάτοχοι κατὰ τὰς ὁδοὺς γενόμενοι,
οἷα δὴ νυκτὸς τὸ πολὺ τὰς πορείας ποιού-
μενοι, ἔπειτα ἐξαναστάντες, οἷς μὲν δύνα-
μις ἔτι ἦν, κατὰ τὰ ἴχνη τῆς στρατιᾶς ἐφο-
μαρτήσαντες, ὀλίγοι ἀπὸ πολλῶν ἐσώθη-


σαν.

σαν. οἱ πολλοὶ δὲ ὥσπερ ἐν πελάγει ἐκπεσόντες ἐν τῇ ψάμμῳ ἀπώλλυντο. ξυνέπεσε δὲ τῇ στρατιᾷ καὶ ἄλλο πάθημα, ὃ δὴ οὐχ ἥκιστα ἐπίεσεν αὐτούς τε, καὶ τοὺς ἵππους, καὶ τὰ ὑποζύγια. ὕεται γὰρ ἡ γαδρωσίων γῆ, ὑπὸ ἀνέμων τῶν ἐτησίων. καθάπερ οὖν καὶ ἡ ἰνδῶν γῆ, οὐ τὰ πεδία τῶν γαδρωσίων, ἀλλὰ τὰ ὄρη, ἵναπερ προσφέρονταί τε αἱ νεφέλαι ἐκ τοῦ πνεύματος, καὶ ἀναχέονται, οὐχ ὑπερβάλλουσαι τῶν ὀρῶν τὰς κορυφάς. ὡς δὲ ηὐλίσθη ἡ στρατιὰ πρὸς χειμάρρῳ ὀλίγου ὕδατος, αὐτοῦ δὴ ἕνεκα τοῦ ὕδατος, ἀμφὶ δευτέραν φυλακὴν τῆς νυκτὸς, ἐμπλησθεὶς ὑπὸ τῶν ὄμβρων ὁ χείμαρρος ὁ ταύτῃ ῥέων, ἀφανῶν τῇ στρατιᾷ γεγενημένων τῶν ὄμβρων, τοσοῦτος ἐπῆλθε τῷ ὕδατι, ὡς γύναια καὶ παιδάρια τὰ πολλὰ τῶν ἑπομένων τῇ στρατιᾷ διαφθεῖραι, καὶ τὴν κατασκευὴν τὴν βασιλικὴν ξύμπασαν ἀφανίσαι, καὶ τῶν ὑποζυγίων ὅσα ἀπελείπετο. αὐτοὺς δὲ μόλις καὶ χαλεπῶς ξὺν τοῖς ὅπλοις, οὐδὲ τούτοις πᾶσιν ἀποσωθῆναι. οἱ πολλοὶ δὲ, καὶ πίνον-

τες



τες ἀπό τε ἐκ καύματός τε καὶ δίψους, ὕδατι ἀθρόῳ ἐπιτύχοιεν, πρὸς αὐτοῦ τοῦ ἀπαύστου ποτοῦ ἀπώλλυντο. καὶ τούτων ἕνεκα ἀλέξανδρος, τὰς στρατοπεδείας οὐ πρὸς τοῖς ὕδασιν αὐτοῖς τὸ πολὺ ἐποιεῖτο, ἀλλὰ ἀπέχων ὅσον εἴκοσι σταδίους μάλιστα, ὡς μὴ ἀθρόους ἐμπίπτοντας τῷ ὕδατι, αὐτούς τε καὶ τὰ κτήνη ἀπόλλυσθαι. καὶ ἅμα τοὺς μάλιστα ἀκράτορας σφῶν ἐπεμβαίνοντας ἐς τὰς πηγὰς, ἢ τὰ ῥεύματα διαφθείρειν, καὶ τῇ ἄλλῃ στρατιᾷ τὸ ὕδωρ. ἔνθεν δὴ ἔργον καλὸν εἴπερ τι ἄλλο τῶν ἀλεξάνδρου, οὐκ ἔδοξέ μοι ἀφανίσαι, ἢ ἐν τῇδε τῇ χώρᾳ πραχθὲν, ἢ ἔτι ἔμπροσθεν ἐν παραπαμισάδαις, ὡς μετεξέτεροι ἀνέγραψαν. ἰέναι μὲν τὴν στρατιὰν διὰ ψάμμου τε καὶ τοῦ καύματος ἤδη ἐπιφλέγοντος, ὅτι πρὸς ὕδωρ ἐχρῆν ἐξανύσαι (τὸ δὲ ἦν πρόσθεν τῆς ὁδοῦ) καὶ αὐτόν τε ἀλέξανδρον δίψει κατεχόμενον, μόλις μὲν καὶ χαλεπῶς, πεζὸν δὲ ὅμως ἡγεῖσθαι. ὡς δὲ τοὺς ἄλλους στρατιώτας, οἷάπερ φιλεῖ ἐν τῷ τοιῷδε κουφοτέρως φέρειν τοὺς πόνους, ἐν

ἰσότη

ἰσότητι τῆς ταλαιπωρήσεως. ἐν δὲ τούτῳ τῶν ψιλῶν τινας κατὰ ζήτησιν ὕδατος ἀποτραπέντας ἀπὸ τῆς στρατιᾶς, εὑρεῖν ὕδωρ συλλελεγμένον ἔν τινι χαράδρᾳ οὐ βαθείᾳ ὀλίγην καὶ φαύλην πίδακα. καὶ τοῦτο οὐ χαλεπῶς συλλέξαντας, σπουδῇ ἰέναι παρ᾽ ἀλέξανδρον, ὡς μέγα δή τι ἀγαθὸν φέροντας. ὡς δὲ ἐπέλαζον ἤδη, ἐμβαλόντας ἐς κράνος τὸ ὕδωρ προσενεγκεῖν τῷ βασιλεῖ· τὸν δὲ λαβεῖν μὲν, καὶ ἐπαινέσαι τοὺς κομίσαντας· λαβόντα δὲ, ἐν ὄψει πάντων ἐκχέαι. καὶ ἐπὶ τῷδε τῷ ἔργῳ ἐς τοσόνδε ἐπιῤῥωσθῆναι τὴν στρατιὰν ξύμπασαν, ὥς τε εἰκάσαι ἄν τινα ποτὸν γενέσθαι πᾶσιν ἐκεῖνο τὸ ὕδωρ, τὸ πρὸς ἀλεξάνδρου ἐκχυθέν. τοῦτο ἐγὼ εἴπερ τι ἄλλο τὸ ἔργον ἐς καρτερίαν τε καὶ ἅμα στρατηγίαν ἐπαινῶ ἀλεξάνδρου. ξυνηνέχθη δέ τι καὶ τοιόνδε τῇ στρατιᾷ, ἐν τῇ γῇ ἐκείνῃ. οἱ γὰρ ἡγεμόνες τῆς ὁδοῦ τελευτῶντες, οὐκέτι μεμνῆσθαι ἔφασκον τὴν ὁδὸν, ἀλλ᾽ ἀφανισθῆναι τὰ σημεῖα αὐτῆς πρὸς τοῦ ἀνέμου ἐπιπνεύσαντος. καὶ οὐ γὰρ εἶναι ἐν τῇ ψάμμῳ πολλῇ





τε καὶ ὁμοίᾳ πάντῃ νενημένῃ, ὅτῳ τεκμαρώσονται τὴν ὁδὸν, οὔτ᾽ οὖν δένδρα ξυνήθη παρ᾽ αὐτὴν πεφυκότα, οὔτε τινὰ γήλοφον βέβαιον ἀνεστηκότα, οὐδὲ πρὸς τὰ ἄστρα ἐν νυκτὶ, ἢ μεθ᾽ ἡμέραν πρὸς τὸν ἥλιον μεμελετῆσθαι σφίσι τὰς πορείας, καθάπερ τοῖς ναύταις πρὸς τῶν ἄρκτων. τὴν μὲν φοίνιξι τὴν ὀλίγην, τὴν δὲ τοῖς ἄλλοις ἀνθρώποις τὴν μείζονα. ἔνθα δὴ ἀλέξανδρον ξυνιέντα, ὅτι ἐν ἀριστερᾷ ἀποκλίναντα ἄγειν, ἀναλαβόντα ὀλίγους ἅμα οἱ ἱππέας· ὡς δὲ καὶ τούτων οἱ ἵπποι ἐξέκαμνον ὑπὸ τοῦ καύματος, ἀπολιπεῖν καὶ τούτων τοὺς πολλοὺς, αὐτὸν δὲ ξὺν πέντε τοῖς πᾶσιν ἀφιππάσασθαι, καὶ εὑρεῖν τὴν θάλασσαν, διαμησάμενόν τε αὐτὸν ἐπὶ τοῦ αἰγιαλοῦ τὸν κάχληκα, ἐπιτυχεῖν ὕδατι γλυκεῖ καὶ καθαρῷ, καὶ οὕτω μετελθεῖν τὴν στρατιὰν πᾶσαν, καὶ ἐς ἑπτὰ ἡμέρας ἰέναι παρὰ τὴν θάλασσαν ὑδρευομένους ἐκ τῆς ἠιόνος. ἔνθεν δὲ ἤδη γάρ τι γιγνώσκειν τὴν ὁδὸν τοὺς ἡγεμόνας, ἐπὶ τῆς μεσογαίας ποιεῖσθαι τὸν στόλον. ὡς δὲ ἀφίκετο ἐς τῶν

γαδρωσίων τὰ βασίλεια, ἀναπαύει ἐνταῦ-
θα τὴν στρατιάν. καὶ ἀπολλοφάνην μὲν
παύει τῆς σατραπείας, ὅτι οὐδενὸς ἔγνω
ἐπιμεληθέντα τῶν προεπηγγελμένων. θόαν-
τα δὲ σατραπεύειν τῶν ταύτῃ ἔταξε. τού-
του δὲ νόσῳ τελευτήσαντος, σιβύρτιος
τὴν σατραπείαν ἐκδέχεται. ὁ αὐτὸς δὲ καὶ
καρμανίας σατράπης ἦν, νεωστὶ ἐξ ἀλεξάν-
δρου ταχθείς. τότε δὲ τούτῳ μὲν ἀραχωτῶν
τε καὶ τῶν γαδρωσίων ἄρχειν ἐδόθη. καρμα-
νίαν δὲ ἔσχε τληπόλεμος ὁ πυθοφάνους,
ἤδη τε ἐπὶ καρμανίας προὐχώρει ὁ βασι-
λεὺς· καὶ ἀγγέλλεται αὐτῷ, φίλιππον τὸν
σατράπην τῆς ἰνδῶν γῆς, ἐπιβουλευθέν-
τα πρὸς τῶν μισθοφόρων, δόλῳ ἀποθανεῖν.
τοὺς μὲν ἀποκτείναντας, ὅτι οἱ σωματοφύ-
λακες τοῦ φιλίππου οἱ μακεδόνες, τοὺς μὲν
ἐν αὐτῷ τῷ ἔργῳ, τοὺς δὲ καὶ ὕστερον λαβόν-
τες, ἀπέκτειναν. ταῦτα δὲ ὡς ἔγνω, ἐκ-
πέμπει γράμματα ἐς ἰνδοὺς, παρὰ εὔ-
δαμόν τε καὶ ταξίλην, ἐπιμελεῖσθαι τῆς
χώρας τῆς πρόσθεν ὑπὸ φιλίππῳ τετα-
γμένης, ἔς τ᾽ ἂν αὐτὸς σατράπην ἐκπέμ-
ψαι



ψαι ἐπ᾽ αὐτῆς. ἤδη δ᾽ ἐς καρμανίαν ἥκον-
τα ἀλέξανδρον, κρατερὸς ἀφικνεῖται, τήν
τε ἄλλην στρατιὰν ἅμα οἱ ἄγων, καὶ τοὺς
ἐλέφαντας, καὶ ὀρδάνην τὸν ἀποστάντα καὶ
νεωτερίσαντα συνειληφώς. ἐνταῦθα δὲ
στασάνωρ τε ὁ ἀρείων, καὶ ὁ ζαραγγῶν σατρά-
πης ἧκε· καὶ ξὺν αὐτοῖς φαρισμάνης ὁ φρα-
ταφέρνου, τοῦ παρθυαίων καὶ ὑρκανίων σα-
τράπου παῖς. ἧκον δὲ καὶ οἱ στρατηγοὶ οἱ
ὑπολειφθέντες ἅμα παρμενίωνι ἐπὶ τῆς
στρατιᾶς τῆς ἐν μηδίᾳ, κλέανδρός τε καὶ
σιτάλκης, καὶ ἡράκων, τὴν πολλὴν τῆς στρα-
τιᾶς καὶ οὗτοί γε ἄγοντες. τοὺς μὲν δὴ ἀμ-
φὶ κλέανδρόν τε καὶ σιτάλκην πολλὰ ἐπι-
καλούντων αὐτοῖς, τῶν τε ἐγχωρίων καὶ τῆς
στρατιᾶς αὐτῆς ὡς ἱερά τε πρὸς αὐτῶν σεσυ-
λημένα, καὶ θήκας παλαιὰς κεκινημένας,
καὶ ἄλλα ἄδικα ἔργα τοὺς ὑπηκόους τετολ-
μημένα καὶ ἀτάσθαλα. ταῦτα ὡς ἐξηγγέλ-
θη, τοὺς μὲν ἀπέκτεινεν, ὡς καὶ τοῖς ἄλλοις
δέος εἶναι, ὅσοι σατράπαι, ἢ ὕπαρχοι, ἢ
νομάρχαι ἀπολείποιντο, τὰ ἴσα ἐκείνοις
πλημμελοῦντας πείσεσθαι. καὶ τοῦτο εἴπερ
τὶ

τὰ ἄλλα, κατέχειν ἐν κόσμῳ τὰ ἔθνη τὰ ὑπὸ
Ἀλεξάνδρου δορυάλωτα, ἢ ἑκόντα προσχω-
ρήσαντα, τοσαῦτα μὲν πλήθει ὄντα, τοσοῦ-
τον δὲ ἀλλήλων ἀφεστηκότα· ὅτι οὐκ ἐξῆν ὑπὸ
τῇ Ἀλεξάνδρου βασιλείᾳ ἀδικεῖσθαι τοὺς ἀρ-
χομένους, ὑπὸ τῶν ἀρχόντων. ἡράκων δὲ τό-
τε μὲν ἀφείθη τῆς αἰτίας· ὀλίγον δὲ ὕστερον
ἐξελεγχθεὶς πρὸς ἀνδρῶν σουσίων, σεσυλη-
κέναι τὸ ἐν σούσοις ἱερόν, καὶ οὗτος ἔδωκε
δίκην. οἱ δὲ σὺν στασάνορι καὶ φραταφέρ-
νῃ πλῆθός τε ὑποζυγίων παρ' ἀλέξανδρον
ἄγοντες ἦλθον, καὶ καμήλους πολλάς, ὡς
ἔμαθον ὅτι τὴν ἐπὶ γαδρωσίων ἄγει, εἰκά-
σαντες ὅτι τὰ αὐτὰ ἐκεῖνα πείσεται αὐ-
τῷ ἡ στρατιά, ἃ ἤδη ἔπαθε, καὶ οὖν καὶ ἐν
καιρῷ μὲν καὶ οὗτοι ἀφίκοντο· ἐν καιρῷ
δέ, αἱ κάμηλοί τε καὶ τὰ ὑποζύγια. διέ-
νειμε γὰρ ξύμπαντα ἀλέξανδρος, τοῖς μὲν
ἡγεμόσι κατ' ἄνδρα, τοῖς δὲ κατ' ἴλας τε
καὶ ἑκατοστύας, τοῖς δὲ κατὰ λόχους, ὅ-
πως τὸ πλῆθος τῶν ὑποζυγίων τε καὶ
καμήλων αὐτῷ ξυνέβαινε. ἤδη δέ τινες
καὶ τοιάδε ἀνέγραψαν, οὐ πιστὰ ἐμοί, λέ-
γοντες



γοντες ὡς συζεύξας δύο ἁρμαμάξας, κα-
τακείμενος, ξὺν τοῖς ἑταίροις καταυλού-
μενος, τὴν διὰ καρμανίας ἦγεν. ἡ στρα-
τιὰ δὲ αὐτῷ ἐστεφανωμένη τε καὶ παίζουσα
εἵπετο. προὔκειτο δὲ αὐτῇ σῖτός τε, καὶ ὅσα
ἄλλα ἐς τρυφὴν παρὰ τὰς ὁδοὺς συγκε-
κομισμένα πρὸς τῶν καρμανίων. καὶ ταῦ-
τα πρὸς μίμησιν τῆς διονύσου βακχείας ἀ-
πεικάσθη ἀλεξάνδρῳ, ὅτι καὶ ὑπὲρ ἐκείνου
λόγος ἐλέγετο, καταστρεψάμενον ἰνδοὺς
διόνυσον, οὕτω τὴν πολλὴν τῆς ἀσίας ἐ-
πελθεῖν. καὶ θρίαμβόν τε αὐτὸν ἐπικληθῆ-
ναι τὸν διόνυσον, καὶ τὰς ἐπὶ ταῖς νίκαις ταῖς
ἐκ πολέμου πομπὰς ἐπὶ τῷ αὐτῷ τούτῳ θρι-
άμβους. ταῦτα δὲ οὔτε πτολεμαῖος ὁ λάγου,
οὔτε ἀριστόβουλος ὁ ἀριστοβούλου ἀνέγρα-
ψαν, οὐδέ τις ἄλλος ὅν τινα ἱκανὸν ἄν τις
ποιήσαιτο τεκμηριῶσαι ὑπὲρ τῶν τοιῶνδε.
καί μοι ὡς οὐ πιστὰ ἀναγεγράφθαι ἐξήρκε-
σαν. ἀλλὰ ἐκεῖνα ἤδη ἀριστοβούλῳ ἑπόμενος
ξυγγράφω, θῦσαι ἐν καρμανίᾳ ἀλέξανδρον
χαριστήρια τῆς κατ' ἰνδῶν νίκης. καὶ ὑπὲρ
τῆς στρατιᾶς, ὅτι ἀπεσώθη ἐκ γαδρωσίων.
καὶ

καὶ ἀγῶνα διαθεῖναι μουσικόν τε, καὶ γυμ
νικόν. καταλέξας δὲ καὶ πευκέσταν, ἐς τοὺς
σωματοφύλακας, ἤδη μὲν ἐγνωκότα σα-
τράπην καταστῆσαι τῆς περσίδος· ἐθέ-
λοντα δὲ πρὸ τῆς σατραπείας, μηδὲ ταύ-
της τῆς τιμῆς καὶ πίστεως ἀπείρατον εἶναι,
ἐπὶ τῷ ἐν μαλλοῖς ἔργῳ. εἶναι δὲ αὐτῷ ἑπτὰ
ἐς τότε σωματοφύλακας, λεόννατον ἀν-
θέου, ἡφαιστίωνα τὸν ἀμύντορος, λυσίμα-
χον ἀγαθοκλέους, ἀριστόνουν πεισαίου· τού-
τους μὲν πελλαίους. περδίκκαν δὲ, ὀρόντου,
ἐκ τῆς ὀρεστίδος. πτολεμαῖον δὲ τὸν λάγου,
καὶ πείθωνα κρατεύα ἐορδαίους. ὄγδοον δὲ
προσγενέσθαι αὐτοῖς, πευκέσταν τὸν ἀλε-
ξάνδρῳ ὑπερασπίσαντα. ἐν τούτῳ δὲ καὶ
νέαρχος περιπλεύσας τὴν ὠρῶν τε καὶ γα
δρωσῶν γῆν, καὶ τῶν ἰχθυοφάγων, κατῆ-
ρεν ἐς τῆς καρμανίας τὰ πρὸς θάλασσαν
ᾠκισμένα. ἔνθεν δὲ ἀνελθὼν σὺν ὀλίγοις,
ἀλεξάνδρῳ ἀπήγγελλε τὰ ἀμφὶ τὸν περί-
πλουν, τὸν γενόμενον αὐτῷ κατὰ τὴν ἔξω
θάλασσαν. τοῦτον μὲν δὴ καταπέμπει αὖ-
θις, ἐκπεριπλεύσοντα ἔς τε ἐπὶ τὴν σου-
σιανῶν



σιανῶν τε γῆν, καὶ τοῦ τίγρητος ποταμοῦ
τὰς ἐκβολάς. ὅπως δὲ ἐπλεύσθη αὐτῷ τὰ
ἀπὸ τοῦ ἰνδοῦ ποταμοῦ ἐπὶ τὴν θάλασσαν
τὴν περσικὴν, καὶ τὸ στόμα τοῦ τίγρητος,
ταῦτα ἰδίᾳ ἀναγράψω, αὐτῷ νεάρχῳ ἑπόμε
νος, ὡς καὶ τήνδε εἶναι ὑπὲρ ἀλεξάνδρου
ἑλληνικὴν ξυγγραφήν. ταῦτα μὲν δὴ ἐν
ὑστέρῳ ἔσται τυχὸν, ἐς ὅτε θυμός τέ με καὶ
ὁ δαίμων ἄγει ταύτῃ. ἀλέξανδρος δὲ ἡ-
φαιστίωνα μὲν σὺν τε τῇ πλείστῃ μοίρᾳ τῆς
στρατιᾶς καὶ τοῖς ὑποζυγίοις, καὶ τοὺς ἐλέ-
φαντας ἅμα οἱ ἔχοντα, τὴν παραθάλασ-
σαν, ἀπὸ τῆς καρμανίας ὡς ἐπὶ τὴν περσί-
δα ἄγειν ἐκέλευσεν· ὅτι χειμῶνος ὥρα γι-
γνομένου αὐτῷ τοῦ στόλου, τὰ πρὸς τῇ θα-
λάσσῃ περσίδος ἀλεεινά τε ἦν, καὶ τῶν ἐπι
τηδείων ἀφθόνως ἔχοντα. αὐτὸς δὲ ξὺν τοῖς
κουφοτάτοις τῶν πεζῶν, καὶ ξὺν τοῖς ἑταί-
ροις τῶν ἱππέων, καὶ μέρει τινὶ τῶν τοξοτῶν,
ᾔει τὴν ἐπὶ πασαργάδας τῆς περσίδος·
στασάνορα δὲ καταπέμπει ἐπὶ τὴν ἀρχὴν
τὴν ἑαυτοῦ. ὡς δὲ ἐπὶ τοῖς ὅροις ἦν τῆς περ-
σίδος, φρασαόρτην μὲν οὐ κατέλαβε σα-

τραπεύοντα ἔτι. νόσῳ γὰρ τετελευτηκὼς ἐτύγχανεν, ἐν ἰνδοῖς ἔτι ἀλεξάνδρου ὄντος. ὀρξίνης δὲ ἐπεμελεῖτο τῆς περσίδος, οὐ πρὸς ἀλεξάνδρου κατασταθεὶς, ἀλλ᾽ ὅτι οὐκ ἀπηξίωσεν αὐτὸν ἐν κόσμῳ πέρσας διαφυλάξαι ἀλεξάνδρῳ, οὐκ ὄντος ἄλλου ἄρχοντος. ἦλθε δὲ ἐς πασαργάδας καὶ ἀτροβάτης ὁ μηδίας σατράπης, ἄγων βαρυάξην ἄνδρα μῆδον συνειλημμένον, ὅτι ὀρθὴν τὴν κιδάρην περιθέμενος, βασιλέα προσεῖπεν αὐτὸν περσῶν τε καὶ μήδων· καὶ ξὺν τούτῳ τοὺς μετασχόντας αὐτῷ, τοῦ νεωτερισμοῦ τε καὶ τῆς ἀποστάσεως. τούτους μὲν δὴ ἀπέκτεινεν ἀλέξανδρος. ἐλύπησε δὲ αὐτὸν ἡ παρανομία ἡ ἐς τὸν κύρου τοῦ καμβύσου τάφον, ὅτι διορωρυγμένον τε καὶ σεσυλημένον κατέλαβε τοῦ κύρου τὸν τάφον, ὥς λέγει ἀριστόβουλος. εἶναι γὰρ ἐν πασαργάδαις ἐν τῷ παραδείσῳ τῷ βασιλικῷ κύρου ἐκείνου τάφον. καὶ περὶ αὐτὸν ἄλσος ἐμπεφυτεῦσθαι δένδρων παντοίων. καὶ ὕδατι εἶναι κατάρρυτον, καὶ πόαν βαθεῖαν πεφυκέναι ἐν τῷ λειμῶνι,



νι, καὶ αὐτὸν δὲ τὸν τάφον τὰ κάτω λίθου τετραπέδου ἐς τετράγωνον σχῆμα πεποιῆσθαι· ἄνωθεν δὲ, οἴκημα ἐπεῖναι λίθινον ἐστεγασμένον, θυρίδα ἔχον, φέρουσαν ἔσω στενὴν, ὡς μόλις ἂν ἑνὶ ἀνδρὶ οὐ μεγάλῳ πολλὰ κακοπαθοῦντι παρελθεῖν. ἐν δὲ τῷ οἰκήματι πύελον χρυσῆν κεῖσθαι, ἵνα τὸ σῶμα τὸ κύρου ἐτέθαπτο· καὶ κλίνην παρὰ τῇ πυέλῳ. πόδας δὲ εἶναι τῇ κλίνῃ χρυσοῦς σφυρηλάτους, καὶ τάπητα ἐπιβλημάτων βαβυλωνίων, καὶ καυνάκας πορφυροῦς, ὑποστρώματα. ἐπεῖναι δὲ καὶ κάνδυς, καὶ ἄλλους χιτῶνας τῆς βαβυλωνίου ἐργασίας. καὶ ἀναξυρίδας μηδικὰς, καὶ στολαὶ ὑακινθινοβαφεῖς, λέγει ὅτι ἔκειντο. αἱ δὲ πορφύρας, αἱ δὲ ἄλλης καὶ ἄλλης χρόας. καὶ στρεπτοὶ, καὶ ἀκινάκαι, καὶ ἐνώτια, χρυσοῦ τε καὶ λίθων κολλητά· καὶ τράπεζα ἔκειτο. ἐν μέσῳ δὲ τῆς κλίνης ἡ πύελος ἔκειτο, ἡ τὸ σῶμα τοῦ κύρου ἔχουσα. εἶναι δὲ ἐντὸς τοῦ περιβόλου πρὸς τῇ ἀναβάσει τῇ ἐπὶ τὸν τάφον φερούσῃ, οἴκημα σμικρὸν, τοῖς μάγοις πεποιημένον, οἳ δὴ ἐφύλασ-



σον

σου τὸν κύρου τάφον, ἔτι ἀπὸ καμβύσου τοῦ κύρου, παῖς παρὰ πατρὸς, ἐκδεχόμενοι τὴν φυλακήν. καὶ τούτοις πρόβατόν τε εἰς ἡμέραν ἐδίδοτο ἐκ βασιλέως, καὶ ἀλεύρων τε καὶ οἴνου τεταγμένα, καὶ ἵππος κατὰ μῆνα εἰς θυσίαν τῷ κύρῳ. ἐπεγέγραπτο δὲ ὁ τάφος περσικοῖς γράμμασι, καὶ ἐδήλου περσιστὶ, τάδε· ὦ ἄνθρωπε, ἐγὼ κῦρός εἰμι ὁ καμβύσου, ὁ τὴν ἀρχὴν πέρσαις κατασκησάμενος, καὶ τῆς ἀσίας βασιλεύσας. μὴ οὖν φθόνει μοι τοῦ μνήματος. ἀλέξανδρος δὲ (ἐπιμελὲς γὰρ ἦν αὐτῷ, ὁπότε ἕλοι πέρσας, παριέναι εἰς τοῦ κύρου τὸν τάφον) τὰ μὲν ἄλλα καταλαμβάνει ἐκπεφορημένα, πλὴν τῆς πυέλου καὶ τῆς κλίνης. οἱ δὲ καὶ τὸ σῶμα τοῦ κύρου ἐλωβήσαντο, ἀφελόντες τὸ πῶμα τῆς πυέλου, καὶ τὸν νεκρὸν ἐξέβαλλον. αὐτὴν δὲ τὴν πύελον ἐπειρῶντο εὔογκον σφίσι ποιήσασθαι, καὶ ταύτῃ εὔφορον, τὰ μὲν παρακόπτοντες, τὰ δὲ ξυνθλῶντες αὐτῆς. ὡς δὲ οὐ προὐχώρει αὐτοῖς τοῦτο τὸ ἔργον, οὕτω δὴ ἐάσαντες τὴν πύελον, ἀπῆλθον. καὶ λέγει ἀριστόβουλος,





αὐτὸς ταχθῆναι, πρὸς ἀλεξάνδρου κοσμῆσαι ἐξ ἀπαρχῆς τῷ κύρῳ τὸν τάφον. καὶ τοῦ μὲν σώματος ὅσα περ ἔτι σῶα ἦν, καταθεῖναι ἐς τὴν πύελον, καὶ τὸ πῶμα ἐπιθεῖναι· ὅσα δὲ λελώβητο αὐτῆς, κατορθῶσαι. καὶ τὴν κλίνην ἐντεῖναι ταινίαις, καὶ τ' ἄλλα ὅσα ἐς κόσμον ἔκειτο, κατὰ ἀριθμόν τε τοῖς πάλαι ὅμοια ἀποθεῖναι. καὶ τὴν θυρίδα δὲ ἀφανίσαι, τὰ μὲν αὐτῆς λίθῳ ἐνοικοδομήσαντα, τὰ δὲ πηλῷ ἐμπλάσαντα. καὶ ἐπιβαλεῖν τῷ πηλῷ, τὸ σημεῖον τὸ βασιλικόν. ἀλέξανδρος δὲ ξυλλαβὼν τοὺς μάγους τοὺς φύλακας τοῦ τάφου, ἐστρέβλωσεν, ὡς κατειπεῖν τοὺς δράσαντας. οἱ δὲ, σφῶν οὔτε, οὔτε ἄλλου κατεῖπον στρεβλούμενοι, οὐδὲ ἄλλῃ πῃ ξυνηλέγχοντο ξυνειδότες τοῦ ἔργου, καὶ ἐπὶ τῷδε ἀφείθησαν ἐξ ἀλεξάνδρου. ἔνθεν δὲ ἐς τὰ βασίλεια ᾔει τῶν περσῶν, ἃ δὴ πρόσθεν κατέφλεξεν αὐτὸς, ὡς μοι λέλεκται, ὅτι οὐκ ἐπῄνει αὐτὸ ἔργον. ἀλλ' οὐδ' αὐτὸς ἀλέξανδρος ἐπανελθὼν ἐπῄνει. καὶ μὲν δὴ καὶ κατὰ ὀρξίνου, πολλοὶ λόγοι ἐλέχθησαν πρὸς περ-

σθω, ὃς ἦρξε περσῶν, ἐπειδὴ φρασαόρτης ἐτελεύτησε. καὶ ἐξηλέγχθη ὀρξίνης, ἱερά τε ὅτι σεσύληκε, καὶ τάφους βασιλικοὺς, καὶ περσῶν πολλοὺς ὅτι οὐ ξὺν δίκῃ ἀπέκτανεν. τοῦτον μὲν δὴ οἷς ἐτάχθη ὑπὸ ἀλεξάνδρου, ἐκρέμασαν. σατραπεύειν δὲ πέρσαις ἔταξεν πευκέσταν τὸν σωματοφύλακα, πιστόν τε οἱ ἐν τοῖς μάλιστα ἡγούμενος, τά τε ἄλλα, καὶ ἐπὶ τῷ ἐν μαλλοῖς ἔργῳ, ἵνα προεκινδύνευσέ τε, καὶ ξυνεξέσωσεν ἀλέξανδρον· καὶ ἄλλως, τῷ βαρβαρικῷ τρόπῳ τῆς διαίτης οὐκ ἀξύμφορον. ἐδήλωσε δὲ ἔπειτά τε εὐθὺς, ὡς κατεστάθη σατραπεύειν περσῶν, μόνος τῶν ἄλλων μακεδόνων μεταβαλὼν τὴν μηδικὴν, καὶ φωνὴν τὴν περσικὴν ἐκμαθὼν, καὶ τἄλλα ξύμπαντα τὰ ἐς τρόπον τὸν περσικὸν κατασκευασάμενος. ἐφ᾽ οἷς ἀλέξανδρός γε ἐπῄνει αὐτὸν, καὶ οἱ πέρσαι ὡς τὰ παρὰ σφίσι πρὸ τῶν πατρίων προτιμῶντι ἔχαιρον.

# ΑΡΡΙΑΝΟΥ ΑΛΕΞΑΝΔΡΟΥ ΑΝΑΒΑΣΕΩΣ
## ΙΣΤΟΡΙΩΝ ΕΒΔΟΜΗ.

ΩΣ ΔΕ ἐς πασαργάδας τε καὶ ἐς περσέπολιν ἀφίκετο ἀλέξανδρος, πόθος καταλαμβάνει αὐτὸν, καταπλεῦσαι κατὰ τὸν εὐφράτην τε καὶ κατὰ τὸν τίγρητα, ἐπὶ τὴν θάλασσαν τὴν περσικὴν, καὶ τῶν τε ποταμῶν ἰδεῖν τὰς ἐκβολὰς τὰς ἐς τὸν πόντον, καθάπερ τοῦ ἰνδοῦ καὶ τὴν ταύτῃ θάλασσαν. οἱ δὲ καὶ τάδε ἀνέγραψαν, ὅτι ἐπενόει ἀλέξανδρος περιπλεῦσαι τήν τε ἀρραβίαν τὴν πολλὴν, καὶ τὴν αἰθιόπων γῆν, καὶ τὴν λιβύην τε καὶ τοὺς νομάδας, ὑπὲρ τὸν ἄτλαντα τὸ ὄρος, ὡς ἐπὶ γάδειρα ἔσω ἐς τὴν ἡμετέραν θάλασσαν, καὶ τὴν λιβύην τε καταστρεψάμενος καὶ καρχηδόνα, οὕτω δὴ τῆς ἀσίας πάσης δικαίως ἂν βασιλέα καλεῖσθαι. τοὺς γάρ τοι περσῶν καὶ μήδων βασιλέας, οὐδὲ τοῦ πολλοστοῦ μέρους τῆς ἀσίας

ἐπέχοντας, οὐ σὺν δίκῃ καλεῖν σφᾶς μεγάλους βασιλέας. ἔνθεν δὲ οἱ μὲν, ὅτι ἐς τὸν πόντον τὸν εὔξεινον ἐκπλεῖν ἐπενόει, ἐς σκύθας τε καὶ τὴν μαιῶτιν λίμνην. οἱ δὲ, ὅτι ἐς σικελίαν τε, καὶ ἄκραν ἰαπυγίαν. ἤδη γὰρ καὶ ὑποκινεῖν αὐτὸν, τὸ ῥωμαίων ὄνομα προχωροῦν ἐπὶ μέγα. ἐγὼ δὲ ὁποῖα μὲν ἦν ἀλεξάνδρου τὰ ἐνθυμήματα, οὔτε ἔχω ἀτρεκῶς ξυμβαλεῖν, οὔτε μέλει ἔμοιγε εἰκάζειν. ἐκεῖνο δὲ καὶ αὐτὸς ἄν μοι δοκῶ ἰσχυρίσασθαι, οὔτε μικρόν τι καὶ φαῦλον ἐπινοεῖν ἀλέξανδρον, οὔτε μεῖναι ἂν ἀτρεμοῦντα ἐπ᾽ οὐδενὶ τῶν ἤδη κεκτημένων, οὐδὲ εἰ τὴν εὐρώπην τῇ ἀσίᾳ προσέθηκεν, οὐδ᾽ εἰ τὰς βρεττανῶν νήσους τῇ εὐρώπῃ, ἀλλὰ ἔτι ἂν ἐπέκεινα ζητεῖν τι τῶν ἠγνοημένων, εἰ καὶ μὴ ἄλλῳ τῳ, ἀλλὰ αὐτόν γε αὑτῷ ἐρίζοντα. καὶ ἐπὶ τῷδε ἐπαινῶ τοὺς σοφιστὰς τῶν ἰνδῶν, ὧν λέγουσιν ἔστιν οὓς καταληφθέντας ὑπ᾽ ἀλεξάνδρου ὑπαιθρίους ἐν λειμῶνι, ἵνα περ αὐτοῖς διατριβαὶ ἦσαν, ἄλλο μὲν οὐδὲν ποιῆσαι πρὸς τὴν ὄψιν αὐτοῦ τε καὶ τῆς στρατιᾶς, κρούειν δὲ τοῖς

τοῖς ποσὶ τὴν γῆν, ἐφ᾽ ἧς βεβηκότες ἦσαν. ὡς δὲ ἤρετο ἀλέξανδρος δι᾽ ἑρμηνέων, ὅ τι νοοῖ αὐτοῖς τὸ ἔργον; τοὺς δὲ ἀποκρίνασθαι ὧδε· ὦ βασιλεῦ ἀλέξανδρε, ἄνθρωπος μὲν ἕκαστος τοσόνδε τῆς γῆς κατέχει, ὅσον περ τοῦτό ἐστιν, ἐφ᾽ ὅτῳ βεβήκαμεν. σὺ δὲ ἄνθρωπος ὢν, παραπλήσιος τοῖς ἄλλοις, πλήν γε δὴ ὅτι πολυπράγμων καὶ ἀτάσθαλος ἀπὸ τῆς οἰκείας τοσαύτην γῆν ἐπεξέρχῃ, πράγματα ἔχων τε καὶ παρέχων ἄλλοις. καὶ οὖν καὶ ὀλίγον ὕστερον ἀποθανὼν, τοσοῦτον καθέξεις τῆς γῆς, ὅσον ἐξαρκεῖ ἐντεθάφθαι τῷ σώματι. κἀνταῦθα ἐπῄνεσε μὲν ἀλέξανδρος τούς τε λόγους, καὶ τοὺς εἰπόντας. ἔπραττε δὲ ὅμως ἄλλα, καὶ τἀναντία οἷς ἐπῄνεσεν. ἐπεὶ καὶ διογένην τὸν ἐκ σινώπης θαυμάσαι λέγεται ἐν ἰσθμῷ, ἐντυχὼν αὐτῷ κατακειμένῳ ἐν ἡλίῳ, ἐπιστὰς σὺν τοῖς ὑπασπισταῖς καὶ τοῖς πεζεταίροις, καὶ ἐρόμενος εἴ του δέοιτο. ὁ δὲ διογένης, ἄλλου μὲν ἔφη δεῖσθαι οὐδενὸς, ἀλλὰ τοῦ ἡλίου δὲ ἀπελθεῖν ἐκέλευσεν αὐτόν τε καὶ τοὺς σὺν αὐτῷ. οὕτω τοι οὐ πάντῃ ἔξω ἦν

τοῦ

τοῦ ἐπινοεῖν τὰ κρείττω ἀλέξανδρος, ἀλλ'
ἐκ δόξης γὰρ δεινῶς ἐκρατεῖτο. ἐπεὶ καὶ ἐς
τάξιλα αὐτῷ ἀφικομένῳ, καὶ ἰδόντι τῶν σο-
φιστῶν ἰνδῶν τοὺς γυμνοὺς, πόθος ἐγένετο
ξυνεῖναί τινα οἱ τῶν ἀνδρῶν τούτων, ὅτι
τὴν καρτερίαν αὐτῶν ἐθαύμασε. καὶ ὁ μὲν
πρεσβύτατος τῶν σοφιστῶν, ὅτου ὁμιλη-
ταὶ οἱ ἄλλοι ἦσαν, δάνδαμις ὄνομα, οὔτε
αὐτὸς ἔφη παρ' ἀλέξανδρον ἥξειν, οὔτε τοὺς
ἄλλους εἴα. ἀλλ' ἀποκρίνασθαι γὰρ λέγεται,
ὡς διὸς υἱὸς καὶ αὐτὸς εἴη, εἴπερ οὖν καὶ ἀλέ-
ξανδρος, καὶ ὅτι οὔτε δέοιτό του τῶν παρ'
ἀλεξάνδρου. ἔχει γὰρ οἱ εὖ τὰ παρόντα.
καὶ ἅμα ὁρᾶν τοὺς ξὺν αὐτῷ πλανωμένους
τοσαύτην γῆν καὶ θάλασσαν ἐπ' ἀγαθῷ
οὐδενὶ, μήτε πέρας τι αὐτοῖς γινόμενον
τῶν πολλῶν πλανῶν· οὔτ' οὖν ποθεῖν τι αὐ-
τὸς, ὅτου κύριος ἦν ἀλέξανδρος δοῦναι. οὔ-
τ' αὖ δεδιέναι, ὅτου κρατοίη ἐκεῖνος ὧν τὸ εἴρ-
γεσθαι. ζῶντι μὲν γάρ οἱ τὴν ἰνδῶν γῆν ἐξαρ-
κεῖν, φέρουσαν τὰ ὡραῖα· ἀποθανόντι δὲ,
ἀπαλλαγήσεσθαι οὐκ ἐπιεικοῦς ξυνοίκου
τοῦ σώματος. οὐκοῦν οὐδὲ ἀλέξανδρον ἐπι-
χειρῆσαι



χειρῆσαι βιάσασθαι, γνόντα ἐλεύθερον ὄν-
τα τὸν ἄνδρα. ἀλλὰ κάλανον γὰρ ἀναπει-
σθῆναι τῶν ταύτῃ σοφιστῶν, ὅν τινα μάλι-
στα δὴ αὐτοῦ ἀκρατέστερα μεγασθένης ἀνέγρα-
ψεν, αὐτοὺς τοὺς σοφιστὰς λέγειν κακίζοντα
τὸν κάλανον, ὅτι ἀπολιπὼν τὴν παρὰ σφί-
σιν εὐδαιμονίαν, ὁ δὲ, δεσπότην ἄλλον ἢ τὸν
θεὸν ἐθεράπευε. ταῦτα ἐγὼ ἀνέγραψα,
ὅτι καὶ ὑπὲρ καλάνου ἐχρῆν εἰπεῖν ἐν τῇ
περὶ ἀλεξάνδρου ξυγγραφῇ. μαλακισθῆ-
ναι γάρ τι τῷ σώματι τὸν κάλανον ἐν τῇ
περσίδι γῇ, οὔπω πρόσθεν νοσήσαντα. οὔ-
κουν οὐδὲ δίαιταν διαιτᾶσθαι θέλειν ἀρρώστου
ἀνδρὸς, ἀλλὰ εἰπεῖν γὰρ πρὸς ἀλέξανδρον,
καλῶς αὐτῷ ἔχειν ἐν τῷ τοιῷδε καταστρέ-
ψαι, πρίν τινος ἐς πεῖραν ἐλθεῖν παθήμα-
τος, ὅτι περ ἐξαναγκάσει αὐτὸν μεταβάλλειν
τὴν πρόσθεν δίαιταν. καὶ ἀλέξανδρον ἀντει-
πεῖν μὲν αὐτῷ ἐπὶ πολύ. ὡς δ' οὐχ ἡττησόμε-
νον ἑώρα, ἀλλὰ ἄλλως ἂν ἀπαλλαγέντα, εἰ
μή τις ταύτῃ ὑπείκοι. οὕτω δὴ ἀπήγγελλεν
αὐτὸς, κελεῦσαι ἀφθῆναι αὐτῷ πυρὰν, καὶ
ταύτης ἐπιμεληθῆναι πτολεμαῖον τὸν λάγου
τὸν

τὸν σωματοφύλακα. οἱ δὲ καὶ πομπήν τι-
να πομπεῦσαι καὶ αὐτοὶ λέγουσιν,
ἵππους τε καὶ ἄνδρας, τοὺς μὲν ὡπλισμέ-
νους, τοὺς δὲ θυμιάματα παντοῖα τῇ πυ-
ρᾷ ἐπιφέροντας. οἱ δὲ καὶ ἐκπώματα χρυ-
σᾶ καὶ ἀργυρᾶ, καὶ ἐσθῆτα βασιλικὴν λέ-
γουσιν ὅτι ἔφερον. αὐτῷ δὲ παρασκευα-
σθῆναι μὲν ἵππον, ὅτι βαδίσαι ἀδυνάτως
εἶχεν ὑπὸ τῆς νόσου. οὐ μὴν δυνηθῆναί γε,
οὐδὲ τοῦ ἵππου ἐπιβῆναι, ἀλλὰ ἐπὶ κλίνης
γὰρ κομισθῆναι φερόμενον, ἐστεφανωμένον
τε τῷ ἰνδῶν νόμῳ, καὶ ᾄδοντα τῇ ἰνδῶν
γλώσσῃ. οἱ δὲ ἰνδοὶ λέγουσιν, ὅτι ὕμνοι
θεῶν ἦσαν καὶ αὐτοῦ ἔπαινοι. καὶ τὸν μὲν
ἵππον τοῦτον ὅτου ἐπιβήσεσθαι ἔμελλε, βα-
σιλικὸν ὄντα τῶν νυσαίων, πρὶν ἀναβῆναι
ἐπὶ τὴν πυρὰν, λυσιμάχῳ χαρίσασθαι, τῶν
τινι θεραπευόντων αὐτὸν ἐπὶ σοφίᾳ. τῶν
δὲ δὴ ἐκπωμάτων ἢ στρωμάτων, ὅσα ἐμ-
βληθῆναι εἰς τὴν πυρὰν, κόσμον αὐτῷ τε-
τάχει ἀλέξανδρος, ἄλλα ἄλλοις δοῦναι
τῶν ἀμφ' αὐτόν. οὕτω δὴ ἐπιβάντα τῇ πυ-
ρᾷ, κατακλιθῆναι μὲν ἐν κόσμῳ, ὁρᾶσθαι
δὲ



δὲ πρὸς τῆς στρατιᾶς ξυμπάσης. ἀλεξάν-
δρῳ δὲ οὐκ ἐπιεικὲς φανῆναι τὸ θέαμα, ἐπὶ
φίλῳ ἀνδρὶ γιγνόμενον, ἀλλὰ τοῖς γὰρ ἄλ-
λοις θαῦμα παρασχέσθαι οὐδέν τι παρακι-
νήσαντα ἐν τῷ πυρὶ τοῦ σώματος. ὡς δὲ
τὸ πῦρ ἐς τὴν πυρὰν ἐνέβαλον, οἷς προσ-
τεταγμένον ἦν, τάς τε σάλπιγγας φθέγ-
ξασθαι λέγει νέαρχος. οὕτως ἀλέξανδρον
προστεταγμένον, καὶ τὴν στρατιὰν ἐπαλα-
λάξαι πᾶσαν, ὁποῖόν τι καὶ ἐς τὰς μά-
χας ἰοῦσα ἐπηλάλαζε· καὶ τοὺς ἐλέφαντας
συνεπηχῆσαι τὸ ὀξὺ καὶ πολεμικόν, τι-
μῶντας κάλανον. ταῦτα καὶ τοιαῦτα ὑπὲρ
καλάνου τοῦ ἰνδοῦ, ἱκανοὶ ἀναγεγράφα-
σιν, οὐκ ἀχρεῖα πάντα ἐς ἀνθρώπους, ὅτῳ
γνῶναι ἐπιμελὲς· ὅτι ὡς καρτερόν τε ἐστὶ
καὶ ἀνίκητον γνώμη ἀνθρωπίνη, ὅτι περ
ἐθέλοι ἐξεργάσασθαι. ἐν τούτῳ δὲ ἀλέξαν-
δρος ἀτροπάτην μὲν ἐπὶ τὴν αὐτοῦ σατρα-
πείαν ἐκπέμπει, παρελθὼν ἐς σοῦσα· ἀ-
βουλίτην δὲ, καὶ τὸν τούτου παῖδα ὀξά-
θρην, ὅτι κακῶς ἐπεμελεῖτο τῶν σουσίων,
συλλαβὼν ἀπέκτεινε. πολλὰ μὲν δὴ πε-
πλημ

πλημμελῶν ἐκ τῶν κατεχόντων τὰς χώρας, ὅσαι δορύκτηται πρὸς ἀλεξάνδρου ἐγένοντο. ἐς τε τὰ ἱερὰ καὶ τάφους, καὶ αὐτοὺς τοὺς ὑπηκόους, ὅτι χρόνιος ὁ εἰς ἰνδοὺς στόλος ἐγεγένητο τῷ βασιλεῖ. καὶ οὐ πιστὸν ἐφαίνετο ἀπονοστήσειν αὐτὸν, ἐκ τοσῶνδε ἐθνῶν, καὶ τοσῶνδε ἐλεφάντων, ὑπὲρ τὸν ἰνδὸν τε καὶ ὑδάσπην, καὶ τὸν ἀκεσίνην καὶ ὕφασιν φθειρόμενον. καὶ αἱ ἐν γαδρωσίοις δὲ αὐτῷ ξυμφοραὶ ξυνενεχθεῖσαι, ἔτι μᾶλλον ἐπῆραν τοὺς ἐν ταύτῃ σατραπεύοντας, καὶ καταφρονῆσαι αὐτοῦ τῆς οἴκοι ἀπονοστήσεως. οὐ μὴν ἀλλὰ καὶ αὐτὸς ἀλέξανδρος ὀξύτερος λέγεται γενέσθαι ἐν τῷ τότε, ἐς τὸ πιστεῦσαί τε τοῖς ἐπικαλουμένοις, ὡς πιθανοῖς δὴ ἐν παντὶ οὖσιν. καὶ ἐπὶ τὸ τιμωρήσασθαι μεγάλως, καὶ ἐπὶ μικροῖς ἐξελεγχθέντας, ὅτι καὶ τὰ μεγάλα ἂν ἐδόκουν αὐτοὶ τῇ αὐτῇ γνώμῃ ἐξεργάσασθαι. ὁ δὲ καὶ γάμους ἐποίησεν ἐν σούσοις, αὐτοῦ τε καὶ τῶν ἑταίρων· αὐτὸς μὲν τῶν δαρείου θυγατέρων τὴν πρεσβυτάτην βαρσίνην ἠγάγετο. ὡς δὲ λέγει ἀριστόβουλος, καὶ ἄλλην

πρὸς



πρὸς ταύτῃ τὴν ὤχου θυγατέρων τὴν νεωτάτην, παρυσάτιν. ἤδη δὲ ἦν αὐτῷ ἠγμένη καὶ ἡ ὀξυάρτου τοῦ βακτρίου παῖς, ῥωξάνη. δρύπετιν δὲ ἡφαιστίωνι δίδωσι, δαρείου παῖδα, καὶ ταύτην ἀδελφὴν τῆς αὐτοῦ γυναικός. ἐθέλειν γάρ οἱ ἀνεψιοὺς τῶν παίδων γενέσθαι τοὺς ἡφαιστίωνος παῖδας· κρατερῷ δὲ ἀμαστρίνην, τὴν ὀξυάρτου τοῦ δαρείου ἀδελφοῦ παῖδα· περδίκκᾳ δὲ τὴν ἀτροπάτου τοῦ μηδίας σατράπου παῖδα ἔδωκε· πτολεμαίῳ δὲ τῷ σωματοφύλακι, καὶ εὐμενεῖ τῷ γραμματεῖ τῷ βασιλικῷ, τὰς ἀρταβάζου παῖδας· τῷ μὲν ἀρτακάμαν, τῷ δὲ ἄρτωνιν. νεάρχῳ δὲ τὴν σπιταμένους τοῦ βακτρίου παῖδα. ὡσαύτως δὲ καὶ τοῖς ἄλλοις ἑταίροις, τὰς δοκιμωτάτας περσῶν τε καὶ μήδων παῖδας, ἐς ὀγδοήκοντα. οἱ γάμοι δὲ ἐποιήθησαν νόμῳ τῷ περσικῷ. θρόνοι ἐτέθησαν τοῖς νυμφίοις ἐφεξῆς, καὶ μετὰ τὸν πότον ἧκον αἱ γαμούμεναι, καὶ παρεκαθέζοντο ἑκάστη τῷ ἑαυτῆς. οἱ δὲ ἐδεξιώσαντό τε αὐτὰς, καὶ ἐφίλησαν. πρῶτος δὲ ὁ βασιλεὺς ἦρξεν.

ἐν

ἐν τῷ αὐτῷ γὰρ πάντων ἐγίγνοντο οἱ γάμοι. καὶ τοῦτο, εἴπερ τι ἄλλο, ἔδοξε δημοτικόν τε καὶ φιλέταιρον πρᾶξαι Ἀλέξανδρος. οἱ δὲ παραλαβόντες, ἀπῆγον τὴν ἑαυτοῦ ἕκαστος. προῖκας δὲ ξυμπάσαις ἐπέδωκεν Ἀλέξανδρος. καὶ ὅσοι δὲ ἄλλοι ἠγμένοι ἦσαν Μακεδόνων, τῶν Ἀσιανῶν τινας γυναικῶν, ἀπογραφῆναι ἐκέλευσε καὶ τούτων τὰ ὀνόματα. καὶ ἐγένοντο ὑπὲρ τοὺς μυρίους. καὶ τούτοις δωρεαὶ Ἀλεξάνδρου ἐδόθησαν ἐπὶ τοῖς γάμοις. καὶ τὰ χρέα ἐπιλύσασθαι τῆς στρατιᾶς, ὅσοις χρέα ἦν ἐν καιρῷ οἱ ἔδοξε. καὶ κελεύει ἀπογράφεσθαι ὁπόσον ὀφείλει ἕκαστος, ὡς ληψομένους. καὶ τὰ μὲν πρῶτα ὀλίγοι ἀπέγραψαν σφῶν τὰ ὀνόματα, δεδιότες ἐξ Ἀλεξάνδρου μὴ πεῖρα αὕτη εἴη καθεστηκυῖα, ὅτῳ οὐκ ἀποχρῶσα ἡ μισθοφορὰ τῶν στρατιωτῶν ἐστι, καὶ ὅτῳ πολυτελὴς ἡ δίαιτα. ὡς δὲ ἐξηγγέλλετο, ὅτι οὐκ ἀπογράφουσι σφᾶς οἱ πολλοί, ἀλλ' ἐπικρύπτουσιν, ὅτῳ τι εἴη συμβόλαιον, τὴν μὲν ἀπιστίαν τῶν στρατιωτῶν ἐκάκισεν. οὐ γὰρ χρῆναι οὔτ' οὖν τὸν βασιλέα ἄλλο τι ἢ ἀλη-



θεύειν πρὸς τοὺς ὑπηκόους, οὔτε τῶν ἀρχομένων τινά, ἀλλ' ὅτι ἢ ἀληθεύειν δοκεῖν τὸν βασιλέα. καταθεὶς δὲ τραπέζας ἐν τῷ στρατοπέδῳ, καὶ ἐπὶ τούτων χρυσίον, καὶ τοὺς ἐπιμελησομένους τῆς δόσεως ἑκάστοις ὅστις συμβόλαιον ἐπεδείκνυτο, ἐπιλύεσθαι τὰ χρέα ἐκέλευεν, οὐκ ἀπογραφομένους ἔτι τὰ ὀνόματα. καὶ οὕτω δὴ ἐπίστευσάν τε ἀληθεύειν Ἀλέξανδρον, καὶ σὺν χάριτι μείζονι ἐγίγνετο αὐτοῖς τὸ μὴ γνωσθῆναι μᾶλλόν τι, ἢ τὸ παύσασθαι ὀφείλοντας. λέγεται δὲ γενέσθαι ἡ δόσις αὕτη τῇ στρατιᾷ ἐς τάλαντα δισμύρια. ἔδωκε δὲ καὶ δῶρα ἄλλοις ἄλλα, ὅπως τις κατ' ἀξίωσιν ἐτιμᾶτο, ἢ κατ' ἀρετὴν εἴ τις ἐπιφανὴς ἐγεγόνει ἐν τοῖς κινδύνοις. καὶ ἐστεφάνωσε χρυσοῖς στεφάνοις τοὺς ἀνδραγαθίᾳ διαπρέποντας· πρῶτον μὲν Πευκέσταν τὸν ὑπερασπίσαντα, ἔπειτα Λεοννάτον, καὶ τοῦτον ὑπερασπίσαντα. καὶ διὰ τοὺς ἐν Ἰνδοῖς κινδύνους καὶ τὴν ἐν Ὤροις νίκην γενομένην, ὅτι παραταξάμενος σὺν τῇ ὑπολειφθείσῃ δυνάμει πρὸς τοὺς νεωτερίζοντας τῶν τε Ὠρειτῶν καὶ

τῶν πλησίον χώρας ᾠκισμένων, τῇ τε μάχῃ ἐκράτησε, καὶ τ᾽ ἄλλα καλῶς ἔδοξε τὰ ἐν ὠρείταις κοσμῆσαι. ἐπὶ τούτοις δὲ, νέαρχον ἐπὶ τῷ περίπλῳ τῷ ἐκ τῆς ἰνδῶν γῆς κατὰ τὴν μεγάλην θάλασσαν, ἐστεφάνωσε. καὶ γὰρ καὶ οὗτος ἀφιγμένος ἐν σούσοις ἦν ἤδη. ἐπὶ τούτοις δὲ, ὀνησίκριτον τὸν κυβερνήτην τῆς νεὼς τῆς βασιλικῆς, ἔτι δὲ ἡφαιστίωνα, καὶ τοὺς ἄλλους τοὺς σωματοφύλακας. ἧκον δὲ αὐτῷ καὶ οἱ σατράπαι, οἱ ἐκ τῶν πόλεών τε τῶν νεοκτίστων, καὶ τῆς ἄλλης γῆς τῆς δορυαλώτου, παῖδας ἡβάσκοντας ἤδη ἐς τρισμυρίους ἄγοντες, τὴν αὐτὴν ἡλικίαν γεγονότας, οὓς καὶ ἐπιγόνους ἐκάλει ἀλέξανδρος. κεκοσμημένους μακεδονικοῖς ὅπλοις, καὶ τὰ πολέμια ἐς τὸν τρόπον τὸν μακεδονικὸν ἠσκημένους. καὶ οὗτοι ἀφικόμενοι λέγονται ἀνιᾶσαι μακεδόνας, ὡς πάντη ἤδη μηχανωμένου ἀλεξάνδρου, ὑπὲρ τοῦ μηκέτι ὡσαύτως δεῖσθαι μακεδόνων. εἶναι γὰρ οὖν καὶ μηδικὴν τὴν ἀλεξάνδρου στολὴν, ἄλγος οὐ σμικρὸν μακεδόσιν ὁρωμένην, καὶ τοὺς γάμους ἐν τῷ νόμῳ τῷ περ-



σικῷ ποιηθέντας, οὐ προθύμως γενέσθαι τοῖς πολλοῖς αὐτῶν, οὐδὲ τῶν γημάντων ἔστιν οἷς. καίτοι τῇ ἰσότητι τῇ ἐς τὸν βασιλέα μεγάλως τετιμημένοις, πευκέστας τε ὁ περσῶν σατράπης τῇ τε σκευῇ καὶ τῇ φωνῇ περσίζων, ἐλύπει αὐτοὺς, ὅτι τῷ βαρβαρισμῷ αὐτοῦ ἔχαιρεν ἀλέξανδρος, καὶ οἱ βακτρίων δὲ καὶ οἱ σογδιανῶν καὶ ἀραχωτῶν ἱππεῖς, καὶ ζαράγγων δὲ καὶ ἀρείων, καὶ παρθυαίων, καὶ ἐκ περσῶν οἱ εὐάκαι καλούμενοι ἱππεῖς, καταλοχισθέντες ἐς τὴν ἵππον τὴν ἑταιρικὴν, ὅσοι αὐτῶν κατ᾽ ἀξίωσιν καὶ κάλλει τοῦ σώματος ἢ τῇ ἄλλῃ ἀρετῇ ὑπερφαίνοντες ἐφαίνοντο. καὶ πέμπει ἐπὶ τούτοις ἱππαρχία προσγενομένη οὐ βαρβαρικὴ ἡ πᾶσα, ἀλλὰ ἐπαυξηθέντος γὰρ τοῦ παντὸς ἱππικοῦ, κατελέγησαν ἐς αὐτὸ τῶν βαρβάρων. τῷ, τε ἀγήματι προσκαταλεγέντες, κώφης τε ὁ ἀρταβάζου, καὶ ὑδάρνης, καὶ ἀρτιβόλης, οἱ μαζαίου καὶ φραδασμένης, καὶ οἱ φραταφέρνου τοῦ παρθυαίων καὶ ὑρκανίας σατράπου παῖδες. καὶ ἰτάνης ὀξυάρτου μὲν παῖς, ῥωξάνης δὲ τῆς γυναικὸς ἀλεξάνδρου

ἀδελφός. καὶ αἰγοβάρης, καὶ ὁ τούτου ἀδελφὸς μιθροβαῖος. καὶ ἡγεμὼν ἐπὶ τούτοις ἐπισταθεὶς, ὑστάσπης ὁ βάκτριος. καὶ τούτοις δόρατα μακεδονικὰ ἀντὶ τῶν βαρβαρικῶν μεσαγκύλων δοθέντα. ταῦτα πάντα ἐλύπει τοὺς μακεδόνας, ὡς πάντη δὴ βαρβαρίζοντος τῇ γνώμῃ ἀλεξάνδρου. τὰ δὲ μακεδονικὰ νόμιμά τε καὶ αὐτοὺς μακεδόνας, ἐν ἀτίμῳ χώρᾳ ἄγοντος. ἀλέξανδρος δὲ, τὴν μὲν πεζὴν στρατιὰν τὴν πολλὴν ἡφαιστίωνα ἄγειν ἐκέλευσεν, ἐς τε ἐπὶ τὴν θάλασσαν τὴν περσικήν. αὐτὸς δὲ, ἀναπλεύσαντος αὐτῷ τοῦ ναυτικοῦ ἐν τὴν σουσίαν γῆν, ἐπιβὰς τῶν νεῶν ξὺν τοῖς ὑπασπισταῖς τε καὶ τῷ ἀγήματι, καὶ τῶν ἱππέων τῶν ἑταίρων ἀναβιβασάμενος οὐ πολλοὺς, κατέπλει κατὰ τὸν εὐλαῖον ποταμὸν ὡς ἐπὶ θάλασσαν. ἤδη δὲ πλησίον ὢν τῆς ἐκβολῆς τῆς ἐν τὸν πόντον, τὰς μὲν πλείονάς τε καὶ πεπονηκυίας τῶν νεῶν καταλείπει αὐτοῦ. αὐτὸς δὲ ταῖς μάλιστα ταχυναυτούσαις παρέπλει ἐκ τοῦ εὐλαίου ποταμοῦ κατὰ τὴν θάλασσαν, ὡς ἐπὶ τὰς ἐκβολὰς τοῦ τίγρητος.



τος. αἱ δὲ ἄλλαι αὐτῷ νῆες ἀνακομισθεῖσαι κατὰ τὸν εὐλαῖον ἐς τε ἐπὶ τὴν διώρυχα, ἣ τέτμηται ἐκ τοῦ τίγρητος ἐς τὸν εὐλαῖον, ταύτῃ διεκομίσθησαν ἐς τὸν τίγρητα. τῶν γὰρ δὴ ποταμῶν τοῦ τε εὐφράτου καὶ τοῦ τίγρητος, οἳ τὴν μέσην σφῶν ἀσσυρίαν ἀπεργουσιν, ὅθεν καὶ τὸ ὄνομα μεσοποταμία πρὸς τῶν ἐπιχωρίων κληΐζεται. ὁ μὲν τίγρης πολύ τι ταπεινότερος ῥέων τοῦ εὐφράτου, διώρυχάς τε πολλὰς ἐκ τοῦ εὐφράτου ἐς αὐτὸν δέχεται, καὶ πολλοὺς ἄλλους ποταμοὺς παραλαβὼν, καὶ ἐξ αὐτῶν αὐξηθεὶς, ἐσβάλλει ἐς τὸν πόντον τὸν περσικὸν, μέγας τε καὶ οὐδαμοῦ διαβατὸς ἔς τε ἐπὶ τὴν ἐκβολὴν, καθότι οὐ καταναλίσκεται αὐτοῦ οὐδὲν ἐς τὴν χώραν. ἔστι γὰρ μετεωροτέρα ἡ ταύτῃ γῆ τοῦ ὕδατος. οὐδὲ ἐκδίδωσιν οὗτος κατὰ τὰς διώρυχας, οὐδὲ ἐς ἄλλον ποταμόν. ἀλλὰ δέχεται γὰρ ἐκείνους μᾶλλον, ἄρδεσθαί τε ἀπ' αὐτοῦ τὴν χώραν οὐδαμῇ παρέχει. ὁ δὲ εὐφράτης μετέωρός τε ῥεῖ καὶ ἰσοχειλὴς πανταχῇ τῇ γῇ, καὶ διώρυχές τε πολλαὶ ἀπ' αὐτοῦ πε-

ποιοῦνται. αἱ μὲν ἀέναοι, ἀφ' ὧν ὑδρεύονται παρ' ἑκάτερα ᾠκισμένοι. τὰς δὲ καὶ πρὸς καιρὸν ποιοῦνται, ὁπότε σφίσιν ὕδατος ἐνδεῶς ἔχει, ἐς τὴν ἐπάρδειαν τῆς χώρας. οὐ γὰρ ὕεται τὸ πολὺ ἡ γῆ αὕτη ἐξ οὐρανοῦ, καὶ οὕτως ἐς οὐ πολὺ ὕδωρ ὁ εὐφράτης, τελευτῶν καὶ τεναγώδης ἐς τοῦτο, οὕτως ἀποπαύεται. ἀλέξανδρος δὲ περιπλεύσας κατὰ τὴν θάλασσαν ὅσον μεταξὺ τοῦ τε εὐλαίου ποταμοῦ καὶ τοῦ τίγρητος ἐπέχει ὁ αἰγιαλὸς τοῦ κόλπου τοῦ περσικοῦ, ἀνέπλει κατὰ τὸν τίγρητα ἔς τε ἐπὶ τὸ στρατόπεδον, ἵνα ἡφαιστίων αὐτῷ τὴν δύναμιν πᾶσαν ἔχων ἐστρατοπεδεύκει. ἐκεῖθεν δὲ αὖθις ἔπλει ἐς ὦπιν, πόλιν ἐπὶ τοῦ τίγρητος ᾠκισμένην. ἐν δὲ τῷ ἀνάπλῳ, τοὺς καταῤῥάκτας τοὺς κατὰ τὸν ποταμὸν ἀφανίζων, ὁμαλὸν πάντῃ ἐποίει τὸν ῥοῦν, οἳ δὴ ἐκ περσῶν πεποιημένοι ἦσαν, τοῦ μή τινα ἀπὸ θαλάσσης ἀναπλεῦσαι ἐς τὴν χώραν αὐτῶν νηίτῃ στόλῳ κρατήσαντα. ταῦτα δὲ μεμηχάνητο, ἅτε δὴ οὐ ναυτικοῖς τοῖς πέρσαις. οὕτω δὴ συνεχεῖς οἱ καταῤῥάκται πε-





ποιημένοι, ἄπορον τὸν ἀνάπλουν ἐποίουν τὸν κατὰ τὸν τίγρητα. ἀλέξανδρος δὲ οὐκ ἔφη τῶν κρατούντων τοῖς ὅπλοις εἶναι τὰ τοιαῦτα σοφίσματα. οὔκουν πρὸς αὐτοῦ ἐποιεῖτο ταύτην τὴν ἀσφάλειαν, ἥν τινα ἔργῳ οὐδὲ λόγου ἀξίαν ἀπέφηνε, οὐ χαλεπῶς διακόψας τῶν περσῶν τὰ σπουδάσματα. ὡς δὲ ἐς τὴν ὦπιν ἀφίκετο, συναγαγὼν τοὺς μακεδόνας, προεῖπεν, ὅτι τοὺς ὑπὸ γήρως ἢ πηρώσεως τοῦ σώματος ἀχρείους ἐς τὰ πολέμια ὄντας, παραλύει μὲν τῆς στρατιᾶς· ἀποπέμπει δὲ ἐς τὰ σφέτερα ἤθη. ἐπιδώσει δὲ μένουσιν, ὅσα αὐτούς τε ζηλωτέρους ποιήσει τοῖς οἴκοι, καὶ τοὺς ἄλλους μακεδόνας ἐξορμήσει ἐς τὸ θέλειν τῶν αὐτῶν κινδύνων τε καὶ πόνων μετέχειν. ἀλέξανδρος μὲν ὡς χαριούμενος δῆθεν τοῖς μακεδόσι, ταῦτα ἔλεγεν. οἱ δέ, ὡς ὑπερορώμενοί τε ἤδη πρὸς ἀλεξάνδρου, καὶ ἀχρεῖοι πάντῃ ἐς τὰ πολέμια νομιζόμενοι, οὐκ ἀλόγως αὖ τῷ λόγῳ ἠχθέσθησαν, τῷ πρὸς ἀλεξάνδρου λεχθέντι κατὰ τὴν στρατιὰν ταύτην πᾶσαν. πολλοῖς καὶ ἄλλοις ἀχθεσθέντες, ὅτι πολλάκις

ἤδη ἐλύπει αὐτοὺς ἥ, τε ἐσθὴς ἡ περσικὴ ἐς
τοῦτο φέρουσα, καὶ τῶν ἐπιγόνων τῶν βαρβά-
ρων τὰ μακεδονικὰ ἤθη, κόσμησις καὶ ἀνα-
μιξις τῶν ἀλλοφύλων ἱππέων, ἐς τὰς τῶν
ἑταίρων τάξεις. οὔκουν σιγῇ ἔχοντες ἐκαρ-
τέρησαν, ἀλλὰ πάντας γὰρ ἀπαλλάττειν
τῆς στρατιᾶς ἐκέλευον, αὐτὸν δὲ μετὰ τοῦ
πατρὸς στρατεύεσθαι, τὸν ἄμμωνα δὴ τῷ
λόγῳ ἐπικερτομοῦντες. ταῦτα ἀκούσας
ἀλέξανδρος (ἦν γὰρ δὴ ὀξύτερός τε ἐν τῷ
τότε, καὶ ἀπὸ τῆς βαρβαρικῆς θεραπείας
οὐκέτι ὡς πάλαι ἐπιεικὴς ἐς τοὺς μακεδό-
νας) καταπηδήσας σὺν τοῖς ἀμφ' αὐτὸν
ἡγεμόσιν ἀπὸ τοῦ βήματος, ξυλλαβεῖν τοὺς
ἐπιφανεστάτους τῶν ταραξάντων τὸ πλῆ-
θος κελεύει· αὐτὸς τῇ χειρὶ δεικνύων τοῖς
ὑπασπισταῖς, οὕς τινας χρὴ συλλαμβάνειν,
καὶ ἐγένοντο οὗτοι ἐς τρεῖς καὶ δέκα. τού-
τους μὲν δὴ ἀπάγειν κελεύει τὴν ἐπὶ θανα-
τον. ὡς δὲ κατεσιώπησαν οἱ ἄλλοι ἐκπλα-
γέντες, ἀναβὰς αὖθις ἐπὶ τὸ βῆμα, ἔλεξεν
ὧδε. Οὐχ ὑπὲρ τοῦ καταπαῦσαι ὑμῶν
τὴν οἴκαδε ὁρμὴν ὦ μακεδόνες, λεχθήσε-
ταί



ταί μοι ὁ λόγος. ἔξεστι γὰρ ὑμῖν ἀπιέναι,
ὅποι βούλεσθε, ἐμοῦ γε ἕνεκα. ἀλλ' ὡς γνῶ-
ναι ὑμᾶς, πρὸς ὁποίους τινὰς ὑμᾶς ὄντας,
ὁποῖοί τινες αὐτοὶ γενόμενοι ἀπαλλάσσε-
σθε. καὶ πρῶτά γε ἀπὸ Φιλίππου τοῦ πα-
τρός, ἧπερ καὶ εἰκὸς τοῦ λόγου ἄρξομαι. Φί-
λιππος γὰρ παραλαβὼν ὑμᾶς πλανήτας
καὶ ἀπόρους, ἐν διφθέραις τοὺς πολλοὺς νέ-
μοντας ἀνὰ τὰ ὄρη πρόβατα ὀλίγα, καὶ
ὑπὲρ τούτων κακῶς μαχομένους ἰλλυριοῖς
τε καὶ τριβαλλοῖς, καὶ τοῖς ὁμόροις θρᾳξί,
χλαμύδας μὲν ὑμῖν ἀντὶ τῶν διφθέρων φο-
ρεῖν ἔδωκε, κατήγαγε δὲ ἐκ τῶν ὀρῶν ἐς τὰ
πεδία, ἀξιομάχους καταστήσας τοῖς προσ-
χώροις τῶν βαρβάρων, ὡς μὴ χωρίων ἔτι ὀ-
χυρότητι πιστεύοντας μᾶλλον, ἢ τῇ οἰκείᾳ
ἀρετῇ σώζεσθαι, πόλεών τε οἰκήτορας ἀπέ-
φηνε, καὶ νόμοις καὶ ἤθεσι χρηστοῖς ἐκόσμη-
σεν· αὐτῶν δὲ ἐκείνων τῶν βαρβάρων, ὑφ' ὧν
πρόσθεν ἤγεσθε καὶ ἐφέρεσθε αὐτοί τε καὶ
τὰ ὑμέτερα, ἡγεμόνας κατέστησεν, ἐκ δού-
λων καὶ ὑπηκόων. καὶ τῆς θρᾴκης τὰ πολ-
λὰ, τῇ μακεδονίᾳ προσέθηκε, καὶ τῶν ἐπὶ θα-
λάττῃ

λαδὴ χωρίων τὰ ἐπικαιρότατα καταλα-
βόμενος, τὴν ἐμπορίαν τῇ χώρᾳ ἀνεπέτα-
σε, καὶ τῶν μετάλλων τὴν ἐργασίαν ἀδεᾶ
παρέσχε. θεσσαλῶν δὲ ἄρχοντας, οὓς πά-
λαι ἐτεθνήκειτε τῷ δέει, ἀπέφηνε. καὶ τὸ
φωκέων ἔθνος ταπεινώσας, τὴν ἐς τὴν ἑλ-
λάδα πάροδον πλατεῖαν καὶ εὔπορον, ἀν-
τὶ στενῆς τε καὶ ἀπόρου, ὑμῖν ἐποίησεν. ἀθη-
ναίους τε καὶ θηβαίους ἐφεδρεύοντας ἀεὶ
τῇ μακεδονίᾳ ἐς τοσόνδε ἐταπείνωσεν, ἤ-
δη ταῦτά γε καὶ ἡμῶν αὐτῷ ξυμπονούν-
των, ὡς ἀντὶ τοῦ φόρους τελεῖν ἀθηναίοις
καὶ ὑπακούειν θηβαίων, παρ᾽ ἡμῶν ἐν τῷ
μέρει ἐκείνους τὴν ἀσφάλειαν σφίσι πο-
ρίζεσθαι. ἐς πελοπόννησον δὲ παρελθὼν,
τὰ ἐκεῖ αὖ ἐκόσμησε. καὶ ἡγεμὼν αὐτοκρά-
τωρ συμπάσης τῆς ἄλλης ἑλλάδος ἀπο-
δειχθεὶς, τῆς ἐπὶ τὸν πέρσην στρατιᾶς, οὐχ
ἑαυτῷ μᾶλλόν τι τὴν δόξαν τήνδε, ἢ τῷ κοι-
νῷ τῶν μακεδόνων προσέθηκε. ταῦτα μὲν τὰ
ἐκ τοῦ πατρὸς τοῦ ἐμοῦ ἐς ὑμᾶς ὑπηργμέ-
να. ὡς μὲν αὐτὰ ἐφ᾽ ἑαυτῶν σκέψασθαι, με-
γάλα· μικρὰ δὲ, ὥς γε δὴ πρὸς τὰ ἡμέτερα

ξυμ



ξυμβαλεῖν. ὃς παραλαβὼν παρὰ τοῦ πα-
τρὸς χρυσᾶ μὲν καὶ ἀργυρᾶ ἐκπώματα
ὀλίγα, τάλαντα δὲ οὐδὲ ἑξήκοντα ἐν τοῖς
θησαυροῖς, χρεῶν δὲ ὀφειλόμενα ὑπὸ φι-
λίππου ἐς πεντακόσια τάλαντα, δανει-
σάμενος ἐπὶ τούτοις αὐτὸς, ἄλλα ὀκτακό-
σια, ὁρμηθεὶς ἐκ τῆς χώρας τῆς γε οὐδὲ ὑ-
μᾶς αὐτοὺς βοσκούσης καλῶς, εὐθὺς μὲν τοῦ
ἑλλησπόντου ὑμῖν τὸν πόρον θαλασσοκρα-
τούντων τότε περσῶν, ἀνεπέτασα. κρατή-
σας δὲ τῇ ἵππῳ τοὺς σατράπας τοῦ δαρείου,
τήν τε ἰωνίαν πᾶσαν τῇ ὑμετέρᾳ ἀρχῇ προσ-
έθηκα, καὶ τὴν αἰολίδα πᾶσαν, καὶ φρύ-
γας ἀμφοτέρους, καὶ λυδοὺς, καὶ μίλητον
εἷλον πολιορκίᾳ. τὰ δὲ ἄλλα πάντα ἑκόν-
τα προσχωρήσαντα λαβὼν, ὑμῖν καρποῦσθαι
ἔδωκα. καὶ τὰ ἐξ αἰγύπτου καὶ κυρήνης ἀγαθὰ,
ὅσα ἀμαχεὶ ἐκτησάμην, ὑμῖν ἔρχεται. ἥ, τε κοί-
λη συρία, καὶ ἡ παλαιστίνη, καὶ ἡ μέση τῶν πο-
ταμῶν, ὑμέτερον κτῆμά εἰσι. καὶ βαβυλὼν,
καὶ βάκτρα, καὶ σοῦσα, ὑμέτερα. καὶ ὁ λυδῶν
πλοῦτος, καὶ οἱ περσῶν θησαυροὶ, καὶ τὰ ἰνδῶν
ἀγαθὰ, καὶ ἡ ἔξω θάλασσα, ὑμέτερα. ὑμεῖς

σατράπαι

σατράπαι, ὑμεῖς στρατηγοί, ὑμεῖς ταξιάρ-
χαι. ὡς ἔμοιγε αὐτῷ τί περίεστιν ἀπὸ τού-
των τῶν πόνων, ὅτι μὴ αὕτη ἡ πορφύρα, καὶ
τὸ διάδημα τοῦτο; κέκτημαι δὲ ἰδίᾳ οὐδέν,
οὐδὲ ἔχει τις ἀποδεῖξαι θησαυροὺς ἐμούς,
ὅτι μὴ ταῦτα ὑμέτερα κτήματα, ἢ ὅσα ἕνε-
κα ὑμῶν φυλάττεται· ἐπεὶ οὐδὲ ἔστιν ἰδίᾳ
μοι, ἐς ὅτι φυλάξω αὐτούς, σιτουμένῳ τε τὰ
αὐτὰ ὑμῖν σιτία, καὶ ὕπνον τὸν αὐτὸν αἱ-
ρουμένῳ. καίτοι οὐδὲ σιτία ἐμοὶ δοκῶ τὰ
αὐτὰ τοῖς τρυφῶσιν ὑμῶν σιτεῖσθαι. προα-
γρυπνῶν δὲ ὑμῶν οἶδα, ὡς καθεύδειν ἔχοι-
τε ὑμεῖς. ἀλλὰ ταῦτα γὰρ ὑμῶν πονούντων
καὶ ταλαιπορουμένων, ἐκτησάμην αὐτὸς
ἀπόνως καὶ ἀταλαιπώρως ἐξηγούμενος.
καὶ τίς ὑμῶν ἢ πονήσας οἶδεν ἐμοῦ μᾶλ-
λον, ἢ ἐγὼ ὑπὲρ ἐκείνου; ἄγε δὴ καὶ ὅτῳ
τραύματα ὑμῶν ἐστι, γυμνώσας αὐτὰ ἐπι-
δειξάτω, καὶ ἐγὼ τὰ ἐμὰ ἐπιδείξω ἐν μέ-
ρει, ὡς ἔμοιγε οὐκ ἔστιν ὅτι τοῦ σώματος τῶν
γε δὴ ἔμπροσθεν μερῶν ἄτρωτον ὑπολέ-
λειπται. οὐδὲ ὅπλον τι ἔστιν ἢ ἐκ χειρός, ἢ τῶν
ἀφιεμένων, οὗ γε οὐκ ἴχνη ἐν ἐμαυτῷ φέ-

ρω.



ρω. ἀλλὰ καὶ ξίφει ἐκ χειρὸς τέτρωμαι, καὶ
τετόξευμαι ἤδη, καὶ ἀπὸ μηχανῆς βέβλη-
μαι· καὶ λίθοις πολλαχῇ καὶ ξύλοις παιό-
μενος ὑπὲρ ὑμῶν, καὶ τῆς ὑμετέρας δόξης,
καὶ τοῦ ὑμετέρου πλούτου, νικῶντας ὑμᾶς
ἄγω, διὰ πάσης γῆς καὶ θαλάσσης, καὶ πάν-
των ποταμῶν καὶ ὀρῶν, καὶ πεδίων πάν-
των. γάμους τε ὑμῖν τοὺς αὐτοὺς γεγάμη-
κα. καὶ πολλῶν ὑμῶν οἱ παῖδες, συγγενεῖς
ἔσονται τοῖς παισὶ τοῖς ἐμοῖς. ἔτι τε ὧν χρέα
ἦν, οὐ πολυπραγμονήσας, ἐφ᾽ ὅτῳ ἐγένετο.
τοσαῦτα μὲν μισθοφορούντων, τοσαῦτα
δὲ ἁρπαζόντων, ὁπότε ἐκ πολιορκίας ἁρ-
παγὴ γίγνοιτο, διαλέλυμαι ταῦτα. στέφα-
νοί τε χρυσοῖ τοῖς πλείστοις ὑμῶν εἰσιν, μνη-
μεῖα τῆς τε ἀρετῆς τῆς ὑμετέρας, καὶ τῆς
ἐξ ἐμοῦ τιμῆς ἀθάνατα. ὅς τις δὲ δὴ καὶ
ἀπέθανε, εὐκλεὴς μὲν αὐτῷ ἡ τελευτὴ ἐ-
γένετο· περιφανὴς δὲ ὁ τάφος, χαλκαῖ δὲ
αἱ εἰκόνες τῶν πλείστων, οἴκοι ἑστᾶσιν. οἱ γο-
νεῖς δ᾽ ἔντιμοί εἰσι λειτουργίας τε ξυμπά-
σης, καὶ εἰσφορᾶς ἀπηλλαγμένοι. οὐ γὰρ
τις φεύγων ὑμῶν ἐτελεύτα, ἐμοῦ ἄγον-

τος.

τος. καὶ νῦν τοὺς ἀπολέμους ὑμῶν, ζηλω-
τοὺς τοῖς οἴκοι, ἀποπέμψειν ἔμελλον. ἀλλ'
ἐπειδὴ πάντες ἀπιέναι βούλεσθε, ἄπιτε
πάντες, καὶ ἀπελθόντες οἴκοι ἀπαγγείλα-
τε, ὅτι τὸν βασιλέα ὑμῶν ἀλέξανδρον, νι-
κῶντα μὲν πέρσας, καὶ μήδους, καὶ βακτρί-
ους, καὶ σάκας, καταστρεψάμενον δὲ οὐξί-
ους τε καὶ ἀραχώτας καὶ δράγγας, κεκτη-
μένον δὲ καὶ παρθυαίους, καὶ χορασμίους,
καὶ ὑρκανίους, ἔς τε ἐπὶ τὴν θάλασσαν τὴν
κασπίαν, ὑπερβάντα δὲ τὸν καύκασον ὑ-
πὲρ τὰς κασπίας πύλας, καὶ περάσαντα
ὄξον τε τὸν ποταμὸν, καὶ τάναϊν, ἔτι δὲ τὸν
ἰνδὸν ποταμὸν, οὐδενὶ ἄλλῳ ὅτι μὴ διονύ-
σῳ περαθέντα, καὶ τὸν ὑδάσπην, καὶ τὸν
ἀκεσίνην, καὶ τὸν ὑδραώτην, καὶ τὸν ὕφα-
σιν διαπεράσαντα ἄν, εἰ μὴ καὶ ὑμεῖς ἀπω-
κνήσατε, καὶ εἰς τὴν μεγάλην θάλασσαν,
κατ' ἀμφότερα τοῦ ἰνδοῦ τὰ στόματα ἐμβα-
λόντα, καὶ διὰ τῆς γαδρωσίας τῆς ἐρήμου
ἐλθόντα, ᾗ οὐδείς πω πρόσθεν ξὺν στρατιᾷ
ἦλθε, καὶ καρμανίαν ἐν παρόδῳ προσκτη-
σάμενον, καὶ τὴν ὠρειτῶν γῆν, περιπεπλευ-

κότος



κότος δὲ ἤδη αὐτῷ τοῦ ναυτικοῦ τὴν ἀπ'
ἰνδῶν γῆν εἰς περσῶν θάλασσαν, ὡς εἰς σοῦ-
σα ἐπανήγαγε, ἀπολιπόντες οἴχεσθε,
παραδόντες φυλάσσειν τοῖς νενικημένοις
βαρβάροις. ταῦτα ὑμῖν καὶ πρὸς ἀνθρώ-
πων ἴσως εὐκλεᾶ, καὶ πρὸς θεῶν ὅσια δή-
που ἔσται ἀπαγγελθέντα, ἄπιτε. Ταῦτα
εἰπὼν, κατεπήδησέ τε ἀπὸ τοῦ βήματος
ὀξέως, καὶ ἐς τὰ βασίλεια παρελθὼν, οὔτε
ἐθεράπευσε τὸ σῶμα, οὔτε τῳ ὤφθη τῶν
ἑταίρων. ἀλλ' οὐδὲ ἐς τὴν ὑστεραίαν ὤφθη.
τῇ τρίτῃ δὲ καλέσας εἴσω τῶν περσῶν τοὺς
ἐπιλέκτους, τάς τε ἡγεμονίας αὐτοῖς τῶν τά-
ξεων διένειμε. καὶ ὅσους συγγενεῖς ἀπέφηνε,
τούτοις δὲ νόμιμον ἐποίησε φιλεῖν αὐτὸν μό-
νοις. οἱ δὲ μακεδόνες ἔν τε τῷ παραυτίκα
ἀκούσαντες τῶν λόγων ἐκπεπληγμένοι, σι-
γῇ ἔμενον αὐτοῦ πρὸς τῷ βήματι οὐδέ τις
ἠκολούθησε τῷ βασιλεῖ ἀπαλλαττομένῳ, ὅτι
μὴ οἱ ἀμφ' αὐτὸν ἑταῖροί τε καὶ οἱ σωματο-
φύλακες. οἱ δὲ πολλοὶ, οὔτε μένοντες ὅ, τι
πράττωσιν ἢ λέγωσιν εἶχον, οὔτε ἀπαλλάσσε-
σθαι ἤθελον. ὡς δὲ τὰ περσῶν τε καὶ μήδων

αὐτοῖς

αὐτοῖς ἀπηγγέλλετο, αἵ τε ἡγεμονίαι πέρ-
σαις διδόμεναι, καὶ ἡ στρατιὰ ἡ βαρβαρικὴ
ἐς λόχους τε καταλεγομένη, καὶ τὰ μακεδο-
νικὰ ὀνόματα ἄγημά τι περσικὸν καλού-
μενον, καὶ πεζέταιροι πέρσαι, καὶ ἀθέται-
ροι ἄλλοι, καὶ ἀργυρασπίδων τάξις περσι-
κὴ, καὶ τῶν ἑταίρων ἵππος, καὶ ταύτης ἄλλο
ἄγημα βασιλικὸν, οὐκέτι καρτεροὶ σφῶν
ἦσαν· ἀλλὰ ξυνδραμόντες ὡς πρὸς τὰ βα-
σίλεια, τὰ μὲν ὅπλα αὐτοῦ πρὸ θυρῶν ἐῤῥί-
πτουν, ἱκετηρίας ταῦτα τῷ βασιλεῖ· αὐτοὶ
δ' ἐβόων πρὸ τῶν θυρῶν ἑστηκότες, δεόμε-
νοι παρελθεῖν εἴσω· τούς τε αἰτίους τῆς ἐν
τῷ τότε ταραχῆς, καὶ τοὺς ἄρξαντας τῆς
βοῆς, ἐκδιδόναι ἐθέλειν. οὔκουν ἀπαλλαγή-
σεσθαι τῶν θυρῶν, οὔτε ἡμέρας οὔτε νυκτὸς,
εἰ μή τινα οἶκτον σφῶν ἕξει ἀλέξανδρος.
ταῦτα ὡς ἀπηγγέλλετο αὐτῷ, σπουδῇ ἐξ-
έρχεται. καὶ ἰδὼν ταπεινῶς διακειμένους,
καὶ ἀκούσας σὺν οἰμωγῇ τῶν πολλῶν βοών-
των, καὶ αὐτῷ προχεῖται δάκρυα. καὶ ὁ μὲν
ἀνήγετο, ὥς τι ἐρῶν. οἱ δὲ, ἔμενον λιπαροῦν-
τες, καί τις αὐτῶν καθ' ἡλικίαν τε καὶ ἱπ-





παρχίαν τῆς ἵππου τῆς ἑταιρικῆς οὐκ ἀ-
φανὴς, καλλίνης ὄνομα, τοιαῦτα εἶπεν· ὦ
βασιλεῦ, τὰ λυποῦντά ἐστι μακεδόνας, ὅτι
σὺ περσῶν μέν τινας ἤδη πεποίησαι σαυ-
τῷ συγγενεῖς, καὶ καλοῦνται πέρσαι συγ-
γενεῖς ἀλεξάνδρου, καὶ φιλοῦσί σε. μακεδό-
νων δὲ, οὔπω τις γεύεται ταύτης τῆς τι-
μῆς. ἔνθα δὴ ὑπολαβὼν ἀλέξανδρος,
ἀλλ' ὑμᾶς τε (ἔφη) ξυμπάντας, ἐμαυτῷ
τίθεμαι συγγενεῖς. καὶ τό, γε ἀπὸ τούτου, οὕ-
τω καλέσω. ταῦτα εἰπόντα, προσελθὼν ὁ
καλλίνης τε ἐφίλησεν αὐτὸν, καὶ ὅς τις ἄλ-
λος φιλῆσαι ἤθελε. καὶ οὕτω δὴ ἀναλα-
βόντες τὰ ὅπλα, βοῶντές τε καὶ παιανί-
ζοντες, ἐς τὸ στρατόπεδον ἀπῄεσαν. ἀλέ-
ξανδρος δὲ ἐπὶ τούτοις θυσίαν τε ἐποίησε
τοῖς θεοῖς, οἷς αὐτῷ νόμος, καὶ θοίνην δη-
μοτελῆ ἐποίησε, καθήμενός τε αὐτὸς, καὶ
πάντων καθημένων ἀμφ' αὐτὸν μὲν μακε-
δόνων, ἐν δὲ τῷ ἐφεξῆς τούτων περσῶν,
ἐπί τε τούτοις τῶν ἄλλων ἐθνῶν ὅσοι κατ'
ἀξίωσιν, ἢ τινὰ ἄλλην ἀρετὴν προσβευό-
μενοι· καὶ ἀπὸ τοῦ κρατῆρος, αὐτός τε

καὶ οἱ περὶ αὐτὸν ἀρξάμενοι, ἔσπενδον τὰς αὐτὰς σπονδὰς, καταρχομένων τῶν τε ἑλλήνων μάντεων, καὶ τῶν μάγων. ηὔχετο δὲ τά τε ἄλλα ἀγαθὰ, καὶ ὁμόνοιάν τε καὶ κοινωνίαν τῆς ἀρχῆς, τοῖς τε μακεδόσι καὶ πέρσαις. εἶναι δὲ κατέχει λόγος τοὺς μετασχόντας τῆς θοίνης ἐννακισχιλίους, καὶ τούτους πάντας μίαν τε σπονδὴν σπεῖσαι, καὶ ἐπ᾽ αὐτῇ παιωνίσαι. ἔνθα δὴ ἐθελονταὶ ἤδη αὐτῷ ἀπῄεσαν τῶν μακεδόνων, ὅσοι διὰ γῆρας ἤ τινα ἄλλην συμφορὰν ἀπόλεμοι ἦσαν, καὶ οὗτοι αὐτῷ ἐγένοντο ἐς τοὺς μυρίους. τούτοις δὲ τήν τε μισθοφορὰν οὐ τοῦ ἐξήκοντος ἤδη χρόνου ἔδωκεν ἀλέξανδρος μόνον, ἀλλὰ καὶ τοῦ ἐς τὴν ἀπονόστησιν τὴν οἴκαδε ξυμβαίνοντος. ἐπέδωκε δὲ καὶ τάλαντον ἑκάστῳ, ὑπὲρ τὴν μισθοφορὰν. παῖδας δὲ, εἴ τῳ ἦσαν ἐκ τῶν ἀσιανῶν γυναικῶν, παρ᾽ οἷ καταλιπεῖν ἐκέλευσε, μὴ δὲ ςᾶσιν κατάγειν ἐς μακεδονίαν, ἀλλοφύλους τε, καὶ ἐκ τῶν βαρβάρων γυναικῶν παῖδας, τοῖς οἴκοι ὑπολελειμμένοις





παισί τε καὶ μητράσιν αὐτῶν. αὐτὸς δὲ ἐπιμελήσεσθαι, ὡς ἐκτρέφοιντο μακεδονικῶς, τά τε ἄλλα καὶ ἐς τὰ πολέμια κοσμούμενοι. γενομένους δὲ ἄνδρας, ἄξειν αὐτὸς ἐς μακεδονίαν, καὶ παραδώσειν τοῖς πατράσι. ταῦτά τε ἀπαλλαττομένοις, ἀστάθμητα καὶ ἀτέκμαρτα ἐπηγγέλλετο. καὶ ὅπως ἔχει * ἐς αὐτοὺς τὸ ἀτρεκέστατον τεκμήριον, ἐκεῖνο ποιεῖσθαι ἠξίου· ὅτι τὸν πιστότατόν τε αὐτῷ, καὶ ὅν τινα ἴσον τῇ ἑαυτοῦ κεφαλῇ ἄγει, κρατερὸν ξυμπέμπει αὐτοῖς φύλακά τε καὶ ἡγεμόνα τοῦ στόλου. οὕτω δὴ ἀσπασάμενος ξύμπαντας, αὐτός τε δακρύων, καὶ δακρύοντας ἐκείνους ἀφ᾽ ἑαυτοῦ ἀπήλλαξε. κρατερῷ δὲ τούτους τε ἄγειν ἐκέλευσε, καὶ ἀπαγαγόντι μακεδονίας τε καὶ θρᾴκης καὶ θετταλῶν ἐξηγεῖσθαι, καὶ τῶν ἑλλήνων τῆς ἐλευθερίας. ἀντίπατρον δὲ διάδοχον τοῖς ἀποπεμπομένοις, ἄγειν μακεδόνας τῶν ἀκμαζόντων ἐκέλευσεν. ἔστειλε δὲ καὶ πολυπέρχοντα, ὁμοῦ τῷ κρατερῷ. δεύτερον δὲ ἀπὸ κρατεροῦ ἡγεμόνα, ὡς εἴ τι κατὰ

τὴν πορείαν κρατέρῳ συμπέμψαι, ὅτι καὶ μαλακῶς τὸ σῶμα ἔχοντα, ἀπέπεμπεν αὐτὸν, μὴ ποθῆσαι στρατηγὸν τοὺς ἰόντας. λόγος δέ τις οὗτος ἐφοίτα ἀφανὴς, παρὰ τοῖς τὰ βασιλικὰ πράγματα ὅσῳ ἐπικρύπτεται, τοσῷδε φιλοτιμότερον ἐξηγουμένοις· καὶ τὸ πιστὸν ἐς τὸ χεῖρον μᾶλλον, ᾗ τὸ εἰκός τε καὶ ἡ αὐτῶν μοχθηρία ἄγει, ἢ πρὸς τὸ ἀληθὲς ἐκτρέπουσιν, ἐξηττώμενον ἀλέξανδρον ἤδη τῆς μητρὸς τῶν διαβολῶν τῶν ἐς ἀντίπατρον, ἀπαλλάξαι ἐθέλειν ἐκ μακεδονίας ἀντίπατρον. καὶ τυχὸν, οὐκ ἐς ἀτιμίαν τὴν ἀντιπάτρου ἡ μετάπεμψις αὐτοῦ ἔφερεν, ἀλλ' ὡς μή τι ἐκ τῆς διαφορᾶς αὐτοῖς γένοιτο ἄχαρι ἐς ἀλλήλους, οὐδὲ αὐτῷ ἰάσιμον. ἐπεὶ οὐδὲ ἐπαύοντο ἀλεξάνδρῳ γράφοντες, ὁ μὲν τὴν αὐθάδειάν τε τῆς ὀλυμπιάδος, καὶ ὀξύτητα καὶ πολυπραγμοσύνην, ἥκιστα δὴ τῇ ἀλεξάνδρου μητρὶ εὐσχήμονα. ὥς τε καὶ λόγος τις τοιός δὲ ἐφέρετο ἀλεξάνδρου, ἐφ' οἷς ὑπὲρ τῆς μητρὸς αὐτῷ ἐξηγγέλλετο, βαρὺ δὴ τὸ ἐνοίκιον τῶν δέκα μηνῶν εἰσπράττεσθαι αὐτὸν τὴν

μητέρα.



μητέρα. ἡ δὲ ὑπέρογκον εἶναι τῇ τε ἀξιώσει, καὶ τῇ ἄλλῃ θεραπείᾳ ἀντίπατρον. οὐδὲ μεμνῆσθαι τοῦ καταστήσαντος ἔτι· ἀλλ' αὐτὸς γὰρ ἀξιοῦντα πρῶτα φέρεσθαι ἐν τοῖς ἄλλοις, μακεδόσι τε καὶ ἕλλησι. καὶ ταῦτα μᾶλλόν τι ἰσχύειν παρ' ἀλεξάνδρῳ ἐφαίνετο, ὅσα ἐς τοῦ ἀντιπάτρου τὴν διαβολὴν φέροντα ἦν, οἷα δὴ καὶ φοβερώτερα ἐν βασιλείᾳ ὄντα. οὐ μέν τοι καταφανές γέ τι, ἢ ἔργον ἢ λόγος ἐξηγγέλλετο ἀλεξάνδρου, ἐφ' ὅτου ἄν τις συνέθηκε, οὐχ ὡσαύτως εἶναι αὐτῷ πρὸς θυμοῦ ἀντί

λείπει τι.

τούτῳ τῷ λόγῳ ὑποπτήξαντα ἡφαιστίωνα, συναλλαγῆναι εὐμένει, οὐχ ἑκόντα ἑκόντι. ἐν ταύτῃ τῇ ὁδῷ καὶ τὸ πεδίον λέγεται ἰδεῖν ἀλέξανδρος, τὸ ἀνειμένον ταῖς ἵπποις ταῖς βασιλικαῖς. αὐτό τε πεδίον νησαῖον καλούμενον, καὶ αἱ ἵπποι ὅτι νησαῖαι κλῄζονται, λέγει ἡρόδοτος. εἶναι δὲ πάλαι μὲν ἐς πεντεκαίδεκα μυριάδας τῶν ἵππων. τότε δὲ ἀλέξανδρος οὐ πολὺ πλείονας τῶν πέντε καταλαβεῖν· πρὸς λῃστῶν γὰρ

διαρπαγῆναι τὰς πολλὰς αὐτῶν. ἐνταῦθα λέγουσιν, ὅτι ἀτροπάτης ὁ τῆς μηδίας σατράπης, γυναῖκας ἑκατὸν αὐτῷ ἔδωκε, ταύτας φάσκων εἶναι τῶν ἀμαζόνων· καὶ ταύτας σκευῇ ἀνδρῶν ἱππέων ἐσταλμένας, πλήν γε δὴ ὅτι πελέκεις ἀντὶ δοράτων ἐφόρουν, καὶ ἀντὶ ἀσπίδων πέλτας. οἱ δὲ καὶ τὸν μαστὸν λέγουσιν, ὅτι μείονα εἶχον τὸν δεξιόν, ὃν δὴ καὶ ἔξω εἶχον ἐν ταῖς μάχαις. ταύτας μὲν δὴ ἀπαλλάξαι τῆς στρατιᾶς ἀλέξανδρον, μή τι νεωτερισθείη κατ᾽ αὐτὰς ἐς ὕβριν πρὸς τῶν μακεδόνων, ἢ βαρβάρων. κελεῦσαι δὲ παραγγεῖλαι πρὸς τὴν βασίλισσαν σφῶν, ὅτι αὐτὸς ἥξειν πρὸς αὐτὴν παιδοποιησόμενος. ταῦτα δὲ οὔτε ἀριστόβουλος, οὔτε πτολεμαῖος, οὔτε τις ἄλλος ἀνέγραψεν, ὅς τις ἱκανὸς ὑπὲρ τῶν τηλικούτων τεκμηριῶσαι. οὐδὲ δοκεῖ μοι ἐν τῷ τότε σώζεσθαι τὸ γένος τῶν ἀμαζόνων, οὐδέν τι πρὸς ἀλεξάνδρου, ἢ ξενοφῶν ἀνεμνήσθη αὐτῶν, φασιανῶν τε μνησθεὶς καὶ κόλχων, καὶ ὅσα ἄλλα ἀπὸ τραπεζοῦντος ὁρμώμενοι, ἢ πρὶν ἐς τραπεζοῦντα

ζοῦντα



ζοῦντα κατελθεῖν οἱ ἕλληνες ἐπῆλθον ἔθνη βαρβαρικά, ἵνα περ καὶ ταῖς ἀμαζόσιν ἐντετυχήκεσαν ἄν, εἴπερ οὖν ἔτι ἦσαν ἀμαζόνες. μὴ γενέσθαι μὲν γὰρ παντελῶς τὸ γένος τούτων τῶν γυναικῶν, οὐ πιστὸν δοκεῖ ἔμοι γε, πρὸς τοσούτων καὶ τοιούτων ὑμνηθέν, ὡς ἡρακλέα τε ἐπ᾽ αὐτὰς λόγος κατέχει ὅτι ἐστάλη, καὶ ζωστῆρά τινα ἱππολύτης τῆς βασιλίσσης αὐτῶν ὅτι ἐς τὴν ἑλλάδα ἐκόμισε, καὶ οἱ ξὺν θησεῖ ἀθηναῖοι ὅτι ἐπιούσας τὰς γυναῖκας ταύτας τὴν εὐρώπην, πρώτῃ μάχῃ νικήσαντες ἀπέστειλαν. καὶ γέγραπται ἡ ἀθηναίων καὶ ἀμαζόνων μάχη πρὸς κίμωνος, οὐ μεῖον ἤπερ ἡ ἀθηναίων καὶ περσῶν. καὶ ἡροδότῳ πολλάκις περὶ τῶν γυναικῶν τούτων πεποίηται, καὶ ὅσοι ἀθηναίων τοὺς ἐν πολέμῳ τελευτήσαντας λόγῳ ἐκόσμησαν, καὶ τὸ πρὸς ἀμαζόνας ἔργον ἀθηναίων, ἐν τοῖς μάλιστα μνήμην ἐποιήσαντο. εἰ δὲ ἱππικάς δή τινας γυναῖκας ἀτροπάτης ἔδειξεν ἀλεξάνδρῳ, βαρβάρους τινὰς ἄλλας γυναῖκας ἱππεύειν ἠσκημένας δοκῶ ὅτι ἔδειξεν,

ἐς τὸν λεγόμενον δὴ τῶν ἀμαζόνων κόσμον
ἐσταλμένας. ἐν ἐκβατάνοις τε θυσίαν ἔθυ-
σεν ἀλέξανδρος, ὥσπερ αὐτῷ ἐπὶ ξυμφο-
ραῖς ἀγαθαῖς νόμος, καὶ ἀγῶνα ἐπετέλει
γυμνικόν τε καὶ μουσικόν, καὶ πότοι αὐτῷ
ἐγίγνοντο παρὰ τοῖς ἑταίροις. καὶ ἐν τούτῳ
ἡφαιστίων ἔκαμε τὸ σῶμα. ἑβδόμη τε ἡμέρα
ἤδη ἦν αὐτῷ τῆς νόσου, καὶ λέγουσι τὸ μὲν
στάδιον πλῆρες εἶναι· παίδων γὰρ ἀγὼν ἦν
ἐκείνῃ τῇ ἡμέρᾳ γυμνικός. ἐπεὶ δὲ ἐξηγγέλ-
λετο ἀλεξάνδρῳ, ὅτι κακῶς ἔχει ἡφαιστίων,
ὁ δὲ παρ' αὐτὸν ἐλθὼν σπουδῇ, οὐκέτι ζῶν-
τα κατέλαβεν. ἔνθα δὴ καὶ ἄλλοι ἄλλα ἀ-
νέγραψαν, ὑπὲρ τοῦ πένθους τοῦ ἀλεξάν-
δρου. μέγα μὲν γενέσθαι αὐτῷ τὸ πένθος,
πάντες τοῦτο ἀνέγραψαν· τὰ δὲ πραχθέν-
τα ἐπ' αὐτῷ, ἄλλοι ἄλλα, ὡς ἕκαστος ἢ εὐ-
νοίας πρὸς ἡφαιστίωνα, ἢ φθόνου εἶχεν, ἢ καὶ
πρὸς αὐτὸν ἀλέξανδρον, ὧν οἱ τὰ ἀτάσθα-
λα ἀναγράψαντες, οἱ μὲν ἐς κόσμον φέρειν
μοι δοκοῦσιν οἰηθῆναι ἀλεξάνδρῳ, ὅσα ὑ-
περαλγήσας ἔδρασεν, ἢ εἶπεν, ἐπὶ τῷ πάν-
των δὴ ἀνθρώπων φιλτάτῳ· οἱ δὲ αἰσχύ-
νην



νην μᾶλλόν τι, ὡς οὐ πρέποντα οὔτε οὖν
βασιλεῖ, οὔτε ἀλεξάνδρῳ. οἱ μὲν, τὸ πολὺ
μέρος τῆς ἡμέρας ἐκείνης, ἐρριμμένον ἐπὶ τοῦ
σώματος τοῦ ἑταίρου ὀδύρεσθαι, οὐδ' ἐθέ-
λειν ἀπαλλαγῆναι, πρίν γε δὴ πρὸς βίαν
ἀπηνέχθη πρὸς τῶν ἑταίρων· οἱ δὲ, τήν τε
ἡμέραν ὅλην καὶ τὴν νύκτα ὅλην ἐρρῖφθαι
ἐπὶ τῷ σώματι· οἱ δὲ, καὶ τὸν ἰατρὸν γλαυ-
κίαν, ὅτι ἐκρέμασε καὶ τοῦτον, ὡς ἐπὶ φαρμά-
κῳ κακῶς δοθέντι· οἱ δὲ, ὅτι οἴνου περιεῖ-
δεν, ἐμπλησθέντα θεωρῶν αὐτός· καὶ κεί-
ρασθαι ἀλέξανδρον ἐπὶ τῷ νεκρῷ τὴν κό-
μην. τά τε ἄλλα οὐκ ἀπεικότα τίθεμαι καὶ
κατὰ ζῆλον τὸν ἀχιλλέως, πρὸς ὅν τινα ἐκ
παιδὸς φιλοτιμία αὐτῷ ἦν. οἱ δὲ καὶ τὸ
ἅρμα, ἐφ' ὅτῳ τὸ σῶμα ἐφέρετο, αὐτὸς ἔστιν
ὅτε ἡνιοχεῖν τοῦτο, οὐδαμῇ πιστὸν ἔμοιγε λέ-
γοντες· ἄλλοι δὲ, ὅτι καὶ τοῦ ἀσκληπιοῦ τὸ
ἕδος ἐν ἐκβατάνοις κατασκάψαι ἐκέλευ-
σε. βαρβαρικὸν δὴ τοῦτο, καὶ οὐδαμῇ ἀλε-
ξάνδρῳ πρόσφορον. ἀλλὰ τῇ ξέρξου μᾶλ-
λόν τι ἀτασθαλίᾳ τῇ ἐς τὸ θεῖον, καὶ ταῖς
πέδαις ἃς λέγουσιν ἐς τὸν ἑλλήσποντον
καθεῖ

καθεῖναι ξέρξην, τιμωρούμενον δῆθεν τὸν ἑλλήσποντον. ἀλλὰ καὶ ἐκεῖνο οὐ πάντῃ ἔξω τοῦ εἰκότος, ἀναγεγράφθαι μοι δοκεῖ· ὡς ἐπὶ βαβυλῶνος ἤλαυνεν ἀλέξανδρος, ἐντυχεῖν αὐτῷ κατὰ τὴν ὁδὸν πολλὰς πρεσβείας ἀπὸ τῆς ἑλλάδος, εἶναι δὲ δὴ ἐν τούτοις ἐπιδαυρίων πρέσβεις, καὶ τούτους ὧν τε ἐδέοντο ἐξ ἀλεξάνδρου τυχεῖν, καὶ ἀνάθημα δοῦναι αὐτοῖς ἀλέξανδρον κομίζειν τῷ ἀσκληπιῷ ἐπειπόντα, ὅτι καίπερ οὐκ ἐπιεικῶς κέχρηταί μοι ὁ ἀσκληπιός, οὐ σώσας μοι τὸν ἑταῖρον, ὅν τινα ἴσον τῇ ἐμαυτοῦ κεφαλῇ ἦγον, ἐναγίζειν τε, ὅτι ἀεὶ ὡς ἥρωϊ ἐκέλευεν ἡφαιστίωνι. τοῦτο μὲν πρὸς τῶν πλείστων ἀναγέγραπται. οἱ δὲ λέγουσιν, ὅτι καὶ εἰς ἄμμωνος ἔπεμψεν ἐρησομένους τὸν θεόν, εἰ καὶ ὡς θεῷ θύειν συγχωρεῖ ἡφαιστίωνι. τὸν δὲ οὐ συγχωρῆσαι, ἐκεῖνα δὲ πρὸς πάντων ξυμφωνούμενα, ἐς τρίτην ἀπὸ τοῦ θανάτου τοῦ ἡφαιστίωνος ἡμέραν, μήτε σίτου γεύσασθαι ἀλέξανδρον, μήτε τινὰ θεραπείαν ἄλλην θεραπεῦσαι τὸ σῶμα· ἀλλὰ κεῖσθαι γὰρ ἢ ὀδυρόμενον, ἢ πεν-

θικῶς



θικῶς σιγῶντα. καὶ πυρὰν κελεῦσαι αὐτῷ ἑτοιμάζεσθαι ἐν βαβυλῶνι, ἀπὸ ταλάντων μυρίων. οἱ δὲ, καὶ πλειόνων ἀνέγραψαν. καὶ ὅτι πένθος ποιεῖσθαι παρηγγέλθη κατὰ πᾶσαν τὴν χώραν τὴν βάρβαρον, καὶ ὅτι πολλοὶ τῶν ἑταίρων τῶν ἀλεξάνδρου ἐς θεραπείαν τὴν ἐκείνου σφᾶς τε αὐτοὺς, καὶ τὰ ὅπλα ἡφαιστίωνι ἀνέθεσαν ἀποθανόντι. πρῶτον δὲ εὐμενῆ ἄρξαι τοῦ σοφίσματος, ὅν τινα ὀλίγῳ πρόσθεν ἔφαμεν, ὅτι διηνέχθη πρὸς ἡφαιστίωνα. καὶ τοῦτο δὲ δρᾶσαι τῷ ἀλεξάνδρῳ, ὡς μὴ ἐφήδεσθαι δοκοίη, τελευτήσαντι ἡφαιστίωνι. οὔκουν οὐδὲ ἄλλον τινὰ ἔταξεν ἀντὶ ἡφαιστίωνος χιλίαρχον ἐπὶ τῇ ἵππῳ τῇ ἑταιρικῇ ἀλέξανδρος, ὡς μὴ ἀπόλοιτο τὸ ὄνομα τοῦ ἡφαιστίωνος ἐκ τῆς τάξεως, ἀλλὰ ἡφαιστίωνός τε ἡ χιλιαρχία ἐκαλεῖτο, καὶ τὸ σημεῖον αὐτῆς ἡγεῖτο ἐξ ἡφαιστίωνος πεποιημένον, ἀγῶνά τε ἐπενόει ποιῆσαι γυμνικόν τε καὶ μουσικόν, πλήθει τε τῶν ἀγωνιζομένων, καὶ τῇ ἐς αὐτὸν χορηγίᾳ, πολύ τι τῶν ἄλλων τῶν πρόσθεν ἀριδηλότερον. τρισχιλίους

γὰρ

γὰρ ἀγωνιστὰς τοὺς σύμπαντας παρασκευά-
σε, καὶ οὗτοι ὀλίγον ὕστερον ἐπὶ ἀλεξάνδρου
τῷ τάφῳ λέγουσιν, ὅτι ἠγωνίσαντο. χρόνος
τε ἦν συχνὸς τῷ πένθει. καὶ αὐτός τε αὐτὸν
ἤδη μετεκάλει ἀπ' αὐτοῦ, καὶ οἱ ἑταῖροι
μᾶλλόν τι ἐν τῷ τοιῷδε ἤνυτον. ἔνθα δὴ ἐξέ-
λασιν ποιεῖται ἐπὶ κοσσαίους, ἔθνος πολε-
μικὸν, ὅμορον τῷ οὐξίων. εἰσὶ δὲ ὄρειοι οἱ
κοσσαῖοι, καὶ χωρία ὀχυρὰ κατὰ χώρας νέ-
μονται, ὁπότε προσάγοι δύναμις ἐς τὰ
ἄκρα τῶν ὀρῶν ἀποχωροῦντες ἀθρόοι. ἢ ὅ-
πως ἂν προχωρῇ ἑκάστοις, οὕτω διαφεύγου-
σιν ἐς ἀπορίαν βάλλοντες τοὺς ξὺν δυνά-
μει σφίσιν ἐπιχειροῦντας. ἀπελθόντων δὲ,
αὖθις ἐς τὸ λῃστεύειν τρεπόμενοι, ἀπὸ τού-
του τὸν βίον ποιοῦνται. ἀλέξανδρος δὲ
ἐξεῖλεν αὐτῶν τὸ ἔθνος, καίπερ χειμῶνος
στρατεύσας. ἀλλ' οὔτε χειμὼν ἐγένετο ἐμπο-
δὼν αὐτῷ, οὔτε αἱ δυσχωρίαι, οὔτε αὐτῷ,
οὔτε πτολεμαίῳ τῷ λάγου, ὃς μέρος τῆς
στρατιᾶς ἐπ' αὐτοὺς ἦγεν. οὕτως οὐδὲν ἄπο-
ρον ἀλεξάνδρῳ τῶν πολεμικῶν ἦν, ὧν ὅτι
ὁρμήσειε. κατιόντι δὲ αὐτῷ ἐς βαβυλῶνα,
λιβύων



λιβύων τε πρεσβεῖαι ἐνετύγχανον, ἐπαι-
νούντων τε καὶ στεφανούντων ἐπὶ τῇ βασι-
λείᾳ τῆς ἀσίας, καὶ ἐξ ἰταλίας βρέττιοί τε,
καὶ λευκανοὶ καὶ τυρρηνοὶ, ἐπὶ τῆς αὐτῆς
ἐπρέσβευον. καὶ καρχηδονίους τότε πρε-
σβεῦσαι λέγεται, καὶ ἀπ' αἰθιόπων πρέσ-
βεις ἐλθεῖν, καὶ σκυθῶν τῶν ἐκ τῆς εὐρώ-
πης, καὶ κελτοὺς καὶ ἴβηρας, ὑπὲρ φιλίας
δεησομένους· ὧν τά τε ὀνόματα καὶ τὰς
σκευὰς τότε πρῶτον ὀφθῆναι πρὸς ἑλλή-
νων τε καὶ μακεδόνων. τοὺς δὲ καὶ ὑπὲρ τῶν
ἐς ἀλλήλους διαφορῶν λέγουσιν, ὅτι ἀλε-
ξάνδρου διακρῖναι ἐπέτρεπον. καὶ τότε μά-
λιστα αὐτόν τε αὑτῷ ἀλέξανδρον, καὶ τοῖς
ἀμφ' αὐτὸν φανῆναι γῆς τε ἁπάσης καὶ θα-
λάσσης κύριον. ἄρεις δὲ ἀσκληπιάδης
τῶν τὰ ἀλεξάνδρου ἀναγραψάντων, καὶ
ῥωμαίους λέγουσιν ὅτι ἐπρέσβευσαν. καὶ
ἐντυχόντα ταῖς πρεσβείαις ἀλέξανδρον,
ὑπὲρ ῥωμαίων τι τῆς ἐσομένης ἐς τὸ ἔπει-
τα δυνάμεως μαντεύσασθαι, τόν τε κόσ-
μον τῶν ἀνδρῶν ἰδόντα, καὶ τὸ φιλόπονόν
τε καὶ ἐλευθέριον, καὶ περὶ τοῦ πολιτεύμα
τος

τος ἅμα διαπυνθανόμενον. καὶ τοῦτον οὔτε ὡς ἀτρεκὲς, οὔτε ὡς ἄπιστον πάντῃ ἀνέγραψα. πλήν γε δὴ οὔτε τις ῥωμαίων ὑπὲρ τῆς πρεσβείας ταύτης, ὡς παρὰ ἀλέξανδρον σταλείσης, μνήμην ἐποιήσατό τινα, οὐδὲ τῶν τὰ ἀλεξάνδρου γραψάντων (οἷς τισι μᾶλλον ἐγὼ ξυμφέρομαι) πτολεμαῖος ὁ λάγου, καὶ ἀριστόβουλος· οὐδὲ τῷ ῥωμαίων πολιτεύματι ἐπεοικὸς ἦν, ἐλευθέρῳ δὲ τότε ἐς τὰ μάλιστα ὄντι, παρὰ βασιλέα ἀλλόφυλον, ἄλλως τε καὶ ἐς τοσόνδε ἀπὸ τῆς οἰκείας πρεσβεῦσαι· οὔτε φόβου ἐξαναγκάζοντος, οὔτε κατ᾽ ἐλπίδα ὠφελείας, μίσει τε εἴπερ τινὰς ἄλλους τοῦ τυραννικοῦ γένους τε καὶ ὀνόματος κατεχόμενος. ἐκ τούτου δὲ ἡρακλείδην τὸν ἀργαίου ἐκπέμπει ἐς ὑρκανίαν, ναυπηγοὺς ἅμα οἱ ἄγοντα, κελεύσας ὕλην τεμόντα ἐκ τῶν ὀρῶν τῶν ὑρκανίων, ναυπηγεῖσθαι ναῦς μακρὰς, ἀφράκτους τε καὶ πεφραγμένας, ἐν τὸν κόσμον τὸν ἑλληνικόν. πόθος γὰρ εἶχεν αὐτὸν, καὶ ταύτην ἐκμαθεῖν τὴν θάλασσαν, καὶ κασπίαν τε καὶ ὑρκανίαν καλουμέ

λουμέ



λουμένην, ποίᾳ τινὶ ξυμβάλλει θαλάσσῃ· πότερα τῇ τοῦ πόντου τοῦ εὐξείνου, ἢ ἀπὸ τῆς ἑῴας τῆς κατ᾽ ἰνδοὺς ἐκπεριερχομένη ἡ μεγάλη θάλασσα, ἀναχεῖται ἐς κόλπον τὸν ὑρκάνιον. καθάπερ οὖν καὶ τὸν περσικὸν ἐξεῦρε, τὴν ἐρυθρὰν δὴ καλουμένην θάλασσαν, κόλπον οὖσαν τῆς μεγάλης θαλάσσης. οὐ γάρ πω ἐξεύρηνται αἱ ἀρχαὶ τῆς κασπίας θαλάσσης, καίτοι ἐθνῶν τε αὐτὴν οἰκούντων οὐκ ὀλίγων, καὶ ποταμῶν πλοΐμων ἐμβαλλόντων εἰς αὐτήν. ἐκ βάκτρων μὲν ὄξος μέγιστος τῶν ἀσιανῶν ποταμῶν, πλήν γε δὴ τῶν ἰνδῶν, ἐξίησιν ἐς ταύτην τὴν θάλασσαν. διὰ σκυθῶν δὲ, ὀξυάρτης. καὶ τὸν ἀράξην δὲ, τὸν ἐξ ἀρμενίων ῥέοντα, ἐς ταύτην ἐσβάλλειν, ὁ πλείων λόγος κατέχει. μέγιστοι μὲν οὗτοι. πολλοὶ δὲ δὴ καὶ ἄλλοι ἐς τούτους ἐμβάλλοντες, καὶ αὐτοὶ ἤδη σφῶν ἐς τὴν θάλασσαν ταύτην ἐξίασιν· οἱ μὲν καὶ γινωσκόμενοι πρὸς τῶν ἀμφ᾽ ἀλέξανδρον, ἐπελθόντων τὰ ἔθνη ταῦτα· οἱ δὲ κατὰ τὰ ἐπέκεινα τοῦ κόλπου ὡς εἰκὸς ἐς τοὺς σκύθας τοὺς νομάδας, ὃ δὴ ἄγνωστον πάντῃ ἐστίν. ἀλέξανδρος δὲ, ὡς

τὸν

τὸν τίγρητα ποταμὸν ξὺν τῇ στρατιᾷ διέβη, ἐλαύνων ἐπὶ Βαβυλῶνος, ἐνταῦθα ἐντυγχάνουσιν αὐτῷ χαλδαίων οἱ λόγιοι. καὶ ἀπαγαγόντες ἀπὸ τῶν ἑταίρων, ἐδέοντο ἐπισχεῖν τὴν ἐπὶ Βαβυλῶνος ἔλασιν. λόγιον γὰρ γεγονέναι σφίσιν ἐκ θεοῦ τοῦ Βήλου, μὴ πρὸς ἀγαθοῦ οἱ εἶναι τὴν πάροδον τὴν ἐς Βαβυλῶνα ἐν τῷ τότε. τὸν δὲ ἀποκρίνασθαι αὐτοῖς λόγον, τοῦ εὐριπίδου τοῦ ποιητοῦ ἔπος. ἔχει δὲ τὸ ἔπος εὐριπίδου, ὧδε. μάντις δ᾽ ἄριστος, ὅστις εἰκάζει καλῶς. σὺ δ᾽ ὦ βασιλεῦ, ἔφασαν οἱ χαλδαῖοι, μὴ πρὸς δυσμὰς ἀφορῶν αὐτὸς, μὴ δὲ τὴν στρατιὰν ταύτῃ ἐπέχουσαν ἄγων παρελθεῖν· ἀλλὰ ἐκπεριελθὼν πρὸς ἕω μᾶλλον. τῷ δὲ οὐδὲ τοῦτο εὐμαρὲς διὰ δυσχωρίαν ξυνέβη. ἀλλὰ ἦγε γὰρ αὐτὸν ταύτῃ τὸ δαιμόνιον, ᾗ παρελθόντα ἐχρῆν ἤδη τελευτῆσαι. καί που τυχὸν καὶ ἄμεινον αὐτῷ ἦν ἐν ἀκμῇ τῆς τε ἄλλης δόξης, καὶ τοῦ πόθου τοῦ παρ᾽ ἀνθρώπων ἀπηλλάχθαι, πρίν τινα ξυμβῆναι αὐτῷ ξυμφορὰν ἀνθρωπίνην, ἧς ἕνεκα καὶ σόλωνα κροίσῳ παραινέσαι εἰκὸς,

τέλος



τέλος ὁρᾶν μακροῦ βίου, μὴ δὲ πρόσθεν τινὰ ἀνθρώπων ἀποφαίνειν εὐδαίμονα. ἐπεὶ καὶ αὐτῷ ἀλεξάνδρῳ ἡ ἡφαιστίωνος τελευτὴ οὐ σμικρὰ ξυμφορὰ γεγένητο (ἧς καὶ αὐτὸς ἀλέξανδρος προαπελθεῖν ἂν δοκεῖ μοι ἐθελῆσαι μᾶλλον, ἢ ζῶν πειραθῆναι) οὐ μεῖον ἢ καὶ ἀχιλλέα δοκῶ ἂν ἑλέσθαι προαποθανεῖν πατρόκλου μᾶλλον, ἢ τοῦ θανάτου αὐτὸν τιμωρὸν γενέσθαι. ἦν δέ τι καὶ ὕποπτον αὐτῷ ἐς τοὺς χαλδαίους, ὡς οὐ κατὰ μαντείαν τι μᾶλλον, ἢ ἐς ὠφέλειαν τὴν αὐτῶν φέροι αὐτοῖς ἡ κώλυσις τῆς ἀλεξάνδρου ἐς Βαβυλῶνα, ἐν τῷ τότε ἐλάσεως. ὁ γὰρ τοῦ βήλου νεὼς, ἐν μέσῃ τῇ πόλει ἦν τῶν Βαβυλωνίων, μεγέθει τε μέγιστος, καὶ ἐκ πλίνθου ὀπτῆς ἐν ἀσφάλτῳ ἡρμοσμένης. τοῦτον τὸν νεὼν, ὥσπερ καὶ τὰ ἄλλα ἱερὰ τὰ Βαβυλωνίων, ξέρξης κατέσκαψεν, ὅτε ἐκ τῆς ἑλλάδος ὀπίσω ἀπενόστησεν. ἀλέξανδρος δὲ ἐν νῷ εἶχεν ἀνοικοδομεῖν. οἱ μὲν λέγουσιν, ὅτι ἐπὶ τοῖς θεμελίοις τοῖς πρόσθεν, καὶ τούτου ἕνεκα τὸν χοῦν ἐκφέρειν ἐκέλευε τοὺς Βαβυλωνίους.

οἱ δέ, ὅτι καὶ μείζονα ἔτι τοῦ πάλαι ὄντος. ἐπεὶ δὲ ἀποστάντος αὐτοῦ μαλθακῶς ἀνθήψαντο τοῦ ἔργου, οἷς ταῦτα ἐπιτέτραπτο. ὁ δὲ τῇ στρατιᾷ πάσῃ ἐπενόει τὸ ἔργον ἐργάζεσθαι. εἶναι δὲ τῷ θεῷ τῷ Βήλῳ, πολλὴν μὲν τὴν χώραν ἀνειμένην, ἐκ τῶν Ἀσσυρίων βασιλέων· πολὺν δὲ χρυσόν, καὶ ἀπὸ τοῦ πάλαι μὲν τὸν νεὼν ἐπισκευάζεσθαι, καὶ τὰς θυσίας τῷ θεῷ θύεσθαι. τότε δὲ τοὺς Χαλδαίους τὰ τοῦ θεοῦ νέμεσθαι, οὐκ ὄντος ἐς ὅτι ἀναλωθήσεται τὰ περιγιγνόμενα. τούτων δὴ ἕνεκα, ὕποπτοι Ἀλεξάνδρῳ ἦσαν. οὐκ ἐθέλειν παρελθεῖν εἴσω Βαβυλῶνος Ἀλέξανδρον, ὡς μὴ δι᾽ ὀλίγου τὸν νεὼν ἐπιτελεσθέντα ἀφελέσθαι αὐτοὺς τὰς ἐκ τῶν χρημάτων ὠφελείας. ὅμως δὲ τοῦ γε τῆς ἐπιστροφῆς τῆς κατὰ τὴν εἴσοδον τὴν ἐς τὴν πόλιν, ἐθελῆσαι αὐτοῖς πεισθῆναι λέγει Ἀριστόβουλος. καὶ τῇ πρώτῃ μὲν παρὰ τὸν ποταμὸν τὸν Εὐφράτην καταστρατοπεδεῦσαι, ἐς δὲ τὴν ὑστεραίαν ἐν δεξιᾷ ἔχοντα τὸν ποταμόν, παρ᾽ αὐτὸν πορεύεσθαι, θέλοντα ὑπερβάλλειν τῆς πόλεως τὸ

μέρος,



μέρος, τὸ ἐς δυσμὰς τετραμμένον, ὡς ταύτῃ ἐπιστρέψαντα πρὸς ἕω ἄγειν. ἀλλὰ οὐ γὰρ δυνηθῆναι ὑπὸ δυσχωρίαν οὕτως ἐλάσαι ξὺν τῇ στρατιᾷ, ὅτι τὰ ἀπὸ δυσμῶν τῆς πόλεως ἐσιόντι, εἰ ταύτῃ πρὸς ἕω ἐπέστρεφεν, ἑλώδη τε καὶ τεναγώδη ἦν, καὶ οὕτω καὶ ἑκόντα καὶ ἄκοντα ἀπειθῆσαι τῷ θεῷ. ἐπεὶ καὶ τοιόνδε τινὰ λόγον Ἀριστόβουλος ἀναγέγραφεν, Ἀπολλόδωρον Ἀμφιπολίτην τῶν ἑταίρων τῶν Ἀλεξάνδρου, στρατηγὸν τῆς στρατιᾶς, ἣν παρὰ Μαζαίῳ τῷ Βαβυλῶνος σατράπῃ ἀπέλιπεν Ἀλέξανδρος. ἐπεὶ δὲ ξυνέμιξεν ἐπανιόντι αὐτῷ ἐξ Ἰνδῶν, ὁρῶντα πικρῶς τιμωρούμενον τοὺς σατράπας, ὅσοι ἐπ᾽ ἄλλῃ καὶ ἄλλῃ χώρᾳ τεταγμένοι ἦσαν, ἐπιστεῖλαι Πειθαγόρᾳ τῷ ἀδελφῷ. μάντιν γὰρ εἶναι τὸν Πειθαγόραν, τῶν ἀπὸ σπλάγχνων μαντειῶν, μαντεύσασθαι καὶ ὑπὲρ αὐτοῦ τῆς σωτηρίας. ἀντεπιστεῖλαι δὲ αὐτῷ Πειθαγόραν, πυνθανόμενον, τίνα μάλιστα φοβούμενος χρήσασθαι ἐθέλοι τῇ μαντείᾳ; τὸν δὲ γράψαι αὖθις, ὅτι τόν τε βασιλέα αὐτόν, καὶ Ἡφαιστίωνα.

 θύεσθαι

θύεσθαι δὲ τὸν πειθαγόραν πρῶτα μὲν ἐπὶ τῷ ἡφαιστίωνι. ὡς δὲ ἐπὶ τοῦ ἥπατος τοῦ ἱερείου ὁ λοβὸς ἀφανὴς ἦν, οὕτω δὴ ἐγγράψαντα καὶ κατασημηνάμενον τὸ γραμμάτιον, πέμψαι παρὰ τὸν ἀπολλόδωρον ἐκ βαβυλῶνος εἰς ἐκβάτανα, δηλοῦντα μηδέν τι δεδιέναι ἡφαιστίωνα. ἔσεσθαι γὰρ αὐτοῖς ὀλίγου χρόνου ἐκ ποδῶν. καὶ ταύτην τὴν ἐπιστολὴν λέγει ἀριστόβουλος κομίσασθαι ἀπολλόδωρον μιᾷ πρόσθεν ἡμέρᾳ, ἢ τελευτῆσαι ἡφαιστίωνα. αὖθις δὲ θύεσθαι τὸν πειθαγόραν ἐπὶ τῷ ἀλεξάνδρῳ, ἄλοβον τὸ ἧπαρ τοῦ ἱερείου. καὶ πειθαγόραν τὰ αὐτὰ καὶ ὑπὲρ ἀλεξάνδρου γράψαι ἀπολλοδώρῳ. ἀπολλόδωρον δὲ οὐ κατασιωπῆσαι, ἀλλὰ φράσαι γὰρ πρὸς ἀλέξανδρον τὰ ἐπεσταλμένα, ὡς εὔνοιαν μᾶλλόν τι ἐπιδειξόμενον τῷ βασιλεῖ, εἰ φυλάξασθαι παραινέσειε, μή τις αὐτῷ κίνδυνος ἐν τῷ τότε ξυμπέσοι. καὶ ἀπολλόδωρόν τε λέγει, ὅτι ἀλέξανδρος ἐπῄνεσε· καὶ τὸν πειθαγόραν, ἐπειδὴ παρῆλθεν εἰς βαβυλῶνα, ἤρετο, ὅτου γενομένου αὐτῷ σημείου, ταῦτα ἐπέ-

σταλε



σταλε πρὸς τὸν ἀδελφόν; τὸν δὲ εἰπεῖν, ὅτι ἄλοβον οἱ τὸ ἧπαρ ἐγένετο τοῦ ἱερείου. ἐρομένου δέ, ὅ, τι νοεῖ τὸ σημεῖον; μέγα εἰπεῖν εἶναι χαλεπόν. ἀλέξανδρος δὲ τοσοῦτον ἐδέησε χαλεπῆναι τῷ πειθαγόρᾳ, ὡς καὶ διὰ ἐπιμελείας ἔχειν αὐτὸν πλείονος, ὅτι ἀδόλως τὴν ἀλήθειαν οἱ ἔφρασε. ταῦτα αὐτὸς ἀριστόβουλος λέγει παρὰ πειθαγόρου πυθέσθαι. καὶ περδίκκᾳ δὲ μαντεύσασθαί αὐτῷ λέγει, καὶ ἀντιγόνῳ ὕστερον. καὶ τοῦ αὐτοῦ σημείου ἀμφοῖν γενομένου, περδίκκαν τε ἐπὶ πτολεμαῖον στρατεύσαντα ἀποθανεῖν· καὶ ἀντίγονον ἐν τῇ μάχῃ, τῇ πρὸς σέλευκον, καὶ λυσίμαχον τῇ ἐν ἰψῷ γενομένῃ. καὶ μὲν δὴ καὶ ὑπὲρ καλάνου τοῦ σοφιστοῦ τοῦ ἰνδοῦ, τοιόσδε τις ἀναγέγραπται λόγος. ὁπότε ἐπὶ τὴν πυρὰν ᾔει ἀποθανούμενος, τότε τοὺς μὲν ἄλλους ἑταίρους ἀσπάζεσθαι αὐτόν· ἀλεξάνδρῳ δὲ οὐκ ἐθελῆσαι προσελθεῖν ἀσπασόμενον· ἀλλὰ φάναι γάρ, ὅτι ἐν βαβυλῶνι αὐτῷ ἐντυχὼν ἀσπάσεται. καὶ τότε τὸν λόγον ἐν μὲν τῷ τότε ἀμεληθῆναι. ὕστερον δὲ ἐπειδὴ ἐτε-



λεύτη-

λεύτησεν ἐν Βαβυλῶνι ἀλέξανδρος, ἐς μνήμην ἐλθεῖν τῶν ἀκουσάντων, ὅτι ἐπὶ τῇ τελευτῇ ἄρα τῇ ἀλεξάνδρου ἐθειάσθη. παρελθόντι δ' αὐτῷ ἐς Βαβυλῶνα, πρεσβεῖαι παρὰ τῶν ἑλλήνων ἐνέτυχον, ὑπὲρ ὅτων μὲν ἕκαστοι πρεσβευόμενοι, οὐκ ἀναγέγραπται. δοκεῖν δ' ἔμοιγε αἱ πολλαὶ στεφανούντων τε αὐτὸν ἦσαν, καὶ ἐπαινούντων ἐπὶ ταῖς νίκαις, ταῖς τε ἄλλαις καὶ μάλιστα ταῖς ἰνδικαῖς. καὶ ὅτι σῶος ἐξ ἰνδῶν ἐπανήκει, χαίρειν φασκόντων. καὶ τούτους δεξιωσάμενός τε καὶ τὰ εἰκότα τιμήσας, ἀποπέμψαι ὀπίσω λέγεται. ὅσους δὲ ἀνδριάντας, ἢ ὅσα ἀγάλματα, ἢ εἰ δή τι ἄλλο ἀνάθημα ἐκ τῆς ἑλλάδος ξέρξης ἀνεκόμισεν ἐς Βαβυλῶνα, ἢ ἐς πασαργάδας, ἢ ἐς σοῦσα, ἢ ὅπῃ ἄλλῃ τῆς ἀσίας, ταῦτα δοῦναι ἄγειν τοῖς πρέσβεσι. καὶ τὰς ἁρμοδίου καὶ ἀριστογείτονος εἰκόνας τὰς χαλκᾶς, οὕτω λέγεται ἀπενεχθῆναι ὀπίσω ἐς ἀθήνας. καὶ τῆς ἀρτέμιδος τῆς κορκαίας τὸ ἕδος. κατέλαβε δὲ ἐν Βαβυλῶνι, ὡς λέγει ἀριστόβουλος, καὶ τὸ ναυτικὸν, τὸ μὲν

κατὰ



κατὰ τὸν εὐφράτην ποταμὸν ἀναπεπλευκὸς ἀπὸ θαλάσσης τῆς περσικῆς, ὅπερ σὺν νεάρχῳ ἦν· τὸ δὲ, ἐκ φοινίκης ἀνακεκομισμένον· πεντήρεις μὲν δύο τῶν ἐκ φοινίκων, τετρήρεις δὲ τρεῖς, τριήρεις δὲ δώδεκα, τριακοντόρους δὲ ἐς τριάκοντα. ταύτας ξυντμηθείσας, κομισθῆναι ἐπὶ τὸν εὐφράτην ποταμὸν ἐκ φοινίκης ἐς θάψακον πόλιν. ἐκεῖ δὲ ξυμπηχθείσας αὖθις, καταπλεῦσαι ἐς Βαβυλῶνα. λέγει δὲ, ὅτι καὶ ἄλλος αὐτῷ ἐναυπηγεῖτο στόλος, τέμνοντι τὰς κυπαρίσσους τὰς ἐν τῇ Βαβυλωνίᾳ· τούτων γὰρ μόνων τῶν δένδρων εὐπορίαν εἶναι ἐν τῇ χώρᾳ τῶν ἀσσυρίων. τῶν δὲ ἄλλων ὅσα ἐς ναυπηγίαν, ἀπόρως ἔχειν τὴν γῆν ταύτην. πληρώματα δὲ ἐς τὰς ναῦς καὶ τὰς ἄλλας ὑπηρεσίας, πορφυρέων τε πλῆθος, καὶ τῶν ἄλλων, ὅσοι ἐργάται τῆς θαλάσσης, ἀφῖχθαι αὐτῷ, ἐκ φοινίκης τε καὶ τῆς ἄλλης παραλίας· λιμένα τε ὅτι πρὸς Βαβυλῶνα ἐποίει ὀρυκτὸν, ὅσον χιλίαις ναυσὶ μακραῖς ὅρμον εἶναι· καὶ νεωσοίκους ἐπὶ τοῦ λιμένος. καὶ μίκκαλος ὁ κλαζομένιος



μετὰ

μετὰ πεντακοσίων ταλάντων ἐπὶ φοινίκης τε καὶ συρίας ἐστέλλετο, τοὺς μὲν μισθωπείσων, τοὺς δὲ καὶ ὠνησόμενος, ὅσοι θαλάσσιοι ἄνθρωποι. τήν τε γὰρ παραλίαν τὴν πρὸς τῷ κόλπῳ τῷ περσικῷ κατοικίζειν ἐπενόει, καὶ τὰς νήσους τὰς ταύτῃ. ἐδόκει γὰρ αὐτῷ οὐ μεῖον φοινίκης εὐδαίμων ἡ χώρα αὕτη γενέσθαι. ἦν δὲ αὐτῷ τοῦ ναυτικοῦ ἡ παρασκευὴ ὡς ἐπὶ ἄραβας, τοὺς πολλούς, πρόφασιν μὲν ὅτι μόνοι τῶν ταύτῃ βαρβάρων οὔτε πρεσβείαν ἀπέστειλαν, οὔτε τι ἄλλο ἐπιεικές, ἢ ἐπὶ τιμῇ ἐπέπρακτο ἄραψιν ἐς αὐτόν. τὸ δὲ ἀληθές, ὥς γέ μοι δοκεῖ, ἄπληστος ἦν τοῦ κτᾶσθαί τι ἀεὶ ἀλέξανδρος. λόγος δὲ κατέχει, ὅτι ἤκουε ἄραβας δύο μόνον τιμᾶν θεούς, τὸν οὐρανόν τε, καὶ τὸν διόνυσον. τὸν μὲν οὐρανόν τε αὐτόν, ὁρώμενον, καὶ τὰ ἄστρα ἐν αὑτῷ ἔχοντα, τά τε ἄλλα, καὶ τὸν ἥλιον, ἀφ᾽ ὅτου μεγίστη καὶ φανοτάτη ὠφέλεια ἐς πάντα ἥκει τὰ ἀνθρώπινα. διόνυσον δέ, κατὰ δόξαν τῆς ἐς ἰνδοὺς στρατιᾶς. οὔκουν ἀπαξιοῦν καὶ αὑτὸν τρίτον ἂν νομισθῆναι πρὸς ἀράβων θεόν,





οὐ φαυλότερα ἔργα διονύσου ἀποδειξάμενον. εἴπερ οὖν καὶ ἀράβων κρατήσας, ἐπιτρέψειεν αὐτοῖς καθάπερ ἰνδοῖς πολιτεύειν κατὰ τὰ σφῶν νόμιμα, τῆς τε χώρας ἡ εὐδαιμονία ὑπεκίνει αὐτόν, ὅτι ἤκουεν ἐκ τῶν λιμνῶν τὴν κασίαν γίγνεσθαι αὐτοῖς, ἀπὸ δὲ τῶν δένδρων τὴν σμύρναν τε, καὶ τὸν λιβανωτόν· ἐκ δὲ τῶν θάμνων, τὸ κινάμωμον τέμνεσθαι· οἱ λειμῶνες δέ, ὅτι νάρδον αὐτόματοι ἐκφέρουσι. τὸ μέγεθος τῆς χώρας, ὅτι οὐκ ἐλάττων ἡ παράλιος τῆς ἀραβίας, ἤπερ ἡ τῆς ἰνδικῆς αὐτῷ ἐξηγγέλλετο, καὶ νῆσοι αὐτῇ προσκεῖσθαι πολλαί, καὶ λιμένας πανταχοῦ τῆς χώρας ἐνεῖναι, οἵους παρασχεῖν μὲν ὅρμους τῷ ναυτικῷ. παρασχεῖν δὲ καὶ πόλεις ἐνοικισθῆναι, καὶ ταύτας γενέσθαι εὐδαίμονας. δύο δὲ νῆσοι κατὰ τὸ στόμα τοῦ εὐφράτου πελάγιαι ἐξηγγέλλοντο αὐτῷ, ἡ μὲν πρώτη οὐ πρόσω τῶν ἐκβολῶν τοῦ εὐφράτου, ἐς ἑκατὸν καὶ εἴκοσι σταδίους ἀπέχουσα ἀπὸ τοῦ αἰγιαλοῦ τε, καὶ τοῦ στόματος τοῦ ποταμοῦ, μικροτέρα αὕτη, καὶ δασεῖα ὕλῃ παντοίᾳ. εἶναι δὲ ἐν αὐ-

τῇ καὶ ἱερὸν ἀρτέμιδος, καὶ τοὺς οἰκήτο-
ρας αὐτῆς ἀμφὶ τὸ ἱερὸν τὴν δίαιταν ποιεῖ
σθαι· νέμεσθαί τε αὐτὴν αἰξί τε ἀγρίαις καὶ
ἐλάφοις, καὶ ταύτας ἀνεῖσθαι ἀφ᾽ ἔτους τῇ
ἀρτέμιδι. οὐδὲ εἶναι θέμις θήραν ποιεῖσθαι
ἀπ᾽ αὐτῶν, ὅτι μὴ θῦσαί τινα τῇ θεῷ ἐθέλον
τα ἐπὶ τῷδε δὲ θηρᾶν μόνον. ἐπὶ τῷδε γὰρ οὐκ
εἶναι ἀθέμιτον. καὶ ταύτην τὴν νῆσον λέ-
γει ἀριστόβουλος, ὅτι ἴκαρον ἐκέλευσε κα-
λεῖσθαι ἀλέξανδρος, ἐπὶ τῆς νήσου, τῆς ἰκά
ρου, τῆς ἐν τῷ αἰγαίῳ πόντῳ, ἐς ἥν τινα
ἴκαρον τὸν δαιδάλου τακέντος τοῦ κη-
ροῦ, ὅτῳ προσήρτητο τὰ πτερὰ, πεσεῖν ὁ
λόγος κατέχει· ὅτι οὐ κατὰ τὰς ἐντολὰς
τοῦ πατρὸς πρὸς τῇ γῇ ἐφέρετο, ἀλλὰ με-
τέωρος γὰρ ὑπὸ ἀνοίας φερόμενος, παρέ-
σχε τῷ ἡλίῳ θάλψαι τε καὶ ἀνεῖναι τὸν κη-
ρόν. καὶ ἀπ᾽ ἑαυτοῦ τὸν ἴκαρον, τῇ τε νήσῳ
καὶ τῷ πελάγει, τὴν ἐπωνυμίαν ἐγκατα
λιπεῖν· τὴν μὲν ἰκάρου καλεῖσθαι, τὸ δὲ ἰκά
ριον. ἡ δὲ ἑτέρα νῆσος ἀπὸ τοῦ στόματος τοῦ
εὐφράτου ἐλέγετο ἀπέχειν, ὅσον πλοῦν
ἡμέρας καὶ νυκτὸς, κατ᾽ οὖρον θεούσῃ νηΐ·
τύλος



τύλος δὲ αὐτῇ εἶναι ὄνομα. μεγάλη δὲ εἶ-
ναι, καὶ οὔτε τραχεῖα ἡ πολλὴ, οὔτε ὑλώ-
δης. ἀλλ᾽ οἵα καρπούς τε ἡμέρους ἐκφέ-
ρειν, καὶ πάντα ὡραῖα. ταῦτα ἀπηγγέλθη
ἀλεξάνδρῳ, τὰ μὲν πρὸς ἀρχίου, ὃς ξὺν
τριακοντόρῳ ἐκπεμφθεὶς ἐπὶ κατασκο-
πὴν τοῦ παράπλου τοῦ ὡς ἐπὶ τοὺς ἄρα-
βας, μέχρι μὲν τῆς νήσου τῆς τύλου ἦλθεν,
τὸ πρόσω δὲ οὐκέτι περαιωθῆναι ἐτόλμη-
σεν. ἀνδροσθένης δὲ ξὺν ἄλλῃ τριακοντόρῳ
σταλεὶς, καὶ τῆς χεῤῥονήσου τι τῶν ἀράβων
παρέπλευσε. μακροτάτω δὲ τῶν ἐκπεμ-
φθέντων προὐχώρησεν ἱέρων ὁ σολεὺς, ὁ κυ-
βερνήτης, λαβὼν καὶ οὗτος παρ᾽ ἀλεξάν-
δρου τριακόντορον. ἦν μὲν γὰρ αὐτῷ προσ-
τεταγμένον, περιπλεῦσαι τὴν χεῤῥόνη-
σον τὴν ἀράβων πᾶσαν, ἔς τε ἐπὶ τὸν
κόλπον τὸν πρὸς αἴγυπτον τὸν ἀράβει-
ον, τὸν καθ᾽ ἡρώων πόλιν. οὐ μὴν ἐτόλ-
μησέ γε τὸ πρόσω ἐλθεῖν, καίτοι ἐπὶ τὸ
πολὺ παραπλεύσας τὴν ἀράβων γῆν. ἀ-
ναστρέψας γὰρ παρ᾽ ἀλέξανδρον, ἐξήγγει-
λε τὸ μέγεθός τε τῆς χεῤῥονήσου θαυμαστόν
τι

πεῖναι, καὶ ὅσον οὐ πολὺ ἀποδέον τῆς ἰνδῶν γῆς, ἄκραν τε ἀνέχειν ἐπὶ πολὺ τῆς μεγάλης θαλάσσης. ἣν δὴ καὶ τοὺς ξὺν νεάρχῳ ἀπὸ τῆς ἰνδικῆς πλέοντας, πρὶν ἐπικάμψαι ἐς τὸν κόλπον τὸν περσικόν, οὐ πόῤῥω ἀνατείνουσαν, ἰδεῖν τε καὶ παρ' ὀλίγον ἐλθεῖν διαβαλεῖν ἐς αὐτὴν· καὶ ὀνησικρίτῳ τῷ κυβερνήτῃ ταύτῃ δοκοῦν. ἀλλὰ νέαρχος λέγει, ὅτι αὐτὸς διεκώλυσεν, ὡς ἐκπεριπλεύσας τὸν κόλπον τὸν περσικὸν ἔχοι ἀπαγγεῖλαι ἀλεξάνδρῳ, ἐφ' οἷς τισι πρὸς αὐτοῦ ἐστάλη. οὐ γὰρ ἐπὶ τῷ πλεῦσαι τὴν μεγάλην θάλασσαν ἐστάλθαι, ἀλλ' ἐπὶ τῷ καταμαθεῖν τὴν χώραν τὴν προσεχῆ τῇ θαλάσσῃ, καὶ τοὺς κατοικοῦντας αὐτὴν ἀνθρώπους, ὅρμους τε ἐν αὐτῇ καὶ ὕδατα, καὶ τὰ νόμαια τῶν ἀνδρῶν, καὶ εἴ τις ἀγαθοὺς καρποὺς ἐκφέρει, ἢ εἴ τις κακή. καὶ οὖν καὶ τοῦτο αἴτιον γενέσθαι ἀποσωθῆναι ἀλεξάνδρου τὸν στρατόν. οὐ γὰρ ἂν σωθῆναι, πλεύσαντας ὑπὲρ τῆς ἀραβίας τὰ ἔρημα, ἐφ' ὅτῳ καὶ ὁ ἱέρων ἐπιστρέψαι ὀπίσω λέγεται. ἐν ᾧ δὲ αὐτῷ ἐναυπηγοῦντο μὲν αἱ τριήρεις, ὁ λι-

μὴν



μὴν δὲ πρὸς Βαβυλῶνι ὠρύσσετο, ἐκπλεῖ ἐκ Βαβυλῶνος κατὰ τὸν εὐφράτην, ὡς ἐπὶ τὸν παλλακόπαν καλούμενον ποταμόν. ἀπέχει δὲ οὗτος τῆς Βαβυλῶνος σταδίους ὅσον ὀκτακοσίους. καὶ ἔστι διῶρυξ αὕτη ὁ παλλακόπας ἐκ τοῦ εὐφράτου, οὐχὶ δὲ ἐκ πηγῶν τις ἀνίσχων ποταμός. ὁ γὰρ εὐφράτης ποταμός, ῥέων ἐκ τῶν ἀρμενίων ὀρῶν, χειμῶνος μὲν ὥρᾳ προχωρεῖ κατὰ τὰς ὄχθας, οἷα δὴ οὐ πολλοῦ ὄντος αὐτῷ τοῦ ὕδατος. ἦρος δὲ ὑποφαίνοντος, καὶ πολὺ δὴ μάλιστα ὑπὸ τροπάς, ἅς τινας τοῦ θέρους ὁ ἥλιος ἐπιστρέφει, μέγας τε ἐπέρχεται, καὶ ὑπερβάλλει ὑπὲρ τὰς ὄχθας ἐς τὴν γῆν τὴν ἀσσυρίαν. τηνικαῦτα γὰρ αἱ χιόνες, αἱ ἐπὶ τοῖς ὄρεσι τοῖς ἀρμενίοις κατατηκόμεναι, αὔξουσιν αὐτῷ τὸ ὕδωρ ἐπὶ μέγα· ὅτι ἐπιπολῆς ἐστιν αὐτῷ, καὶ ὑψηλὸς ὁ ῥοῦς ὑπερβάλλει ἐς τὴν χώραν, εἰ μή τις ἀναστομώσας αὐτὸν κατὰ τὸν παλλακόπαν ἐς τὰ ἕλη τε ἐκτρέψειε, καὶ τὰς λίμνας, αἳ δὴ ἀρχόμεναι ἀπὸ ταύτης τῆς διώρυχος, ἔστε ἐπὶ τὴν συνεχῆ τῇ ἀράβων γῇ, καὶ ἔν-

θεν

θεν μὲν οὖν τέναγος ἐπὶ πολύ. ἐκ δὲ τοῦ ἐς θάλασσαν, κατὰ πολλά τε καὶ μάλιστα ἀφανῆ στόματα ἐκδίδωσι. τετηκυίας δὲ τῆς χιόνος ἀμφὶ πλειάδων μάλιστα δύσιν, ὀλίγος τε ὁ εὐφράτης ῥέει, καὶ οὐδὲν μεῖον τὸ πολὺ αὐτοῦ κατὰ τὸν πολλακόπαν ἐκδιδοῖ ἐς τὰς λίμνας· εἰ δή τις μὴ ἀποφράξει τὸν πολλακόπαν αὖθις, ὡς κατὰ τὰς ὄχθας ἐκτραπὲν φέρεσθαι τὸ ὕδωρ κατὰ πόρου, ἐκένωσεν ἂν τὸν εὐφράτην ἐς αὐτὸν, ὡς μηδ' ἐπάρδεσθαι ἀπ' αὐτοῦ τὴν ἀσσυρίαν γῆν. ἀλλ' ἀπεφράσσοντο γὰρ αἱ ἐς τὸν πολλακόπαν τοῦ εὐφράτου ἐκβολαὶ πρὸς τοῦ σατράπου τῆς βαβυλωνίας πολλῷ πόνῳ, καίπερ οὐ χαλεπῶς ἀνεστομούμεναι. ὅτι ἰλυώδης τε ἡ ταύτῃ γῆ, καὶ πηλὸς ἡ πολλὴ αὐτῆς, οἵα δεχομένη τὸ ὕδωρ τοῦ ποταμοῦ, μὴ εὐμαρῆ τὴν ἀποστροφὴν αὐτοῦ παρέχειν, ἀλλὰ καὶ ἐς τρίτον μῆνα ἀσσυρίων ἄνδρες ὑπὲρ τοὺς μυρίους, ἐν τῷδε τῷ πόνῳ ξυνείχοντο. ταῦτα ἀπαγγελθέντα, ἐπήγαγε ἀλέξανδρον ὠφελῆσαί τι τὴν χώραν τὴν ἀσσυρίαν, ἔνθεν μὲν δὴ ἐς τὸν πολλα-

κόπαν



κόπαν ἐτρέπετο τοῦ εὐφράτου ὁ ῥοῦς, ταύτῃ δὲ ἔγνω βεβαίως ἀποκλεῖσαι τὴν ἐκβολήν. προελθόντι δὲ ὅσον σταδίους τριάκοντα, ὑπόπετρος ἡ γῆ ἐφαίνετο, οἵα διακοπεῖσα εἰ ξυναφὴς ἐγίνετο τῇ πάλαι διώρυχι τῇ κατὰ τὸν πολλακόπαν, οὔτ' ἂν διαχεῖσθαι παρέχειν τὸ ὕδωρ ὑπὸ στερρότητος τῆς γῆς, τήν τε ἀποστροφὴν αὐτοῦ τῇ τεταγμένῃ ὥρᾳ μὴ χαλεπῶς γίγνεσθαι· τούτων ἕνεκα, ἐπί τε τὸν πολλακόπαν ἔπλευσε, καὶ κατ' αὐτὸν καταπλεῖ ἐς τὰς λίμνας, ὡς ἐπὶ τὴν ἀράβων γῆν. ἔνθα χῶρόν τινα ἐν καλῷ ἰδὼν, πόλιν ἐξῳκοδόμησέ τε καὶ ἐτείχισε, καὶ ἐν ταύτῃ κατῴκισε τῶν ἑλλήνων τινὰς τῶν μισθοφόρων, ὅσοι τε ἑκόντες, καὶ ὅσοι ὑπὸ γήρως, ἢ κατὰ πήρωσιν, ἀπόλεμοι ἦσαν. αὐτὸς δὲ ὡς ἐξελέγξας δὴ τῶν χαλδαίων τὴν μαντείαν, ὅτι οὐδὲν πεπόνθει ἐν βαβυλῶνι ἄχαρι, καθάπερ ἐκεῖνοι ἐμαντεύσαντο. ἀλλ' ἔφθη γὰρ ἐλάσας ἔξω βαβυλῶνος, πρίν τι παθεῖν, ἀνέπλει αὖθις κατὰ τὰ ἕλη θαρρῶν, ἐν ἀριστερᾷ ἔχων τὴν βαβυλῶνα, ἵνα δὴ καὶ ἐπλανήθη αὐτῷ μέρος

τοῦ

τοῦ ναυτικοῦ κατὰ τὰ στενὰ ἀπορίᾳ ἡγεμό-
νος. πείρᾳ γε δὴ αὐτὸς πέμψας τὸν ἡγησό-
μενον, ἐπανήγαγεν αὐτοὺς ἐς τὸν πόρον.
λόγος δὲ λέγεται τοιόσδε. τῶν βασιλέων
τῶν ἀσσυρίων τοὺς τάφους, ἐν ταῖς λίμναις
τε εἶναι τοὺς πολλοὺς, καὶ ἐν τοῖς ἕλεσι δεδο-
μημένους. ὡς δὲ ἔπλει ἀλέξανδρος κατὰ
τὰ ἕλη (κυβερνᾶν γὰρ αὐτὸν λόγος τὴν
τριήρη) πνεύματος μεγάλου ἐμπεσόντος
αὐτῷ ἐς τὴν καυσίαν, καὶ τὸ διάδημα αὐ-
τῇ συνεχόμενον, τὴν μὲν δὴ βαρυτέραν
πεσεῖν ἐς τὸ ὕδωρ. τὸ διάδημα δὲ ἀπενε-
χθὲν πρὸς τῆς πνοῆς, σχεθῆναι ἐν καλάμῳ·
τὸν κάλαμον δὲ, τῶν ἐπιπεφυκότων εἶναι τά-
φῳ τινὶ τῶν πάλαι βασιλέων. τοῦτό τε οὖν
αὐτὸ πρὸ τῶν μελλόντων σημῆναι, καὶ ὅτι
τῶν τινα ναυτῶν ἐκνηξάμενον, ὡς ἐπὶ τὸ διά-
δημα, ἀφελόντα τοῦ καλάμου αὐτὸ, μετὰ χεῖ-
ρας μὲν οὐκ ἐνεγκεῖν, ὅτι νηχομένου ἂν αὐ-
τοῦ ἐβρέχετο. περιθεὶς δὲ τῇ κρατὶ τῇ αὑτοῦ,
οὕτω διήνεγκε. καὶ οἱ μὲν πολλοὶ τῶν ἀνα-
γραψάντων τὰ ἀλεξάνδρου, λέγουσιν ὅτι
τάλαντον μὲν ἐδωρήσατο αὐτῷ ἀλέξαν-
δρος,



δρος, τῆς προθυμίας εἵνεκα. ἀποτεμεῖν δὲ
ἐκέλευσε τὴν κεφαλὴν, τῶν μάντεων ταύ-
τῃ ἐξηγησαμένων, μὴ περιιδεῖν σῶαν ἐκεί-
νην τὴν κεφαλὴν, ἥ τις τὸ διάδημα ἐφόρη-
σε τὸ βασίλειον. ἀριστόβουλος μὲν λέγει,
τάλαντον ὅτι ἔλαβεν αὐτὸν, ἀλλὰ πληγὰς
λαβεῖν τῆς περιθέσεως ἕνεκα τοῦ διαδήμα-
τος. ἀριστόβουλος μὲν δὴ τῶν τινα φοινί-
κων τῶν ναυτῶν λέγει, ὅτι τὸ διάδημα τῷ
ἀλεξάνδρῳ ἐκόμισεν. εἰσὶ δὲ οἳ σέλευκον
λέγουσιν· καὶ τοῦτο, τῷ τε ἀλεξάνδρῳ ση-
μῆναι τὴν τελευτὴν, καὶ τῷ σελεύκῳ τὴν
βασιλείαν τὴν μεγάλην. σέλευκον γὰρ μέ-
γιστον τῶν μετὰ ἀλέξανδρον, διαδεξάμενον
τὴν ἀρχὴν τὴν μεγάλην, βασιλέα γενέσθαι,
τήν τε γνώμην βασιλικώτατον, καὶ πλεί-
στης γῆς ἐπάρξαι μετά γε αὐτὸν ἀλέξαν-
δρον, οὔ μοι δοκεῖ εἶναι ἐς ἀμφίλογον. ἐπα-
νελθὼν δὲ εἰς βαβυλῶνα, καταλαμβάνει
πευκέσταν ἥκοντα ἐκ περσῶν, ἄγοντα στρα-
τιὰν περσῶν ἐς δισμυρίους. ἦγε δὲ καὶ
κοσσαίων καὶ ταπούρων οὐκ ὀλίγους, ὅτι
καὶ ταῦτα τὰ ἔθνη τῶν προσχώρων τῇ περσίδι,

L μαχι

μαχιμώτατα εἶναι ἐξηγγέλλετο. ἧκε δὲ αὐ-
τῷ καὶ φιλόξενος, στρατιὰν ἄγων ἀπὸ κα-
ρίας, καὶ μένανδρος ἐκ λυδίας ἄλλους καὶ
μενίδας τοὺς ἱππέας ἄγων, τοὺς αὐτῷ ξυν-
ταχθέντας. καὶ πρεσβεῖαι δὲ ἐν τούτῳ ἐκ
τῆς ἑλλάδος ἧκον, καὶ τούτων οἱ πρέσ-
βεις, αὐτοί τε ἐστεφανωμένοι ἀλεξάνδρῳ
προσῆλθον. καὶ ἐστεφάνουν αὐτὸν στεφάνοις
χρυσοῖς, ὡς θεωροὶ δῆθεν ἐς τιμὴν θεοῦ ἀ-
φιγμένοι. τῷ δὲ, οὐ πόρρω ἄρα ἡ τελευτὴ
ἦν. ἔνθα δὴ τοὺς πέρσας ἐπαινέσας τῆς προ-
θυμίας, ὅτι πάντα πευκέστᾳ ἐπείθοντο, καὶ
αὐτὸν πευκέσταν τῆς ἐν κόσμῳ αὐτῶν ἐξη-
γήσεως, κατέλεγεν αὐτοὺς ἐς τὰς μακεδονι-
κὰς τάξεις, δεκαδάρχην μὲν τῆς δεκάδος
ἡγεῖσθαι μακεδόνα, καὶ ἐπὶ τούτῳ διμοιρί-
την μακεδόνα, καὶ δεκαστάτηρον, οὕτως ὀ-
νομαζόμενον ἀπὸ τῆς μισθοφορᾶς, ἥν τινα
μείονα μὲν τοῦ διμοιρίτου, πλείονα δὲ τῶν
οὐκ ἐν τιμῇ στρατευομένων ἔφερεν. ἐπὶ
τούτοις δὲ δώδεκα πέρσας, καὶ τελευταῖ-
ον τῆς δεκάδος μακεδόνα δεκαστάτηρον
καὶ τοῦτον. ὥς τε ἐν τῇ δεκάδι τέσσαρας μὲν
εἶναι



εἶναι μακεδόνας, τοὺς μὲν τῇ μισθοφορᾷ
προὔχοντας, τὸν δὲ τῇ ἀρχῇ τῆς δεκά-
δος. δώδεκα δὲ πέρσας, τοὺς μὲν μακε-
δόνας τὴν πάτριον ὅπλισιν ὡπλισμέ-
νους, τοὺς δὲ πέρσας τοὺς μὲν τοξότας,
τοὺς δὲ καὶ μεσάγκυλα ἔχοντας. ἐν τού-
τῳ δὲ πολλάκις μὲν τοῦ ναυτικοῦ ἀπε-
πειρᾶτο. πολλαὶ δὲ ἔριδες αὐτῷ τῶν τριη-
ρῶν, καὶ ὅσαι τε τετρήρεις κατὰ τὸν ποτα-
μὸν ἐγίγνοντο, καὶ ἀγῶνες τῶν τε ἐρετῶν
καὶ τῶν κυβερνητῶν, καὶ στέφανοι τῶν νι-
κώντων. ἧκον δὲ καὶ παρὰ ἄμμωνος οἱ
θεωροί, οὕς τινας ἐστάλκει ἐρησομένους, ὅ-
πως θέμις αὐτῷ τιμᾶν ἡφαιστίωνα. οἱ δὲ
ὡς ἥρωϊ, ἔφησαν, ὅτι θύειν θέμις ὁ ἄμμων
λέγει. ὁ δὲ, ἔχαιρέ τε τῇ μαντείᾳ. καὶ τὸ
ἀπὸ τοῦδε, ὡς ἥρωα ἐγέραιρε. καὶ κλεομέ-
νει ἀνδρὶ κακῷ, καὶ πολλὰ ἀδικήματα
ἀδικήσαντι ἐν αἰγύπτῳ, ἐπιστέλλει ἐπιστο-
λήν, καὶ ταύτην τῆς μὲν ἐς ἡφαιστίωνα καὶ
ἀποθανόντα φιλίας ἕνεκα καὶ μνήμης, οὐ
μέμφομαι ἔγωγε. ἄλλων δὲ πολλῶν ἕνεκα,
μέμφομαι. ἔλεγε γὰρ ἡ ἐπιστολὴ, κατασκευα

 σθῆναι

ἀθῆναι ἡφαιστίωνι ἡρῷον ἐν ἀλεξανδρείᾳ τῇ αἰγυπτίᾳ, ἔν τε τῇ πόλει αὐτῇ, καὶ ἐν τῇ νήσῳ τῇ φάρῳ, ἵνα ὁ πύργος ἐστὶν ὁ ἐν τῇ νήσῳ, μεγέθει τε μέγιστον, καὶ πολυτελείᾳ ἐκπρεπέστατον. καὶ ὅπως ἐπικρατήσῃ ἐπικαλεῖσθαι ἀπὸ ἡφαιστίωνος, καὶ τοῖς συμβολαίοις, καθ' ὅσα οἱ ἔμποροι ἀλλήλοις ξυμβάλλουσιν, ἐγγράφεσθαι τὸ ὄνομα ἡφαιστίωνος. ταῦτα μὲν οὖν οὐκ ἔχω μέμψασθαι, πλήν γε δὴ ὅτι οὐκ ἐπὶ μεγάλοις μεγάλως διεσπουδάζετο. ἐκεῖνα δὲ καὶ πάνυ μέμφομαι. ἢν γὰρ καταλάβω ἐγὼ (ἔλεγε τὰ γράμματα) τὰ ἱερὰ τὰ ἐν αἰγύπτῳ καλῶς κατεσκευασμένα, καὶ τὰ ἡρῷα τὰ ἡφαιστίωνος, εἴ τέ τι πρότερον ἡμάρτηκας, ἀφήσω σε τούτου, καὶ τὸ λοιπὸν ὁπηλίκον ἂν ἁμάρτῃς, οὐδὲν πείσῃ ἐξ ἐμοῦ ἄχαρι. τοῦτο ἀνδρὶ ἄρχοντι πολλῆς μὲν χώρας, πολλῶν δὲ ἀνθρώπων ἐκ βασιλέως μεγάλου ἐπεσταλμένον, ἄλλως τε καὶ κακῷ ἀνδρί, οὐκ ἔχω ἐπαινέσαι. ἀλλὰ γὰρ αὐτῷ ἤδη ἀλεξάνδρῳ ἐγγὺς ἦν τὸ τέλος. καί τι καὶ τοιόνδε πρὸ τῶν μελλόντων σημῆναι λέγει ἀριστόβουλος. κα-





ταλοχίζειν μὲν αὐτὸν τὴν στρατιὰν τὴν ξὺν πευκέστᾳ τε ἐκ περσῶν, καὶ ἀπὸ θαλάσσης ξὺν φιλοξένῳ καὶ μενάνδρῳ ἥκουσαν, ἐς τὰς μακεδονικὰς τάξεις. διψήσαντα δέ, ἀποχωρῆσαι ἐκ τῆς ἕδρας, καταλιπόντα ἔρημον τὸν θρόνον τὸν βασίλειον. εἶναι δὲ κλίνας ἑκατέρωθεν τοῦ θρόνου ἀργυρόποδας, ἐφ' ὧν οἱ ἀμφ' αὐτὸν ἑταῖροι ἐκάθηντο. τῶν τινα οὖν ἠμελημένων ἀνθρώπων, οἱ δὲ καὶ τῶν ἐν φυλακῇ ἀδέσμῳ ὄντα λέγουσιν, ἔρημον ἰδόντα τὸν θρόνον, καὶ τὰς κλίνας περὶ τῷ θρόνῳ διεστηκότας τοὺς εὐνούχους, καὶ γὰρ καὶ οἱ ἑταῖροι ξυνανέστησαν τῷ βασιλεῖ ἀποχωροῦντι, διελθόντα διὰ τῶν εὐνούχων, ἀναβῆναί τε ἐπὶ τὸν θρόνον, καὶ καθέζεσθαι. τοὺς δὲ οὐκ ἀναστῆναι μὲν αὐτὸν ἐκ τοῦ θρόνου κατὰ δή τινα νόμον περσικόν. περιρρηξαμένους δέ, τύπτεσθαι τά τε στήθη, καὶ τὰ πρόσωπα, ὡς ἐπὶ μεγάλῳ κακῷ. ταῦτα ὡς ἐξηγγέλθη ἀλεξάνδρῳ, κελεῦσαι στρεβλωθῆναι τὸν καθίσαντα, μή ποτε ἐξ ἐπιβουλῆς ξυντεταγμένον τοῦτο ἔδρασε, γνῶναι θέλοντα. τὸν δὲ οὐδὲν

ἄλλο κατασπᾶν, ὅτι μὴ ἐπινοοῦν οἱ ἐλθὼν, οὕτω πρᾶξαι. ἢ δὴ καὶ μᾶλλον ἐπ' οὐδενὶ ἀγαθῷ ξυμβῆναι αὐτῷ οἱ μάντεις ἐξηγοῦντο. ἡμέραι τε οὐ πολλαὶ ἐπὶ τούτῳ ἐγένοντο, καὶ τεθυκὼς τοῖς θεοῖς, τάς τε νομιζομένας θυσίας ἐπὶ ξυμφοραῖς ἀγαθαῖς, καί τινας καὶ ἐκ μαντείας, εὐωχεῖτο ἅμα τοῖς φίλοις, καὶ ἔπινε πόρρω τῶν νυκτῶν. δοῦναι δὲ λέγεται καὶ τῇ στρατιᾷ ἱερεῖα, καὶ οἶνον κατὰ λόχους καὶ ἑκατοστύας. ἀπὸ δὲ τοῦ πότου, αὐτὸν μὲν ἀπαλλάττεσθαι ἐθέλειν ἐπὶ κοιτῶνι, εἰσὶν οἱ ἀνέγραψαν. μήδιον δὲ αὐτῷ ἐντυχόντα τῶν ἑταίρων, ἐν τῷ τότε τὸν πιθανώτατον, δεηθῆναι κωμάσαι παρ' οἱ. γενέσθαι γὰρ ἂν ἡδὺν τὸν κῶμον. καὶ αἱ βασίλειαι ἐφημερίδες, ὧδε ἔχουσι, πίνειν παρὰ μηδίῳ αὐτὸν κωμάσαντα. ἔπειτα ἐξαναστάντα, καὶ λουσάμενον, καθεύδειν τε, καὶ αὖθις δειπνεῖν παρὰ μηδίῳ, καὶ αὖθις πίνειν πόρρω τῶν νυκτῶν· ἀπαλλαχθέντα δὲ τοῦ πότου, λούσασθαι· καὶ λουσάμενον, ὀλίγον τι ἐμφαγεῖν, καὶ καθεύδειν αὐτοῦ, ὅτι ἤδη ἐπύρεσσεν. καὶ

ἐκκο



ἐκκομισθέντα ἐπὶ κλίνης πρὸς τὰ ἱερὰ, θῦσαι ὡς νόμος, ἐφ' ἑκάστῃ ἡμέρᾳ. καὶ τὰ ἱερὰ ἐπιθέντα κατακεῖσθαι ἐν τῷ ἀνδρῶνι, ἐς τε ἐπὶ κνέφας. ἐν τούτῳ δὲ τοῖς ἡγεμόσι παραγγέλλειν ὑπὲρ τῆς πορείας, καὶ τοῦ πλοῦ. τοὺς μὲν, ὡς πεζῇ ἰόντας παρασκευάζεσθαι ἐς τετάρτην ἡμέραν· τοὺς δὲ ἅμα οἱ πλέοντας, ὡς εἰς πέμπτην πλευσομένους. ἐκεῖθεν δὲ κατακομισθῆναι ἐπὶ κλίνης, ὡς ἐπὶ τὸν ποταμόν. καὶ πλοίου ἐπιβάντα, διαπλεῦσαι πέραν τοῦ ποταμοῦ ἐς τὸν παράδεισον, κἀκεῖ αὖθις λουσάμενον, ἀναπαύεσθαι. ἐς δὲ τὴν ὑστεραίαν, λούσασθαί τε αὖθις, καὶ θῦσαι τὰ νομιζόμενα. καὶ ἐς τὴν καμάραν εἰσελθόντα, κατακεῖσθαι διαμυθολογοῦντα πρὸς μήδιον. παραγγεῖλαι δὲ καὶ τοῖς ἡγεμόσιν, ἀπαντῆσαι ἕωθεν. ταῦτα πράξαντα, δειπνῆσαι ὀλίγον. κομισθέντα δὲ αὖθις ἐς τὴν καμάραν, πυρέσσειν ἤδη ξυνεχῶς τὴν νύκτα ὅλην. τῇ δὲ ὑστεραίᾳ λούσασθαι, καὶ λουσάμενον θῦσαι. νεάρχῳ δὲ, καὶ τοῖς ἄλλοις ἡγεμόσιν παραγγεῖλαι, τὰ ἀμφὶ τὸν πλοῦν, ὅπως ἔσται ἐς τρίτην ἡμέραν.

ἡμέραν. τῇ δὲ ὑστεραίᾳ, λούσασθαι αὖθις, καὶ θῦσαι τὰ τεταγμένα. καὶ τὰ ἱερὰ ἐπιθέντα, οὐκέτι ἐλιννύειν πυρέσσοντα· ἀλλὰ καὶ ὣς τοὺς ἡγεμόνας εἰσκαλέσαντα, παραγγέλλειν τὰ πρὸς τὸν ἔκπλουν, ὅπως αὐτῷ ἔσται ἕτοιμα. λούσασθαί τε ἐπὶ τῇ ἑσπέρᾳ, καὶ λουσάμενον ἔχειν ἤδη κακῶς. τῇ δὲ ὑστεραίᾳ μετακομισθῆναι εἰς τὴν οἰκίαν, τὴν πρὸς τῇ κολυμβήθρᾳ, καὶ θῦσαι μὲν τὰ τεταγμένα. ἔχοντα δὲ πονήρως, ὅμως ἐκκαλέσαι τῶν ἡγεμόνων τοὺς ἐπικαιροτάτους, καὶ ὑπὲρ τοῦ πλοῦ αὖθις παραγγέλλειν. τῇ δὲ ἐπιούσῃ, μόγις ἐκκομισθῆναι πρὸς τὰ ἱερὰ, καὶ θῦσαι, καὶ μηδὲν μεῖον ἔτι παραγγέλλειν ὑπὲρ τοῦ πλοῦ τοῖς ἡγεμόσιν. εἰς δὲ τὴν ὑστεραίαν κακῶς ἤδη ἔχοντα, ὅμως θῦσαι τὰ τεταγμένα. παραγγεῖλαι δὲ, τοὺς μὲν στρατηγοὺς διατρίβειν κατὰ τὴν αὐλήν. χιλιάρχας δὲ καὶ πεντακοσιάρχας, πρὸ τῶν θυρῶν. ἤδη δὲ παντάπασι πονήρως ἔχοντα, διακομισθῆναι ἐκ τοῦ παραδείσου, εἰς τὰ βασίλεια. εἰσελθόντων δὲ τῶν ἡγεμόνων, γνῶναι μὲν αὐτοὺς, φωνῆσαι δὲ μηδὲν ἔτι,

ἀλλ'



ἀλλ' εἶναι ἄναυδον. καὶ τὴν νύκτα πυρέσσειν κακῶς, καὶ τὴν ἡμέραν. οὕτως γὰρ ταῖς ἐφημερίσι ταῖς βασιλείοις ἀναγέγραπται. καὶ ἐπὶ τούτοις, ὅτι οἱ στρατιῶται ἐπόθησαν ἰδεῖν αὐτόν· οἱ μὲν, ὡς ζῶντα ἔτι ἰδεῖν· οἱ δὲ, ὅτι τεθνηκέναι ἤδη ἐξηγγέλλετο, ἐπικρύπτεσθαι δὲ αὐτοῦ ἐτόπαζον πρὸς τῶν σωματοφυλάκων τὸν θάνατον, ὡς ἔγωγε δοκῶ, τοὺς πολλοὺς ὑπὸ πένθους καὶ πόθου τοῦ βασιλέως, βιάσασθαι ἰδεῖν ἀλέξανδρον. τὸν δὲ ἄφωνον μὲν εἶναι λέγουσι, παραπορευομένης τῆς στρατιᾶς. δεξιοῦσθαι δὲ ὡς ἑκάστους, τὴν μὲν κεφαλὴν ἐπαίροντα μόγις, καὶ τοῖν ὀφθαλμοῖν ἐπισημαίνοντα. λέγουσι δὲ αἱ ἐφημερίδες αἱ βασίλειοι, ἐν τοῦ σαράπιδος τῷ ἱερῷ πείθωνά τε ἐγκοιμηθέντα, καὶ ἄτταλον, καὶ δημοφόντα, καὶ πευκέσταν. πρὸς δὲ κλεομένην τε καὶ μενίδαν, καὶ σέλευκον, ἐπερωτᾶν τὸν θεὸν, εἰ λῷον καὶ ἄμεινον ἀλεξάνδρῳ, εἰς τὸ ἱερὸν τοῦ θεοῦ κομισθέντα, καὶ ἱκετεύσαντα θεραπεύεσθαι πρὸς τοῦ θεοῦ. καὶ γενέσθαι φήμην τινὰ ἐκ τοῦ θεοῦ, μὴ κομίζεσθαι εἰς τὸ ἱερὸν, ἀλλ' αὐ-

τοῦ

τοῦ μένοντι ἔσεσθαι ἄμεινον. ταῦτά τε ἀπαγγεῖλαι τοὺς ἑταίρους, καὶ ἀλέξανδρον οὐ πολὺ ὕστερον ἀποθανεῖν· ὡς τοῦτο ἄρα ἤδη ὂν τὸ ἄμεινον. οὐ πόρρω δὲ τούτων, οὔτε ἀριστοβούλῳ, οὔτε πτολεμαίῳ ἀναγέγραπται. οἱ δὲ καὶ τάδε ἀνέγραψαν, ἐρέσθαι μὲν τοὺς ἑταίρους αὐτὸν, ὅτῳ τὴν βασιλείαν ἀπολείπει. τὸν δὲ ὑποκρίνασθαι, ὅτι τῷ κρατίστῳ. οἱ δὲ, προσθεῖναι πρὸς τούτῳ τῷ λόγῳ, ὅτι μέγαν ἐπιτάφιον ἀγῶνα ὁρᾷ ἐπ' αὐτῷ ἐσόμενον. πολλὰ δὲ καὶ ἄλλα οἶδα ἀναγεγραμμένα ὑπὲρ τῆς ἀλεξάνδρου τελευτῆς. καὶ φάρμακον ὅτι ἐπέμφθη παρὰ ἀντιπάτρου ἀλεξάνδρῳ, καὶ ἐκ τοῦ φαρμάκου ὅτι ἀπέθανεν. καὶ τὸ φάρμακον ὅτι ἀριστοτέλης μὲν ἀντιπάτρῳ ἐξεῦρε, δεδιὼς ἤδη ἀλέξανδρον, καλλισθένους ἕνεκα. κάσανδρος δὲ ὁ ἀντιπάτρου, ἐκόμισε. οἱ δὲ, καὶ ὅτι ἐν ἡμιόνου ὁπλῇ ἐκόμισε. καὶ τοῦτο ἀνέγραψαν. δοῦναι δὲ αὐτὸ, ἰόλλαν τὸν ἀδελφὸν τὸν κασάνδρου τὸν νεώτερον. εἶναι γὰρ οἰνοχόον βασιλικὸν τὸν ἰόλλαν, καί τι λελυπῆσθαι πρὸς ἀλεξάνδρου

ὀλίγον



ὀλίγον πρόσθεν τῆς τελευτῆς. οἱ δὲ, καὶ μήδιον μεταλαβεῖν τοῦ ἔργου, ἐραστὴν ὄντα τοῦ ἰόλλα. καὶ αὐτὸν γὰρ εἶναι τὸν εἰσηγητὴν γενόμενον ἀλεξάνδρῳ τοῦ κόσμου. ὀδύνην τε αὐτῷ ἐπὶ τῇ κύλικι γενέσθαι ὀξεῖαν, καὶ ἐπὶ τῇ ὀδύνῃ ἀπαλλαγῆναι ἐκ τοῦ πότου. ἤδη δέ τις οὐκ ᾐσχύνθη ἀναγράψαι, ὅτι αἰσθόμενος οὐ βιώσιμον ὄντα αὐτὸν ἀλέξανδρος, ἐς τὸν εὐφράτην ποταμὸν ᾔει ἐμβαλῶν, ὡς ἀφανὴς ἐξ ἀνθρώπων γενόμενος, πιστοτέραν τὴν δόξαν παρὰ τοῖς ἔπειτα ἐγκαταλείποι, ὅτι ἐκ θεοῦ τε αὐτῷ ἡ γένεσις ξυνέβη, καὶ παρὰ θεοὺς ἡ ἀποχώρησις. ῥωξάνην δὲ τὴν γυναῖκα οὐ λαθεῖν ἐξιόντα, ἀλλὰ εἰργόμενον πρὸς αὐτῆς, ἐποιμώξαντα εἰπεῖν, ὅτι ἐφθόνησεν ἄρα αὐτῷ δόξης τῆς ἐς ἅπαν, ὡς θεῷ δὴ γεγενημένῳ. καὶ ταῦτα ἐμοὶ ὡς μὴ ἀγνοεῖν δόξαιμι μᾶλλον ὅτι λεγόμενά ἐστιν, ἢ ὡς πιστὰ ἐς ἀφήγησιν ἀναγεγράφθω. ἐτελεύτα μὲν δὴ ἀλέξανδρος τῇ τετάρτῃ καὶ δεκάτῃ ἑκατοστῇ ὀλυμπιάδι, ἐπὶ ἡγησίου ἄρχοντος ἀθήνησιν. ἐβίω δὲ, δύο καὶ τριάκοντα ἔτη, καὶ τοῦ τρίτου

μῆνας

μῆνας ἔλαβεν ὀκτώ, ὡς λέγει Ἀριστόβουλος. ἐβασίλευσε δὲ δώδεκα ἔτη, καὶ τοὺς ὀκτὼ μῆνας τούτους. τό, τε σῶμα κάλλιστος, καὶ φιλοπονώτατος, καὶ ὀξύτατος γενόμενος, καὶ τὴν γνώμην ἀνδρειότατος, καὶ φιλοτιμότατος, καὶ φιλοκινδυνότατος, καὶ τοῦ θείου ἐπιμελέστατος. ἡδονῶν δὲ τῶν μὲν τοῦ σώματος ἐγκρατέστατος, τῶν δὲ τῆς γνώμης ἐπαίνου μόνου ἀπληστότατος, ξυνιδεῖν δὲ τὸ δέον ἔτι ἐν τῷ ἀφανεῖ ὂν δεινότατος, καὶ ἐκ τῶν φαινομένων τὸ εἰκὸς ξυμβαλεῖν ἐπιτυχέστατος, καὶ τάξαι στρατιὰν καὶ ὁπλίσαι τε καὶ κοσμῆσαι δαημονέστατος· καὶ τὸν θυμὸν τοῖς στρατιώταις ἐπᾶραι, καὶ ἐλπίδων ἀγαθῶν ἐμπλῆσαι, καὶ τὸ δεῖμα ἐν τοῖς κινδύνοις τῷ ἀδεεῖ τῷ αὑτοῦ ἀφανίσαι, ξύμπαντα ταῦτα γενναιότατος. καὶ οὖν καὶ ὅσα ἐν τῷ ἀφανεῖ πρᾶξαι, ξὺν μεγίστῳ θάρσει ἔπραξεν· ὅσα τε φθάσας ὑφαρπάσαι τῶν πολεμίων, πρὶν καὶ δεῖσαί τινα αὐτὰ ὡς ἐσόμενα, προλαβεῖν δεινότατος· καὶ τὰ μὲν ξυντεθέντα, ἢ ὁμολογηθέντα, φυλάξαι βεβαιότατος· πρὸς δὲ

τῶν



τῶν ἐξαπατώντων μὴ ἁλῶναι, ἀσφαλέστατος· χρημάτων τε ἐς μὲν ἡδονὰς τὰς αὑτοῦ, φειδωλότατος· ἐς δὲ εὐποιίαν τῶν πέλας, ἀφθονώτατος. εἰ δέ τι ἐπλημμελήθη Ἀλεξάνδρῳ δι' ὀξύτητα, ἢ ὑπ' ὀργῆς, ἢ εἴ τι ἐς τὸ ὑπερογκότερον προήχθη βαρβαρίσαι, οὐ μεγάλα τίθεμαι ἔγωγε, εἰ τὴν νεότητά τέ τις τὴν Ἀλεξάνδρου μὴ ἀνεπιεικῶς ἐνθυμηθείη, καὶ τὸ διηνεκὲς τῆς εὐτυχίας, καὶ τοὺς πρὸς ἡδονήν, οὐκ ἐπὶ τῷ βελτίστῳ τοῖς βασιλεῦσι ξυνόντας τε καὶ ἐπὶ κακῷ ξυνεσομένους. ἀλλὰ μεταγνῶναί γε ἐφ' οἷς ἐπλημμέλησε, μόνῳ οἶδα τῶν πάλαι βασιλέων Ἀλεξάνδρῳ ὑπάρξαι ὑπὸ γενναιότητος, οἱ δὲ πολλοὶ εἰ καί τι ἔγνωσαν πλημμελήσαντες. οἱ δὲ τῷ προηγορεῖν αὐτοῦ ὡς καλῶς δὴ πραχθέντος, ἐπικρύψειν οἴονται τὴν ἁμαρτίαν, κακῶς γιγνώσκοντες. μόνη γὰρ ἔμοιγε δοκεῖ ἴασις ἁμαρτίας, ὁμολογεῖν τε ἁμαρτάνοντα, καὶ δῆλον εἶναι ἐπ' αὐτῷ μεταγιγνώσκοντα. ὡς τοῖς παθοῦσί τι ἄχαρι, οὐ πάντη χαλεπὰ τὰ παθήματα φαινόμενα, εἰ ὁ δράσας αὐτὰ ξυγχωροίη,

ὅτι

ὅτι οὐ καλὰ ἔδρασεν. αὐτῷ τέ τινι ἐς τὸ μέλλον ταύτην ἐλπίδα ἀγαθὴν ὑπολειπομένην, μή ποτε ἂν παραπλήσιόν τι ἁμαρτεῖν, εἰ τοῖς πρόσθεν πλημμεληθεῖσιν ἀχθόμενος φαίνοιτο. ὅτι δὲ ἐς θεὸν τὴν γένεσιν τὴν αὐτοῦ ἀνέφερεν, οὐδὲ τοῦτο ἐμοὶ δοκεῖ εἶναι μέγα αὐτῷ τὸ πλημμέλημα, εἰ μὴ καὶ σόφισμα ἦν τυχὸν ἐς τοὺς ὑπηκόους τοῦ σεμνοῦ ἕνεκα. οὔκουν δοκεῖ ἔμοιγε, ἢ μίνωος γενέσθαι βασιλεὺς ἀφανέστερος, ἢ αἰακοῦ, ἢ ῥαδαμάνθυος, οἷς δὴ ἐς δία ἀνενεχθεῖσα ἡ γένεσις, πρὸς τῶν πάλαι ἀνθρώπων, οὐδὲ μιᾷ αὐτῶν ὕβρει προστίθεται· οὐδὲ θησέως τοῦ ποσειδῶνος, οὐδὲ ἴωνος τοῦ ἀπόλλωνος. ὡς ἔμοιγε καὶ ἡ περσικὴ σκευὴ σόφισμα εἶναι δοκεῖ, πρός τε τοὺς βαρβάρους, ὡς μὴ πάντῃ ἀλλότριον αὐτῶν φαίνεσθαι τὸν βασιλέα· καὶ πρὸς τοὺς μακεδόνας, ὡς ἀποστροφήν τινα εἶναι αὐτῷ ἀπὸ τῆς ὀξύτητός τε, καὶ ὕβρεως τῆς μακεδονικῆς. ἐφ' ὅτῳ δὴ καὶ ἐγκαταμίξαι μοι δοκεῖ ταῖς τάξεσιν αὐτῶν τοὺς πέρσας τοὺς μηλοφόρους, καὶ τοῖς ἀγήμασι τοὺς ὁμοτί-

μους.



μους. καὶ οἱ πότοι δέ, ὡς λέγει ἀριστόβουλος, τοῦ οἴνου ἕνεκα μακροὶ αὐτῷ ἐγίγνοντο. οὐ γὰρ πίνειν πολὺν οἶνον ἀλέξανδρον, ἀλλὰ φιλοφροσύνης τῆς ἐς τοὺς ἑταίρους. ὅστις δὲ κακίζει ἀλέξανδρον, μὴ μόνον ὅσα ἄξια κακίζεσθαί ἐστι προσφερόμενος κακιζέτω, ἀλλὰ ξύμπαντα ἀλεξάνδρου ἐς ἓν χωρίον συναγαγών, οὕτω δὲ ἐκλογιζέσθω, ὅστις τε ὢν αὐτός, καὶ ὁποίᾳ τύχῃ κεχρημένος, ὅντινα γενόμενον ἐκεῖνον καὶ ἐς ὅσον εὐτυχίας τῆς ἀνθρωπίνης ἐλθόντα, βασιλέα τε ἀμφοῖν τοῖν ἠπείροιν ἀναμφιλογώτατα γενόμενον, καὶ ἐπὶ πᾶν ἐξικόμενον τῷ αὐτοῦ ὀνόματι κακίζει, σμικρότερός τε ὢν αὐτός, καὶ ἐπὶ σμικροῖς πονούμενος, καὶ οὐδὲ ταῦτα ἐν κόσμῳ τιθέμενος· ὡς ἔγωγε δοκῶ, ὅτι οὔτε τι ἔθνος ἀνθρώπων, οὔτε τις πόλις ἐν τῷ τότε ἦν, οὔτε τις εἷς ἄνθρωπος, ἐς ὃν οὐ πεφοιτήκει τὸ ἀλεξάνδρου ὄνομα. οὔκουν οὐδ' ἐμοὶ ἔξω τοῦ θείου φῦναι ἂν δοκεῖ ἀνήρ, οὐδενὶ ἄλλῳ ἀνθρώπων ἐοικώς. καὶ ταῦτα χρησμοί τε ἐπισημῆναι ἐπὶ τῇ τελευτῇ τοῦ ἀλεξάνδρου λέγονται,

καὶ

καὶ φάσματα ἄλλα ἄλλοις γιγνόμενα, καὶ ἐνύπνια φανέντα ἄλλα ἄλλοις, καὶ ἡ ἐς τόδε ἐξ ἀνθρώπων τιμή τε αὐτοῦ, καὶ μνήμη οὐκ ἀνθρωπίνη οὖσα, καὶ νῦν διὰ τοσούτου ἄλλοι χρησμοὶ ἐπὶ τῇ τιμῇ αὐτοῦ τῷ ἔθνει τῶν μακεδόνων χρησθέντες. ἐπεὶ καὶ αὐτὸς ἐμεμψάμην ἔστιν ἃ ἐν τῇ ξυγγραφῇ τῶν ἀλεξάνδρου ἔργων, ἀλλὰ αὐτόν γε ἀλέξανδρον οὐκ αἰσχύνομαι θαυμάζων· τὰ δὲ ἔργα ἐκεῖνα ἐκάκισα, ἀληθείας ἕνεκα τῆς ἐμῆς, καὶ ἅμα ὠφελείας τῆς ἐπ᾽ ἀνθρώπους, ἐφ᾽ ὅτῳ ὡρμήθην οὐδὲ αὐτὸς ἄνευ θεοῦ, ἐς τήνδε τὴν ξυγγραφήν.

# ΑΡΡΙΑΝΟΥ ΑΛΕ-ΞΑΝΔΡΟΥ ΑΝΑΒΑΣΕΩΣ

## ΙΣΤΟΡΙΩΝ ΟΓΔΟΗ.

ΤΑ ΕΞΩ ἰνδοῦ ποταμοῦ τὰ πρὸς ἑσπέρην ἔστε ἐπὶ τὸν ποταμὸν κωφῆνα, ἀστακηνοὶ καὶ ἀσσακηνοί, ἔθνεα ἰνδικὰ ἐποικέουσιν.





κέουσιν. ἀλλ᾽ οὔτε μεγάλοι τὰ σώματα, καθάπερ οἱ ἐντὸς τοῦ ἰνδοῦ ᾠκισμένοι, οὔτε ἀγαθοὶ ὡσαύτως τὸν θυμόν, οὐδὲ μέλανες ὡσαύτως τοῖς πολλοῖς ἰνδοῖσιν. οὗτοι πάλαι μὲν ἀσσυρίοις ὑπήκοοι ἦσαν. ἐπεὶ δὲ μήδοισι περσέων ἤκουον, καὶ φόρους ἀπέφερον κύρῳ τῷ καμβύσου ἐκ τῆς γῆς σφῶν, οὓς ἔταξε κῦρος. νυσαῖοι δὲ οὐκ ἰνδικὸν γένος ἐστίν, ἀλλὰ τῶν ἅμα διονύσῳ ἐλθόντων ἐς τὴν γῆν τῶν ἰνδῶν. τυχὸν μὲν καὶ ἑλλήνων, ὅσοι ἀπόμαχοι αὐτῶν ἐγένοντο ἐν τοῖς πολέμοις, οὓς τινας πρὸς ἰνδοὺς διόνυσος ἐπολέμησε. τυχὸν δὲ καὶ τῶν ἐπιχωρίων τοὺς ἐθέλοντας, τοῖς ἕλλησι συνῴκισε, τήν τε χώρην νυσαίην ὠνόμασεν ἀπὸ τοῦ ὄρεος τῆς νύσης διόνυσος, καὶ τὴν πόλιν αὐτὴν νύσαν. καὶ τὸ ὄρος τὸ πρὸς τῇ πόλει, ὅτου ἐν τῇσιν ὑπωρέῃσιν ᾤκισται ἡ νῦσα, μηρὸς κληΐζεται ἐπὶ τῇ συμφορῇ ᾗ τινι ἐχρήσατο εὐθὺς γενόμενος. ταῦτα μὲν οἱ ποιηταὶ ἐπὶ διονύσῳ ἐποίησαν. καὶ ἐξηγείσθων αὐτά, ὅσοι λόγιοι ἑλλήνων ἢ βαρβάρων. ἐν ἀσσακηνοῖσι δέ, μάσσακα πόλις με-

γάλη, ἵνα περ καὶ τὸ κράτος τῆς γῆς ἐστι τῆς ἀσσακηνῆς. καὶ ἄλλη πόλις πευκέλα ἔστι, μεγάλη καὶ αὕτη οὐ μακρὰν τοῦ ἰνδοῦ. ταῦτα μὲν ἔξω τοῦ ἰνδοῦ ποταμοῦ ᾤκισται, πρὸς ἑσπέρην ἔς τε ἐπὶ τὸν κωφῆνα. τὰ δὲ ἀπὸ τοῦ ἰνδοῦ πρὸς ἕω. τοῦτό μοι ἔστω ἡ ἰνδῶν γῆ, καὶ ἰνδοὶ οὗτοι ἔστωσαν. ὅροι δὲ τῆς ἰνδῶν γῆς, πρὸς μὲν βορέου ἀνέμους ὁ ταῦρος τὸ ὄρος. καλέεται δὲ ὁ ταῦρος ἔτι ἐν τῇ γῇ ταύτῃ. ἀλλ' ἄρχεται μὲν ἀπὸ θαλάσσης ὁ ταῦρος τῆς κατὰ παμφύλους τε καὶ λυκίην, καὶ κίλικας. παρατείνει τε ἐς τε τὴν πρὸς ἕω θάλασσαν, τέμνων τὴν ἀσίην πᾶσαν. ἄλλο δὲ ἄλλῃ καλέεται τὸ ὄρος, τῇ μὲν παραπαμισὸς, τῇ δὲ ἠμωδός. ἄλλῃ δὲ ἤμαον κληΐζεται. καὶ τυχὸν ἄλλα καὶ ἄλλα ἔχει οὐνόματα. μακεδόνες δὲ οἱ ξὺν ἀλεξάνδρῳ στρατεύσαντες, καύκασον αὐτὸ ἐκάλεον· ἄλλον τοῦτον καύκασον, οὐ τὸν σκυθικόν. ὡς καὶ τὸν ἐπέκεινα τοῦ καυκάσου λόγον κατέχειν, ὅτι ἦλθεν ἀλέξανδρος. τὰ πρὸς ἑσπέρην δὲ τῆς ἰνδῶν γῆς ὁ ποταμὸς ὁ ἰνδὸς ἀπείργει, ἔς τε ἐπὶ τὴν μεγάλην θά-

λασσαν,



λασσαν, ἵνα περ αὐτὸς κατὰ δύο στόματα ἐκδιδοῖ, οὐ συνεχέα ἀλλήλοισι τὰ στόματα, καθάπερ πέντε τοῦ ἴστρου ἐστὶ συνεχέα. ἀλλ' ὡς τὰ νείλου ὑπὸ τῶν, δέλτα ποιέεται τὸ αἰγύπτιον. ὧδέ τι καὶ τῆς ἰνδῶν γῆς δέλτα ποιέει ὁ ἰνδὸς ποταμὸς, οὐ μεῖον τοῦ αἰγυπτίου. καὶ τοῦτο πάταλα τῇ ἰνδῶν γλώσσῃ καλέεται. τὸ δὲ πρὸς νότου τε ἀνέμου καὶ μεσημβρίης, αὐτὴ ἡ μεγάλη θάλασσα ἀπείργει τὴν ἰνδῶν γῆν. καὶ τὰ πρὸς ἕω αὐτὴ ἡ θάλασσα ἀπείργει, τὰ μὲν πρὸς μεσημβρίης, καὶ τὰ πάταλά τε καὶ τοῦ ἰνδοῦ τὰς ἐκβολὰς, ὤφθη πρός τε ἀλεξάνδρου καὶ μακεδόνων καὶ πολλῶν ἑλλήνων. τὰ δὲ πρὸς ἕω, ἀλέξανδρος μὲν οὐκ ἐπῆλθε· τὰ δὲ πρόσω ποταμοῦ ὑφάσιος. ὀλίγοι δὲ ἀνέγραψαν τὰ μέχρι ποταμοῦ γάγγεω, καὶ ἵνα τοῦ γάγγεω αἱ ἐκβολαὶ, καὶ πόλις παλίμβοθρα μεγίστη ἰνδῶν πρὸς τῷ γάγγῃ. ἐμοὶ δὲ ἐρατοσθένης ὁ κυρηναῖος πιστότερος ἄλλου ἔστω, ὅτι τῆς περιόδου πέρι ἔμελεν ἐρατοσθένει. οὗτος ἀπὸ τοῦ ὄρεος τοῦ ταύρου, ἵνα τοῦ ἰνδοῦ αἱ

 πηγαὶ,

πηγαὶ, παρ' αὐτὸν ἰνδὸν ποταμὸν ἰόντι ἔς τε ἐπὶ τὴν μεγάλην θάλασσαν, καὶ τοῦ ἰνδοῦ τὰς ἐκβολὰς, μυρίους σταδίους καὶ τρισχιλίους τὴν πλευρὴν λέγει ἐπέχειν τῆς γῆς τῆς ἰνδῶν. ταύτῃ δὲ ἀντίπορον πλευρὴν ποιέει τὴν ἀπὸ τοῦ αὐτοῦ ὄρεος παρὰ τὴν ἑώην θάλασσαν, οὐκέτι ταύτῃ τῇ πλευρῇ ἴσην, ἀλλὰ ἄκρην γὰρ ἀνέχειν ἐπὶ μέγα ἔσω ἐς τὸ πέλαγος, ἐς τρισχιλίους σταδίους μάλιστα ἀνατείνουσαν τὴν ἄκραν, εἴη ἂν ὦν αὐτῷ ἡ παρὰ τῆς ἰνδῶν γῆς πρὸς ἕω, μυρίους καὶ ἑξακισχιλίους σταδίους ἐπέχουσα. τοῦτο μὲν αὐτῷ πλάτος τῆς ἰνδῶν γῆς συμβαίνει. μῆκος δὲ τὸ ἀφ' ἑσπέρης ἐπὶ ἕω, ἔς τε μὲν ἐπὶ πόλιν παλίμβοθρα, μεμετρημένον σχοίνοισι λέγει ἀναγράφειν, καὶ εἶναι γὰρ ὁδὸν βασιληίην, τοῦτο ἐπέχειν ἐς μυρίους σταδίους. τὰ δὲ ἐπέκεινα, οὐκέτι ὡσαύτως ἀτρεκέα. φήμας δὲ ὅσοι ἀνέγραψαν ξὺν τῇ ἄκρῃ τῇ ἀνεχούσῃ ἐς τὸ πέλαγος, ἐς μυρίους σταδίους μάλιστα ἐπέχειν λέγουσιν. εἶναι δὲ ἄνω τὸ μῆκος τῆς ἰνδῶν γῆς, σταδίων μάλιστα δισμυρίων. κτησίης δὲ ὁ κνίδιος τὴν





ἰνδῶν γῆν, ἴσην τῇ ἄλλῃ ἀσίῃ λέγει, οὐδὲν λέγων· οὐδὲ ὀνησίκριτος, τρίτην μοῖραν τῆς πάσης ἀσίης. νέαρχος δὲ μηνῶν τεττάρων ὁδὸν τὴν δι' αὐτοῦ τοῦ πεδίου τῆς ἰνδῶν γῆς. μεγασθένει δὲ, τὸ ἀπ' ἀνατολῶν ἐς ἑσπέρην πλάτος ἐστὶ τῆς ἰνδῶν γῆς, ὅ, τι περ οἱ ἄλλοι μῆκος ποιέουσι. καὶ λέγει μεγασθένης, μυρίων καὶ ἑξακισχιλίων σταδίων εἶναι, ἵνα περ τὸ βραχύτατον αὐτοῦ τὸ ἀπὸ ἄρκτου πρὸς μεσημβρίην. τοῦτο δὲ αὐτῷ μῆκος γίγνεται· καὶ ἐπέχει τριηκοσίους καὶ δισχιλίους, καὶ δισμυρίους, ἵνα περ τὸ στενώτατον αὐτοῦ. ποταμοὶ δὲ τοσοίδε εἰσὶν ἐν τῇ ἰνδῶν γῇ, ὅσοι οὐδὲ ἐν τῇ πάσῃ ἀσίῃ. μέγιστοι μὲν, ὁ γάγγης τε καὶ ὁ ἰνδὸς, ὅτου καὶ ἡ γῆ ἐπώνυμος ἄμφω, τοῦ τε νείλου τοῦ αἰγυπτίου καὶ τοῦ ἴστρου τοῦ σκυθικοῦ, καὶ εἰ ἐς ταυτὸ συνέλθοι αὐτοῖσι τὸ ὕδωρ, μέζονες. δοκέειν δὲ ἔμοι γε, καὶ ὁ ἀκεσίνης μέζων ἐστὶ τοῦ τε ἴστρου καὶ τοῦ νείλου, ἵνα περ παραλαβὼν ἅμα τόν τε ὑδάσπεα καὶ τὸν ὑδραώτην καὶ τὸν ὕφασιν, ἐμβάλλει ἐς τὸν ἰνδὸν, ὡς καὶ τριάκοντα αὐτῷ σταδίους

τὸ πλάτος αὐτοῦ εἶναι. καὶ τυχὸν, καὶ ἄλλοι πολλοὶ μέζονες ποταμοὶ ἐν τῇ ἰνδῶν γῇ ῥέουσιν· ἀλλὰ οὔ μοι ἀτρεκὲς, ὑπὲρ τῶν ἐπέκεινα ὑφάσιος ποταμοῦ ἰσχυρίσασθαι· ὅτι οὐ πρόσω τοῦ ὑφάσιος ἦλθεν ἀλέξανδρος. αὐτοῖν δὲ τοῖν μεγίστοιν ποταμοῖν, τοῦ τε γάγγεω καὶ τοῦ ἰνδοῦ, τὸν γάγγεα μεγέθει πολύ τι ὑπερφέρειν μεγασθένης ἀνέγραψεν, καὶ ὅσοι ἄλλοι μνήμην τοῦ γάγγεω ἔχουσιν. αὐτόν τε γὰρ μέγαν ἀνίσχειν ἐκ τῶν πηγαίων, δέχεσθαί τε ἐς αὐτὸν, τόν τε καϊνὰν ποταμὸν, καὶ τὸν ἐρραννοβόαν, καὶ τὸν κοσσόανον, πάντας πλωτούς. ἔτι δὲ σωνόν τε ποταμὸν, καὶ σιττόκατιν, καὶ σολόματιν· καὶ τούτους πλωτούς. ἐπὶ δὲ κονδοχάτην τε, καὶ σάμβον, καὶ μάγωνα, καὶ ἀγύρανιν, καὶ ὤμαλιν. ἐμβάλλουσι δὲ ἐς αὐτὸν, κομμενάσης τε μέγας ποταμὸς, καὶ κάκουθις, καὶ ἀνδώματις ἐξ ἔθνεος ἰνδικοῦ τοῦ μανδιαδινῶν ῥέων· καὶ ἐπὶ τούτοισιν, ἄμυστις παρὰ πόλιν καταδούπην, καὶ ὀξύμαγις ἐπὶ πασάλαις καλουμένοισι, καὶ ἐρεννέσις ἐν μάθαις, ἔθνει ἰνδικῷ, ξυμβάλλει





τῷ γάγγῃ. τούτων λέγει μεγασθένης οὐδένα εἶναι τοῦ μαιάνδρου ἀποδέοντα, ἵνα περ ναυσίπορος ὁ μαίανδρος εἶναι. ὦν τὸ εὖρος τῷ γάγγῃ, ἔνθα περ αὐτὸς ἑωυτοῦ στεινότατος, ἐς ἑκατὸν σταδίους. πολλαχῇ δὲ καὶ λιμνάζειν, ὡς μὴ ἄποπτον εἶναι τὴν πέρην χώρην· ἵνα χθαμαλή τέ ἐστι, καὶ οὐδαμῇ γηλόφοισιν ἀνεστηκυῖα. τῷ δὲ ἰνδῷ ἐς τωὐτὸν ἔρχεται, ὑδραώτης μὲν ἐν καμβισθόλοις παρειληφὼς, τόν τε ὕφασιν ἐν ἀστρόβαις, καὶ τὸν σαράγγην ἐκ κηκέων, καὶ τὸν νεῦδρον ἐξ ἀττακηνῶν, ἐς ἀκεσίνην ἐμβάλλουσιν. ὑδάσπης δὲ ἐν ὀξυδράκαις ἄγων ἅμα οἷ τὸν σίναρον ἐν ἀρίσπαις, ἐς τὸν ἀκεσίνην ἐκδιδοῖ καὶ οὗτος. ὁ δὲ ἀκεσίνης ἐν μαλλοῖς ξυμβάλλει τῷ ἰνδῷ. καὶ τούταπος δὲ μέγας ποταμὸς, ἐς τὸν ἀκεσίνην ἐκδιδοῖ. τούτων ὁ ἀκεσίνης ἐμπλησθεὶς, καὶ τῇ ἐπικλήσει ἐκνικήσας αὐτὸς τῷ ἑωυτοῦ ἤδη ὀνόματι, ἐσβάλλει ἐς τὸν ἰνδόν. κωφὴν δὲ, ἐν πευκελαΐτιδι ἅμα οἷ ἄγων μαλάμαντόν τε καὶ σόαστον, καὶ γαροίαν, ἐκδιδοῖ ἐς τὸν ἰνδόν. καθύπερθεν δὲ τουτέων, πάρενος

καὶ σάπαρνος οὐ πολὺ διέχοντες, ἐμβάλλουσιν ἐς τὸν ἰνδόν. σόαμος δὲ, ἐκ τῆς ὀρεινῆς τῆς σαβίσσαρέων, ἐρῆμος ἄλλου ποταμοῦ, ἐκδιδοῖ ἐς αὐτόν. καὶ τούτων τοὺς πολλοὺς μεγασθένης λέγει, ὅτι πλωτοί εἰσιν. οὔκουν ἀπιστίην χρὴ ἔχειν, ὑπέρ τε τοῦ ἰνδοῦ καὶ τοῦ γάγγεω, μηδὲ συμβλητοὺς εἶναι αὐτοῖσι τόν τε ἴστρον, καὶ τοῦ νείλου τὸ ὕδωρ. ἐς μέν γε τὸν νεῖλον οὐδένα ποταμὸν ἐκδιδόντα ἴσμεν, ἀλλ' ἀπ' αὐτοῦ διώρυχας τετμημένας κατὰ τὴν χώρην τὴν αἰγυπτίην. ὁ δὲ ἴστρος, ὀλίγος μὲν ἀνίσχει ἀπὸ τῶν πηγέων· δέχεται δὲ πολλοὺς ποταμούς, ἀλλ' οὔτε πλήθει ἴσους τοῖς ἰνδῶν ποταμοῖσιν, οἳ ἐς τὸν ἰνδὸν καὶ τὸν γάγγην ἐκδιδοῦσιν, πλωτοὺς δὲ δὴ καὶ κάρτα ὀλίγους, ὧν τοὺς μὲν αὐτὸς ἰδὼν οἶδα, τὸν ἔνον τε, καὶ τὸν σάον, ἔνος μὲν ἐν μεθορίῳ τῆς νωρίκων καὶ ῥαιτῶν γῆς, μίγνυται τῷ ἴστρῳ· ὁ δὲ σάος, κατὰ παίονας. ὁ δὲ χῶρος, ἵνα περ συμβάλλουσιν οἱ ποταμοί, ταυροῦνος καλέεται. ὅς τις δὲ καὶ ἄλλον οἶδε ναυσίπορον τῶν ἐς τὸν ἴστρον ἐκδιδόντων, ἀλλὰ οὐ πολλούς

που



που οἶδε. τὸ δὲ αἴτιον, ὅς τις ἐθέλει φράζειν τοῦ πλήθεός τε καὶ μεγέθεος τῶν ἰνδῶν ποταμῶν, φραζέτω. ἐμοὶ δὲ καὶ ταῦτα, ὡς ἀκοὴ ἀναγεγράφθω. ἐπεὶ καὶ ἄλλων πολλῶν ποταμῶν οὐνόματα μεγασθένης ἀνέγραψεν, οἳ ἔξω τοῦ γάγγεώ τε καὶ τοῦ ἰνδοῦ ἐκδιδοῦσιν ἐς τὸν ἑῷον, τε καὶ μεσημβρινὸν τὸν ἔξω πόντον. ὥς τε τοὺς πάντας ὀκτὼ καὶ πεντήκοντα λέγουσιν, ὅτι εἰσὶν ἰνδοὶ ποταμοὶ ναυσίποροι πάντες. ἀλλ' οὐδὲ μεγασθένης πολλὴν δοκέει μοι ἐπελθεῖν τῆς ἰνδῶν χώρης, πλήν γε ὅτι πλεῦνα, ἢ οἱ ξὺν ἀλεξάνδρῳ τῷ φιλίππου ἐπελθόντων, ξυγγενέσθαι γὰρ σανδρακόττῳ λέγει, τῷ μεγίστῳ βασιλεῖ τῶν ἰνδῶν· καὶ πώρῳ, ἔτι τούτου μέζονι. οὗτος γοῦν ὁ μεγασθένης λέγει, οὔτε ἰνδοὺς ἐπιστρατεῦσαι οὐδαμοῖσιν ἀνθρώποισιν, οὔτε ἰνδοῖσιν ἄλλους ἀνθρώπους, ἀλλὰ σέσωστριν μὲν τὸν αἰγύπτιον τῆς ἀσίας καταστρεψάμενον τὴν πολλὴν, ἔς τε ἐπὶ τὴν εὐρώπην σὺν στρατιῇ ἐλάσαντα, ὀπίσω ἀπονοστῆσαι, ἰνδάνθυρσον δὲ τὸν σκύθεα ἐκ σκυθέων ὁρμηθέντα,

πολλὰ

πολλὰ μὲν τῆς ἀσίης ἔθνεα καταστρέψασθαι. ἐπελθεῖν δὲ καὶ τὴν αἰγυπτίων γῆν κρατέοντα, σεμίραμιν δὲ τὴν ἀσσυρίην ἐπιχειρέειν μὲν στέλλεσθαι ἐς ἰνδούς, ἀποθανεῖν δὲ πρὶν τέλος ἐπιθεῖναι τοῖσι βουλεύμασιν. ἀλλὰ ἀλέξανδρον γὰρ στρατεῦσαι ἐπ' ἰνδοὺς μοῦνον, καὶ πρὸ ἀλεξάνδρου διονύσου πέρι πολλὸς λόγος κατέχει, ὡς καὶ τούτου στρατεύσαντος ἐς ἰνδούς, καὶ καταστρεψαμένου ἰνδούς· ἡρακλέος δὲ πέρι, οὐ πολλός. διονύσου μέν γε, καὶ νύσα πόλις μνῆμα οὐ φαῦλον τῆς στρατηλασίης, καὶ ὁ μηρὸς τὸ ὄρος, καὶ ὁ κισσός, ὅτι ἐν τῷ ὄρει τούτῳ φύεται. καὶ αὐτοὶ οἱ ἰνδοὶ ὑπὸ τυμπάνων τε καὶ κυμβάλων στελλόμενοι ἐς τὰς μάχας· καὶ ἐσθὴς αὐτοῖσι κατάστικτος ἐοῦσα, καθάπερ τοῦ διονύσου τοῖσι βάκχοισιν. ἡρακλέος δὲ οὐ πολλὰ ὑπομνήματα. ἀλλὰ τὴν ἄορνον γὰρ πέτρην, ἥν τινα ἀλέξανδρος βίῃ ἐχειρώσατο, ὅτι ἡρακλέης οὐ δυνατὸς ἐγένετο ἐξελεῖν, μακεδονικὸν δοκέει μοι τὸ κόμπασμα, καθάπερ ὦν καὶ τὸν παραπάμισον, καύκασον ἐκάλεον μακεδόνες,

οὐδέν



οὐδέν τι προσήκοντα τοῦτον τῷ καυκάσῳ. καί τι καὶ ἄντρον ἐπιφραδέντες ἐν παραπαμισάδῃσι, τοῦτο ἔφασαν ἐκεῖνο εἶναι τοῦ προμηθέως τοῦ τιτῆνος τὸ ἄντρον, ἐν ὅτῳ ἐκρέματο ἐπὶ τῇ κλοπῇ τοῦ πυρός. καὶ δὴ καὶ ἐν σίβαισιν ἰνδικῷ γένει, ὅτι δορὰς ἀμπεχομένους εἶδον τοὺς σίβας, ἀπὸ τῆς ἡρακλέους στρατηλασίης ἔφασκον, τοὺς ὑπολειφθέντας εἶναι τοὺς σίβας. καὶ γὰρ καὶ σκυτάλην φορέουσί τε οἱ σίβαι, καὶ τοῖσι βουσὶν αὐτῶν ῥόπαλον ἐπικέκαυται· καὶ τοῦτο ἐς μνήμην ἀνέφερον τοῦ ῥοπάλου τοῦ ἡρακλέους. εἰ δέ τῳ πιστὰ ταῦτα, ἄλλος ἂν οὗτος ἡρακλέης εἴη, οὐχ ὁ θηβαῖος, ἢ ὁ τύριος οὗτος, ἢ ὁ αἰγύπτιος, ἤ τις καὶ κατὰ τὴν ἄνω χώρην, οὐ πόρρω τῆς ἰνδῶν γῆς ᾠκισμένην μέγας βασιλεύς. ταῦτα μέν μοι ἐκβολὴ ἔστω τοῦ λόγου, ἐς τὸ μὴ πιστὰ φαίνεσθαι, ὅσα ὑπὲρ τῶν ἐπέκεινα τοῦ ὑφάσιος ποταμοῦ ἰνδῶν μετεξέτεροι ἀνέγραψαν. ἔς τε γὰρ ἐπὶ τὸν ὕφασιν, οἱ τῆς ἀλεξάνδρου στρατηλασίης μετασχόντες, οὐ πάντη ἄπιστοί εἰσιν. ἐπεὶ καὶ τόδε λέγει

μεγα-

μεγασθένης ὑπὲρ ποταμοῦ ἰνδικοῦ, σίλαν μὲν εἶναί οἱ οὔνομα. ῥέειν δὲ ἀπὸ κρήνης ἐπωνύμου τοῦ ποταμοῦ, διὰ τῆς χώρης τῶν σιλέων, καὶ τούτων ἐπωνύμων τοῦ ποταμοῦ τε καὶ τῆς κρήνης. τὸ δὲ ὕδωρ, παρέχεσθαι τοιόνδε. οὐδὲν εἶναι ὅτῳ ἐπέχει τὸ ὕδωρ, οὔτε τι νήχεσθαι ἐπ' αὐτοῦ, οὔτε τι ἐπιπλέειν, ἀλλὰ πάντα γὰρ ἐς βυθὸν δύνειν. οὕτω τι ἀμενηνότερον πάντων εἶναι τὸ ὕδωρ ἐκεῖνο, καὶ ἠεροειδέστερον. ὕεται δὲ ἡ ἰνδῶν γῆ τὸ θέρος, μάλιστα μὲν τὰ ὄρεα παραπαμισός τε καὶ ἠμωδὸς, καὶ τὸ ἰμαικὸν ὄρος, καὶ ἀπὸ τούτων μεγάλοι καὶ θολεροὶ οἱ ποταμοὶ ῥέουσιν. ὕεται δὲ τοῦ θέρους καὶ τὰ πεδία τῶν ἰνδῶν, ὥστε λιμνάζειν τὰ πολλὰ αὐτῶν. καὶ ἔφυγεν ἡ ἀλεξάνδρου στρατιὴ ἀπὸ τοῦ ἀκεσίνου ποταμοῦ μέσου θέρεος, ὑπερβαλόντος τοῦ ὕδατος ἐς τὰ πεδία· ὥστε ἀπὸ τῶνδε ἔξεστι τεκμηριοῦσθαι, καὶ τοῦ νείλου τὸ πάθημα τοῦτο ὅτι ἐοικὸς εἶναι, ὕεσθαι τὰ αἰθιόπων ὄρεα τοῦ θέρεος· καὶ ἀπ' ἐκείνων ἐμπιπλάμενον τὸν νεῖλον, ὑπερβάλλειν ὑπὲρ τὰς ὄχθας ἐς τὴν γῆν τὴν αἰγυ-





πτίην, θολερὸς ὢν. καὶ οὗτος ῥέει ἐν τῇδε τῇ ὥρᾳ, ὡς οὔτε ἂν ἀπὸ χιόνος τηκομένης ῥέειν, οὔτε εἰ πρὸς τῶν ὥρη θέρεος πνεόντων ἐτησίων ἀνέμων ἀνεκόπτετό οἱ τὸ ὕδωρ. ἄλλως τε οὐδὲ χιονόβλητα εἴη ἂν τὰ αἰθιόπων ὄρεα ὑπὸ καύματος. ὕεσθαι δὲ καθάπερ τὰ ἰνδῶν, οὐκ ἔξω ἐστὶ τοῦ εἰκότος. ἐπεὶ καὶ τἆλλα ἡ ἰνδῶν γῆ οὐκ ἀπέοικε τῆς αἰθιοπίας. καὶ οἱ ποταμοὶ οἱ ἰνδοὶ, ὁμοίως τῷ νείλῳ τῷ αἰθιοπίῳ τε καὶ αἰγυπτίῳ, κροκοδείλους τε φέρουσιν ἔστιν δὲ οἱ αὐτῶν, καὶ ἰχθύας, καὶ ἄλλα κήτεα, ὅσα ὁ νεῖλος, πλὴν ἵππου τοῦ ποταμίου. ὀνησίκριτος δὲ καὶ τοὺς ἵππους τοὺς ποταμίους λέγει ὅτι φέρουσι. τῶν τε ἀνθρώπων αἱ ἰδέαι οὐ πάντῃ ἀπᾴδουσιν αἱ ἰνδῶν τε καὶ αἰθιόπων. οἱ μὲν πρὸς νότου ἀνέμου ἰνδοὶ, τοῖς αἰθίοψι μᾶλλόν τι ἐοίκασι, μέλανές τε ἰδέσθαι εἰσὶ, καὶ ἡ κόμη αὐτοῖς μέλαινα. πλὴν γε δὴ, ὅτι σιμοὶ οὐχ ὡσαύτως, οὐδὲ οὐλόκρανοι ὡς αἰθίοπες. οἱ δὲ βορειότεροι τούτων, κατ' αἰγυπτίους, μάλιστα ἂν εἶεν τὰ σώματα. ἔθνεα δὲ ἰνδικὰ εἴκοσι καὶ ἑκατὸν

τὰ ἅπαντα λέγει μεγασθένης, δυοῖν δέοντα· καὶ πολλὰ μὲν εἶναι ἔθνεα ἰνδικὰ, καὶ αὐτὸς ξυμφέρομαι μεγασθένει. τὸ δὲ ἀτρεκὲς, οὐκ ἔχω εἰκάσαι, ὅπως ἐκμαθὼν ἀνέγραψεν, οὐδὲ πολλοστὸν μέρος τῆς ἰνδῶν γῆς ἐπελθὼν, οὐδὲ ἐπιμιξίης πᾶσι τοῖς γένεσιν ἐούσης ἐς ἀλλήλους, πάλαι μὲν δὴ νομάδας εἶναι ἰνδοὺς, καθάπερ σκυθέων τοὺς οὐκ ἀροτῆρας, οἱ ἐπὶ τῇσιν ἁμάξῃσι πλανώμενοι, ἄλλο τε ἄλλην τῆς σκυθίης ἀμείβουσιν, οὔτε πόλιας οἰκέοντες, οὔτε ἱρὰ θεῶν σέβοντες. οὕτω μηδὲ ἰνδοῖσι πόλιας εἶναι, μηδὲ ἱρὰ θεῶν δεδομημένα· ἀλλ' ἀμπέχεσθαι μὲν δορὰς θηρίων, ὅσων κατακάμνοιεν. σιτέεσθαι δὲ τῶν δενδρέων τὸν φλοιὸν. καλέεσθαι δὲ τὰ δένδρεα ταῦτα τῇ ἰνδῶν φωνῇ τάλα· καὶ φύεσθαι ἐπ' αὐτῶν καθάπερ τῶν φοινίκων ἐπὶ τῇσι κορυφῇσιν, οἷά περ τολύπας. σιτέεσθαι δὲ καὶ τῶν θηρίων, ὅσα ἕλοιεν ὠμοφαγίων τὰς πρὶν δὴ διόνυσον ἐλθεῖν ἐς τὴν χώρην τῶν ἰνδῶν. διόνυσον δὲ ἐλθόντα, ὡς κρατερὸς ἐγένετο, ἰνδῶν πόλιάς τε οἰκίσαι, καὶ νόμους θέ-

σθαι



σθαι τῇσι πόλεσιν, οἴνου τε δοτῆρα ἰνδοῖς γενέσθαι, καθάπερ ἕλλησι· καὶ σπείρειν διδάξαι τὴν γῆν, διδόντα αὐτὸν σπέρματα. ἢ οὐκ ἐλάσαντος ταύτῃ τριπτολέμου, ὅτεπερ ἐκ δήμητρος ἐστάλη, σπείρειν τὴν γῆν πᾶσαν. ἢ πρὸ τριπτολέμου τις οὗτος διόνυσος ἐπελθὼν τὴν ἰνδῶν γῆν, σπέρματα σφίσιν ἔδωκε καρποῦ τοῦ ἡμέρου, βόας τε ὑπ' ἀρότρῳ ζεῦξαι διόνυσον πρῶτον, καὶ ἀροτῆρας ἀντὶ νομάδων ποιῆσαι ἰνδῶν τοὺς πολλοὺς, καὶ ὁπλίσαι ὅπλοισι τοῖσιν ἀρηΐοισι, καὶ θεοὺς σέβειν ὅτι ἐδίδαξε διόνυσος ἄλλους τε, καὶ μάλιστα δὴ ἑωυτὸν, κυμβαλίζοντας καὶ τυμπανίζοντας· καὶ ὄρχησιν δὴ ἐκδιδάξαι τὴν σατυρικὴν, τὸν κόρδακα παρ' ἕλλησι καλούμενον. καὶ κομᾶν ἰνδοὺς τῷ θεῷ, μιτρηφορέειν τε ἀναδέξαι, καὶ μύρων ἀλοιφὰς ἐκδιδάξαι. ὥς τε καὶ ἐς ἀλέξανδρον ἔτι ὑπὸ κυμβάλων τε καὶ τυμπάνων ἐς τὰς μάχας ἰνδοὺς καθίστασθαι. ἀπιόντα δὲ ἐκ τῆς ἰνδῶν γῆς, ὥς οἱ ταῦτα κεκόσμητο, καταστῆσαι βασιλέα τῆς χώρης σπαρτίμβαν τῶν ἑταίρων ἕνα, τὸν βακχωδέστατον. τελευτήσαντος

δὲ

δὲ σπαρτέμβα, τὴν βασιλείην ἐκδέξασθαι βουδύαν, τὸν τούτου παῖδα. καὶ τὸν μὲν πεντήκοντα καὶ δύο ἔτεα βασιλεῦσαι ἰνδῶν, τὸν πατέρα· τὸν δὲ παῖδα, εἴκοσιν ἔτεα. καὶ τούτου παῖδα ἐκδέξασθαι τὴν βασιλείην κραδεύαν. καὶ τὸ ἀπὸ τοῦδε, τὸ πολὺ μὲν κατὰ γένος ἀμείβειν τὴν βασιλείην παῖδα παρὰ πατρὸς ἐκδεχόμενον. εἰ δὲ ἐκλείποι τὸ γένος, οὕτω δὴ ἀριστίνδην καθίστασθαι ἰνδοῖσι βασιλέας. ἡρακλέα δὲ, ὅν τινα ἐς ἰνδοὺς ἀφικέσθαι λόγος, κατέχει παρ' αὐτοῖσιν ἰνδοῖσιν γηγενέα λέγεσθαι. τοῦτον τὸν ἡρακλέα μάλιστα πρὸς σουρασηνῶν γεραίρεσθαι, ἰνδικοῦ ἔθνεος. ἵνα δύο πόλιες μεγάλαι, μεθορά τε καὶ κλεισόβορα, καὶ ποταμὸς ἰωβάρης πλωτὸς διαρρεῖ τὴν χώραν αὐτῶν. τὴν σκευὴν δὲ οὗτος ὁ ἡρακλέης, ἥν τινα ἐφόρεσε, μεγασθένης λέγει ὅτι ὁμοίην τῷ θηβαίῳ ἡρακλεῖ, ὡς αὐτοὶ ἰνδοὶ ἀπηγέονται. καὶ τούτῳ ἄρσενας μὲν παῖδας πολλοὺς κάρτα γενέσθαι ἐν τῇ ἰνδῶν γῇ. πολλῇσι γὰρ δὴ γυναιξὶν ἐς γάμον ἐλθεῖν, καὶ τοῦτον τὸν ἡρακλέα, θυγατέ-





ρα δὲ μουνογενέην. οὔνομα δὲ εἶναι τῇ παιδὶ, πανδαίην. καὶ τὴν χώραν ἵνα τε ἐγένετο, ἧς τινος ἐπέτρεψεν αὐτῇ ἄρχειν ἡρακλέης, πανδαίην τῆς παιδὸς ἐπώνυμον. καὶ ταύτῃ ἐλέφαντας μὲν γενέσθαι ἐκ τοῦ πατρὸς ἐς πεντακοσίους, ἵππον δὲ ἐς τετρακισχιλίην· πεζῶν δὲ, ἐς τὰς τρεῖς καὶ δέκα μυριάδας. καὶ τάδε μετεξέτεροι ἰνδῶν περὶ ἡρακλέα λέγουσιν· ἐπελθόντα αὐτὸν πᾶσαν γῆν καὶ θάλασσαν, καὶ καθήραντα ὅ, τι περ κακὸν, κίναδον ἐξευρεῖν ἐν τῇ θαλάσσῃ κόσμον γυναικήϊον, ὅν τινα καὶ ἐς τοῦτο ἔτι οἱ τε ἐξ ἰνδῶν τῆς χώρας τὰ ἀγώγιμα παρ' ἡμέας ἀγινέοντα σπουδῇ ὠνεόμενοι, ἐκκομίζουσι. καὶ ἑλλήνων δὲ πάλαι καὶ ῥωμαίων νῦν ὅσοι πολυκτέανοι καὶ εὐδαίμονες, μέζονι ἔτι σπουδῇ ὠνέονται τὸν μαργαρίτην δὴ τὸν θαλάσσιον, οὕτω τῇ ἰνδῶν γλώσσῃ καλεόμενον. τὸν γὰρ ἡρακλέα, ὡς καλόν οἱ ἐφάνη τὸ φόρημα, ἐκ πάσης τῆς θαλάσσης ἐς τὴν ἰνδῶν γῆν συναγινέειν τὸν μαργαρίτην δὴ τοῦτον τῇ θυγατρὶ τῇ ἑωυτοῦ εἶναι κόσ-

μου. καὶ λέγει μεγασθένης, θηρεύεσθαι τὴν κόγχον αὐτοῦ δικτύοισι, νέμεσθαι δ' ἐν τῇ θαλάσσῃ κατ' αὐτὸ πολλὰς κόγχας, καθάπερ τὰς μελίσσας. καὶ εἶναι γὰρ καὶ τοῖσι μαργαρίτῃσι βασιλέα, ἢ βασίλισσαν, ὡς τῇσι μελισσῇσι. καὶ ὅς τις μὲν ἐκεῖνον κατ' ἐπιτυχίην συλλάβοι, τοῦτον δὲ εὐπετέως περιβάλλειν, καὶ τὸ ἄλλο σμῆνος τῶν μαργαριτῶν. εἰ δὲ διαφύγοι σφέας ὁ βασιλεύς, τούτῳ δὲ οὐκέτι θηρατοὺς εἶναι τοὺς ἄλλους· τοὺς ἁλόντας δὲ περιορᾶν, κατασαπῆναι σφίσι τὴν σάρκα· τῷ δὲ ὀστέῳ ἐς κόσμον χρῆσθαι. καὶ εἶναι γὰρ καὶ παρ' ἰνδοῖσι τὸν μαργαρίτην τριπλάσιον, κατὰ τιμὴν πρὸς χρυσίον τὸ ἄπεφθον, καὶ τοῦτο ἐν τῇ ἰνδῶν γῇ ὀρυσσόμενον. ἐν δὲ τῇ χώρῃ ταύτῃ, ἵνα ἐβασίλευσεν ἡ θυγάτηρ τοῦ ἡρακλέους, τὰς μὲν γυναῖκας ἑπταέτεας ἐούσας, ἐς ὥρην γάμου ἰέναι· τοὺς δὲ ἄνδρας, τεσσαράκοντα ἔτεα τὰ πλεῖστα βιώσκεσθαι, καὶ ὑπὲρ τούτου λεγόμενον λόγον εἶναι παρ' ἰνδοῖσιν, ἡρακλέα ὀψιγόνου οἱ γενομένης τῆς παιδός, ἐπεί τε δὴ ἐγγὺς ἔμαθεν ἑαυτῷ ἐοῦ-





σαν τὴν τελευτήν, οὐκ ἔχοντα ὅτῳ ἀνδρὶ ἐκδῷ τὴν παῖδα ἑωυτοῦ ἐπαξίῳ, αὐτὸν μιγῆναι τῇ παιδὶ ἑπταέτεϊ ἐούσῃ, ὡς γένος ἐξ οὗ τε κἀκείνης ὑπολείπεσθαι ἰνδῶν βασιλέας, ποιῆσαι ὦν αὐτὴν ἡρακλέα ὡραίην γάμου. καὶ ἐκ τοῦδε ἅπαν τὸ γένος τοῦτο, ὅτου ἡ πανδαίη ἐπῆρξε, ταὐτὸν τοῦτο γέρας ἔχειν παρὰ ἡρακλέους. ἐμοὶ δὲ δοκεῖ, εἴπερ ὦν τὰ ἐς τοσόνδε ἄτοπα ἡρακλέης οἷός τε ἦν ἐξεργάζεσθαι, καὶ αὐτὸν ἀποφῆναι μακροβιώτερον, ὡς ὡραίῃ μιγῆναι τῇ παιδί. ἀλλὰ γὰρ ἐν ταῦθα ὑπὲρ τῆς ὥρης τῶν ταύτῃ παίδων ἀτρεκέα ἐστίν, ὡς ταυτὸν φέρειν δοκεῖ ἔμοιγε, ἐς ὅτι περ καὶ ὑπὲρ τῶν ἀνδρῶν τῆς ἡλικίας, ὅτι τεσσαρακοντοῦται ἀποθνήσκουσιν οἱ πρεσβύτατοι αὐτῶν. οἷς γὰρ τότε γῆρας τοσῶδε ταχύτερον ἐπέρχεται, καὶ ὁ θάνατος ὁμοῦ τῷ γήρᾳ, πάντως που, καὶ ἡ ἀκμὴ πρὸς λόγον τοῦ τέλεος ταχυτέρη ἐπανθέει. ὥστε τριακοντοῦται μὲν ὠμογέροντες ἄν που εἶεν αὐτοῖσιν οἱ ἄνδρες, εἴκοσι δὲ ἔτεα γεγονότες οἱ ἔξω ἥβης νεανίσκοι. ἡ δὲ ἀκροτάτη ἥβη,

ἀμφὶ τὰ πεντεκαίδεκα ἔτεα. καὶ τῇσιν γυναιξὶν ὥρη τοῦ γάμου, κατὰ λόγον ἂν οὕτω ἐν τὰ ἑπτὰ ἔτεα συμβαίνοι. καὶ γὰρ τοὺς καρποὺς ἐν ταύτῃ τῇ χώρῃ πεπαίνεσθαί τε ταχύτερον μὲν τῆς ἄλλης, αὐτὸς οὗτος μεγασθένης ἀνέγραψε, καὶ φθίνειν ταχύτερον. ἀπὸ μὲν δὴ διονύσου βασιλέας ἠρίθμεον ἰνδοὶ ἐς ἀνδρόκοττον, τρεῖς καὶ πεντήκοντα καὶ ἑκατόν. ἔτεα δέ, δύο καὶ τεσσαράκοντα καὶ ἑξακισχίλια. ἐν δὲ τούτοισι, τρὶς τὸ πᾶν εἰς ἐλευθερίην· τὴν δέ, καὶ ἐς τριακόσια· τὴν δέ, εἴκοσί τε ἐτέων καὶ ἑκατόν. πρεσβύτερόν τε διόνυσον ἡρακλέος, δέκα καὶ πέντε γενεῇσιν ἰνδοὶ λέγουσιν. ἄλλον δὲ οὐδένα ἐμβαλεῖν ἐς γῆν τὴν ἰνδῶν ἐπὶ πολέμῳ, οὐδὲ κῦρον τὸν καμβύσεω, καίτοι ἐπὶ σκύθας ἐλάσαντα, καὶ τ᾽ ἄλλα πολυπραγμονέστατον δὴ τῶν κατὰ τὴν ἀσίην βασιλέων γενόμενον τὸν κῦρον. ἀλλὰ ἀλέξανδρον γὰρ ἐλθεῖν τε, καὶ κρατῆσαι πάντων τοῖς ὅπλοις, ὅσους γε δὴ ἐπῆλθε. καὶ ἂν καὶ πάντων κρατῆσαι, εἰ ἡ στρατιὴ ἤθελε. οὐ μὲν δὴ οὐδὲ ἰνδῶν τινα ἔξω τῆς οἰ-





κήης σταλῆναι ἐπὶ πολέμῳ, διὰ δικαιότητα. λέγεται δὲ καὶ τάδε, μνημεῖα ὅτι ἰνδοὶ τοῖς τελευτήσασιν οὐ ποιέουσιν, ἀλλὰ τὰς ἀρετὰς γὰρ τῶν ἀνδρῶν ἱκανὰς ἐς μνήμην τίθενται τοῖσιν ἀποθανοῦσι, καὶ τὰς ᾠδὰς αἳ αὐτοῖσιν ἐπᾴδονται. πόλεων δὲ καὶ ἀριθμὸν οὐκ εἶναι ἂν ἀτρεκὲς ἀναγράψαι τῶν ἰνδικῶν, ὑπὸ πλήθεος. ἀλλὰ γὰρ ὅσαι παραποτάμιαι αὐτέων, ἢ παραθαλάσσιαι, ταύτας μὲν ξυλίνας ποιέεσθαι· οὐ γὰρ εἶναι ἐκ πλίνθου ποιεομένας διαρκέσαι ἐπὶ χρόνον, τοῦ τε ὕδατος ἕνεκα τοῦ ἐξ οὐρανοῦ, καὶ ὅτι οἱ ποταμοὶ αὐτοῖσιν ὑπερβάλλοντες ὑπὲρ τὰς ὄχθας, ἐμπίπλασι τοῦ ὕδατος τὰ πεδία. ὅσαι δὲ ἐν ὑπερδεξίοις τε καὶ μετεώροις τόποισι, καὶ τούτοισιν ὑψηλοῖσιν ᾠκισμέναι εἰσί, ταύτας δὲ ἐκ πλίνθου τε καὶ πηλοῦ ποιέεσθαι. μεγίστην δὲ πόλιν ἰνδοῖσιν εἶναι τὰ παλίμβοθρα καλεομένην, ἐν τῇ γαδρωσίων γῇ, ἵνα αἱ συμβολαί εἰσι τοῦ τε ἐραννοβόα ποταμοῦ, καὶ τοῦ γάγγεω· τοῦ μὲν γάγγεω, τοῦ μεγίστου ποταμῶν· ὁ δὲ ἐραννοβόας, τρίτος μὲν ἂν εἴη τῶν ἰν-

δῶν ποταμῶν. μέζων δὲ τῶν ἄλλων καὶ οὗ-
τος· ἀλλὰ ξυγχωρέει αὐτὸς τῷ γάγγῃ, ἐπει-
δὰν ἐμβάλλῃ ἐς αὐτὸν τὸ ὕδωρ. καὶ λέγει
μεγασθένης, μῆκος μὲν ἐπέχειν τὴν πόλιν
καθ' ἑκατέρην τὴν πλευρήν, ἵνα περ μα-
κροτάτη αὐτὴ ἑωυτῆς ᾤκισται, ἐς ὀγδοή-
κοντα σταδίους· τὸ δὲ πλάτος, ἐς πεντε-
καίδεκα. τάφρον δὲ περιβεβλῆσθαι τῇ πό-
λει, τὸ εὖρος ἑξάπλεθρον, τὸ δὲ βάθος
τριήκοντα πηχέων. πύργους δὲ ἑβδομή-
κοντα καὶ πεντακοσίους ἐπέχειν τὸ τεῖ-
χος, καὶ πύλας τέσσαρας καὶ ἑξήκοντα.
εἶναι δὲ καὶ τόδε μέγα ἐν τῇ ἰνδῶν γῇ, πάν-
τας ἰνδοὺς εἶναι ἐλευθέρους, οὐδέ τινα δοῦ-
λον εἶναι ἰνδόν. τοῦτο μὲν μακεδονίοισιν ἐς
τοῦτο συμβαίνει, καὶ ἰνδοῖσιν. λακεδαιμο-
νίοις μέν γε οἱ εἵλωτες δοῦλοί εἰσιν, καὶ τὰ
δούλων ἐργάζονται. ἰνδοῖσιν δέ, οὐδὲ ἄλ-
λος δοῦλός ἐστι, μήτι γε ἰνδῶν τις. νενέμην-
ται δὲ οἱ πάντες ἰνδοί, ἐς ἑπτὰ μάλιστα γε-
νεάς. ἐν μὲν αὐτοῖσιν οἱ σοφισταί εἰσι, πλή-
θει μὲν μείους τῶν ἄλλων, δόξῃ δὲ καὶ τιμῇ
γεραρώτατοι, οὔτε γάρ τι τῷ σώματι ἐρ-
γάζεσθαι,



γάζεσθαι, ἀναγκαίη σφιν προσκέεται· οὔ-
τε τι ἀποφέρειν, ἀφ' ὅτω πονέουσιν ἐς τὸ
κοινόν· οὐδέ τι ἄλλο ἀνάγκης ἁπλῶς ἐπεῖ-
ναι τοῖς σοφιστῇσιν, ὅτι μὴ θύειν τὰς θυσί-
ας τοῖσι θεοῖσιν, ὑπὲρ τοῦ κοινοῦ ἰνδῶν. καὶ
ὅς τις δὲ ἰδίᾳ θύει, ἐξηγητὴς αὐτῷ τῆς θυ-
σίης τῶν τις σοφιστῶν τούτων γίνεται, ὡς
οὐκ ἂν ἄλλως κεχαρισμένα τοῖς θεοῖς θύ-
σαντας. εἰσὶ δὲ καὶ μαντικῆς οὗτοι μοῦνοι
ἰνδῶν δαήμονες, οὐδὲ ἐφεῖται ἄλλῳ μαν-
τεύεσθαι, ὅτι μὴ σοφῷ ἀνδρί. μαντεύουσι
δέ, ὅσα ὑπὲρ τῶν ὡραίων τοῦ ἔτεος, καὶ εἴ
τις ἐς τὸ κοινὸν συμφορὴ καταλαμβάνει.
τὰ δὲ ἴδια ἑκάστοισιν, οὔ σφιν μέλει μαντεύ-
εσθαι· ὡς οὐκ ἐξικνεομένης τῆς μαντικῆς
ἐς τὰ μικρότερα, ἢ ὡς οὐκ ἄξιον ἐπὶ τούτοι-
σι πονέεσθαι. ὅς τις δὲ ἁμάρτοι ἐς τρεῖς μαν
τευσάμενος, τούτῳ δὲ ἄλλο μὲν κακὸν γί-
νεσθαι οὐδέν· σιωπᾶν δὲ εἶναι ἐπάναγκες
τοῦ λοιποῦ. καὶ οὐκ ἔστιν ὅς τις ἐξαναγκά-
σει τὸν ἄνδρα τοῦτον φωνῆσαι, ὅτου ἡ σιω-
πὴ κατακέκριται. οὗτοι γυμνοὶ διαιτῶν-
ται οἱ σοφισταί, τοῦ μὲν χειμῶνος ὑπαίθριοι

ἐν τῷ ἡλίῳ, τοῦ δὲ θέρεος ἐπὰν ὁ ἥλιος κα-
τέχῃ ἐν τοῖς λειμῶσι καὶ τοῖσιν ἕλεσιν ὑπὸ
δενδρέοισι μεγάλοισιν. ὧν τὴν σκιὴν Νέαρ-
χος λέγει, ὅτι πέντε πλέθρα ἐν κύκλῳ ἐξι-
κνέεσθαι, καὶ ἂν μυρίους ἀνθρώπους ὑπὸ
ἑνὶ δενδρέῳ σκιάζεσθαι· τηλικαῦτα εἶναι
ταῦτα τὰ δένδρεα. σιτέονται δὲ ὡραῖα, καὶ
τὸν φλοιὸν τῶν δενδρέων, γλυκύν τε ὄντα
καὶ τρόφιμον, οὐ μεῖον ἢ περ αἱ βάλανοι
τῶν φοινίκων. δεύτεροι δ' ἐπὶ τούτοισιν οἱ
γεωργοί εἰσιν, οὗτοι πλήθει πλεῖστοι Ἰνδῶν
ἐόντες. καὶ τούτοισιν οὔτε ὅπλα ἐστὶν ἀρήια,
οὔτε μέλει τὰ πολέμια ἔργα, ἀλλὰ τὴν χώ-
ρην οὗτοι ἐργάζονται· καὶ τοὺς φόρους τοῖς
τε βασιλεῦσι, καὶ τῇσι πόλεσιν, ὅσαι αὐ-
τόνομοι, οὗτοι ἀποφέρουσι. καὶ εἰ πόλεμος
ἐς ἀλλήλους τοῖσιν Ἰνδοῖσιν τύχοι, τῶν ἐργα-
ζομένων τὴν γῆν, οὐ θέμις σφιν ἅπτεσθαι,
οὐδὲ αὐτὴν τὴν γῆν τέμνειν. ἀλλὰ οἱ μὲν
πολεμοῦσι, καὶ κατακαίνουσιν ἀλλήλους,
ὅπως τύχοι· οἱ δὲ πλησίον αὐτῶν κατ' ἡσυ-
χίαν ἀροῦσιν, ἢ τρυγῶσιν, ἢ κλαδεύουσιν, ἢ
θερίζουσιν. τρίτοι δέ εἰσιν Ἰνδοί, οἱ ποιμέ-
νες



νες τε καὶ βουκόλοι. καὶ οὗτοι, οὔτε κατὰ
πόλιας, οὔτε ἐν τοῖσι κώμῃσιν οἰκέουσι. νο-
μάδες τέ εἰσι, καὶ ἀνὰ τὰ ὄρεα βιοτεύου-
σι. φόρον δὲ καὶ οὗτοι ἀπὸ τῶν κτηνέων ἀπο-
φέρουσι. καὶ θηρεύουσιν οὗτοι ἀνὰ τὴν χώ-
ρην, ὄρνιθάς τε καὶ ἄγρια θηρία. τέταρτον
δέ ἐστι τὸ δημιουργικόν τε καὶ καπηλικὸν
γένος. καὶ οὗτοι λειτουργοί εἰσι, καὶ φόρον
ἀποφέρουσιν ἀπὸ τῶν ἔργων τῶν σφετέρων,
πλήν γε δὴ ὅσοι τὰ ἀρήια ὅπλα ποιέουσιν.
οὗτοι δὲ καὶ μισθὸν ἐκ τοῦ κοινοῦ προσλαμ-
βάνουσιν. ἐν δὲ τούτῳ τῷ γένει, οἵ τε ναυ-
πηγοί, καὶ οἱ ναῦταί εἰσιν, ὅσοι κατὰ τοὺς πο-
ταμοὺς πλώουσι. πέμπτον δὲ γένος ἐστὶν
Ἰνδοῖσιν, οἱ πολεμισταί, πλήθει μὲν δεύτε-
ρον μετὰ τοὺς γεωργούς, πλείστῃ δὲ ἐλευθε-
ρίῃ τε καὶ εὐθυμίῃ ἐπιχρεόμενον. καὶ οὗτοι
ἀσκηταὶ μόνων τῶν πολεμικῶν ἔργων εἰσί.
τὰ δὲ ὅπλα, ἄλλοι αὐτοῖς ποιέουσι. καὶ ἵπ-
πους ἄλλοι παρέχουσι, καὶ διακονοῦσιν
ἐπὶ στρατοπέδου ἄλλοι, οἱ τούς τε ἵππους
αὐτοῖς θεραπεύουσι, καὶ τὰ ὅπλα ἐκκα-
θαίρουσι, καὶ τοὺς ἐλέφαντας ἄγουσι, καὶ
τὰ

τὰ ἅρματα κοσμέουσί τε καὶ ἡνιοχεύουσιν. αὐτοὶ δὲ ἐς τ᾽ ἂν μὲν πολεμέειν δέῃ, πολεμοῦσιν. εἰρήνης δὲ γενομένης, εὐθυμέονται. καί σφιν μισθὸς ἐκ τοῦ κοινοῦ τοσόσδε ἔρχεται, ὡς καὶ ἄλλους τρέφειν ἀπ᾽ αὐτοῦ εὐμαρέως. ἕκτοι δέ εἰσιν ἰνδοῖσιν, οἱ ἐπίσκοποι καλεόμενοι. οὗτοι ἐφορῶσι τὰ γινόμενα, κατά γε τὴν χώρην, καὶ κατὰ τὰς πόληας. καὶ ταῦτα ἀναγγέλλουσι τῷ βασιλεῖ, ἵνα περ βασιλεύονται ἰνδοί· ἢ τοῖς τέλεσιν, ἵνα περ αὐτόνομοί εἰσι. καὶ τούτοις οὐ θέμις ψεῦδος ἀναγγεῖλαι οὐδέν, οὐδέ τις ἰνδῶν αἰτίην ἔσχε ψεύσασθαι. ἕβδομοι δέ εἰσιν, οἱ ὑπὲρ τῶν κοινῶν βουλευόμενοι ὁμοῦ τῷ βασιλεῖ. ἢ κατὰ πόληας, ὅσαι αὐτόνομοι σὺν τῇσιν ἀρχῇσι. πλήθει μὲν ὀλίγον τὸ γένος τοῦτό ἐστι. σοφίῃ δὲ καὶ δικαιότητι, ἐκ πάντων προκεκριμένον. ἔνθεν τε οἵ τε ἄρχοντες αὐτοῖσιν ἐπιλέγονται, καὶ ὅσοι νομάρχαι καὶ ὕπαρχοι, καὶ θησαυροφύλακές τε καὶ στρατοφύλακες, ναυαρχῖται καὶ ταμίαι, καὶ τῶν κατὰ γεωργίην ἔργων ἐπιστάται. γαμέειν δὲ ἐξ ἑτέρου γένεος, οὐ θέμις·

οἷον



οἷον τοῖσι γεωργοῖσιν ἐκ τοῦ δημιουργικοῦ, ἢ ἔμπαλιν. οὐδὲ δύο τέχνας ἐπιτηδεύειν τὸν αὐτόν, οὐδὲ τοῦτο θέμις. οὐδὲ ἀμείβειν ἐξ ἑτέρου γένεος εἰς ἕτερον, οἷον γεωργικὸν ἐκ νομέως γενέσθαι, ἢ νομέα ἐκ δημιουργικοῦ. μοῦνόν σφισιν ἀνεῖται, σοφιστὴν ἐκ παντὸς γένεος γενέσθαι· ὅτι οὐ μαλθακὰ τοῖσι σοφιστῇσίν εἰσι τὰ πρήγματα, ἀλλὰ πάντων ταλαιπωρότατα. θηρῶσι δὲ ἰνδοὶ τὰ μὲν ἄλλα ἄγρια θηρία, καθάπερ καὶ ἕλληνες. ἡ δὲ τῶν ἐλεφάντων σφιν θήρα, οὐδέν τι ἄλλῃ ἔοικε· ὅτι καὶ ταῦτα τὰ θηρία, οὐδαμοῖσιν ἄλλοισι θηρίοις ἐπέοικε. ἀλλὰ τόπον γὰρ ἐπιλεξάμενοι ἄπεδον, καὶ καυματώδεα, ἐν κύκλῳ τάφρον ὀρύσσουσι, ὅσον μεγάλῳ στρατοπέδῳ ἐπαυλίσασθαι. τῆς δὲ τάφρου τὸ εὖρος ἐν πέντε ὀργυιὰς ποιέονται, βάθος τε ἐν τέσσαρας. τὸν δὲ χοῦν ὅν τινα ἐκβάλλουσιν ἐκ τοῦ ὀρύγματος, ἐπὶ τὰ χείλεα ἑκάτερα τῆς τάφρου ἐπιφορήσαντες, ἀντὶ τείχεος διαχέονται. αὐτοὶ δὲ ἐπὶ τῷ χώματι τοῦ ἐπιχείλεος τοῦ ἔξω τῆς τάφρου, σκηνὰς σφιν

ὀρυκτὰς

ὀρυκτὰς ποιέονται, καὶ διὰ φυτέων ὅπως
ἀπολείπονται, δι' ὧν φῶς τε αὐτοῖς συν-
έρχεται. καὶ τὰ θηρία προσάγοντα, καὶ
ἐσελαύνοντα ἐς τὸ ἕρκος, σκέπτονται ἐν-
ταῦθα ἐντὸς τοῦ ἕρκεος, καταστήσαντο
τῶν τινας θηλέων τρεῖς ἢ τέσσαρας, ὅσαι
μάλιστα τὸν θυμὸν χειροήθεες, μίαν εἴσοδον
ἀπολιμπάνουσι κατὰ τὴν τάφρον, γεφυ-
ρώσαντες τὴν τάφρον· καὶ ταύτῃ χοῦν τε
καὶ πόαν πολλὴν ἐπιφέρουσι, τοῦ μὴ ἀρί-
δηλον εἶναι τοῖσι θηρίοισι τὴν γέφυραν,
μή τινα δόλον οἰσθῶσιν. αὐτοὶ μὲν οὖν ἐκ
ποδῶν σφᾶς ἐοῦσι κατὰ τῶν σκηνέων, τῶν
ὑπὸ τῇ τάφρῳ δεδυκότες. οἱ δὲ ἄγριοι ἐλέ-
φαντες, ἡμέρης μὲν οὐ πελάζουσι τοῖσιν
οἰκουμένοισιν, νύκτωρ δὲ πλανῶνταί τε
πάντῃ, καὶ ἀγεληδὸν νέμονται, τῷ μεγί-
στῳ καὶ γενναιοτάτῳ σφῶν ἑπόμενοι, καθά-
περ αἱ βόες τοῖσι ταύροισιν, ἐπεὰν ὧν τῷ
ἕρκει πελάσωσι, τήν τε φωνὴν ἀκούοντες
τῶν θηλέων, καὶ τῇ ὀδμῇ αἰσθόμενοι, δρό-
μῳ ἵενται ὡς ἐπὶ τὸν χῶρον τὸν πεφραγμέ-
νον. ἐκπεριελθόντες δὲ τῆς τάφρου τὰ χεί-

λεα,



λεα, εὖτ' ἂν τῇ γεφύρῃ ἐπιτύχωσιν, κατὰ
ταύτην εἰς τὸ ἕρκος ὠθέονται. οἱ δὲ ἄνθρω-
ποι αἰσθόμενοι τὴν ἔσοδον τῶν ἐλεφάντων
τῶν ἀγρίων, οἱ μὲν αὐτῶν τὴν γέφυραν ὀξέως
ἀφεῖλον, οἱ δὲ ἐπὶ τὰς πέλας κώμας ἀπο-
δραμόντες, ἀγγέλλουσι τοὺς ἐλέφαντας ὅτι
ἐν τῷ ἕρκει ἔχονται. οἱ δὲ ἀκούσαντες ἐπι-
βαίνουσι τῶν κρατίστων τε τὸν θυμόν, καὶ τῶν
χειροηθεστάτων ἐλεφάντων. ἐπιβάντες δέ,
ἐλαύνουσιν ὡς ἐπὶ τὸ ἕρκος. ἐλάσαντες
δέ, οὐκ αὐτίκα μάχης ἅπτονται· ἀλλ' ἐῶσι
γὰρ λιμῷ τε ταλαιπωρηθῆναι τοὺς ἀγρίους
ἐλέφαντας, καὶ ὑπὸ τῷ δίψει δουλωθῆ-
ναι. εὖτ' ἂν δέ σφισι κακῶς ἔχειν δοκέωσι,
τηνικαῦτα ἐπιστήσαντες αὖθις τὴν γέφυ-
ραν, ἐλαύνουσί τε ὡς ἐς τὸ ἕρκος. καὶ τὰ
μὲν πρῶτα μάχη ἵσταται κρατερὴ τοῖσιν
ἡμέροισι τῶν ἐλεφάντων, πρὸς τοὺς ἑαλωκό-
τας. ἔπειτα κρατέονται μὲν κατὰ τὸ εἰκὸς
οἱ ἄγριοι, ὑπό τε τῇ ἀθυμίῃ καὶ τῷ λιμῷ
ταλαιπωρούμενοι. οἱ δὲ ἀπὸ τῶν ἐλεφάν-
των καταβάντες, παρειμένοισιν ἤδη τοῖς
τῶν ἀγρίοισι τοὺς πόδας ἄκρους συνδέου-
σιν.

σιν. ἔπειτα ἐγκελεύονται τοῖσιν ἡμέροισι πληγαῖς σφᾶς κολάζειν πολλαῖς, ἔς τ' ἂν ἐκεῖνοι ταλαιπωρούμενοι ἐς γῆν πέσωσι. παραστάντες δὲ, βρόχους περιβάλλουσιν αὐτοῖσι κατὰ τοὺς αὐχένας, καὶ αὐτοὶ ἐπιβαίνουσι κειμένοισι. τοῦ δὲ μὴ ἀποσείεσθαι τοὺς ἀμβάτας, μηδέ τι ἄλλο ἀτάσθαλον ἐργάζεσθαι, τὸν τράχηλον αὐτοῖσιν ἐν κύκλῳ μαχαιρίῳ ὀξεῖ ἐπιτέμνουσι, καὶ τὸν βρόχον κατὰ τὴν τομὴν περιδέουσιν, ὡς ἀτρέμα ἔχειν τὴν κεφαλήν τε καὶ τὸν τράχηλον ὑπὸ τοῦ ἕλκεος. εἰ γὰρ περιστρέφοιντο ὑπὸ ἀτασθαλίης, τρίβεται αὐτοῖσι τὸ ἕλκος ὑπὸ τῷ κάλῳ. οὕτω μὲν ἀτρέμα ἴσχουσι. καὶ αὐτοὶ γνωσιμαχέοντες ἤδη, ἄγονται κατὰ τὸν δεσμὸν πρὸς τῶν ἡμέρων. ὅσοι δὲ νήπιοι αὐτῶν, ἢ διὰ κακότητα οὐκ ἄξιοι ἐκτῆσθαι, τούτους ἐῶσιν ἀπαλλάττεσθαι ἐς τὰ σφέτερα ἤθεα. ἄγονται δὲ εἰς τὰς κώμας τοὺς ἁλόντας, τοῦ τε χλωροῦ καλάμου, καὶ τῆς πόας τὰ πρῶτα ἐμφαγεῖν ἐδίδοσαν. οἱ δὲ ὑπὸ ἀθυμίης, οὐκ ἐθέλουσιν οὐδὲν σιτέεσθαι. τοὺς δὲ περιϊστάμενοι οἱ ἰνδοὶ,

ᾠδαῖσί



ᾠδαῖσί τε καὶ τυμπάνοισι, καὶ κυμβάλοισιν ἐν κύκλῳ κρούοντές τε καὶ ἐπᾴδοντες, κατευνάζουσι. θυμόσοφον γὰρ, εἴπερ τι ἄλλο θηρίον, ὁ ἐλέφας. καί τινες ἤδη αὐτῶν τοὺς ἀμβάτας σφῶν ἐν πολέμῳ ἀποθανόντας, ἄραντες αὐτοὶ, ἐξήνεγκαν ἐς ταφήν. οἱ δὲ καὶ ὑπερήσπισαν κειμένους. οἱ δὲ καὶ προόντων προεκινδύνευσαν. ὁ δέ τις πρὸς ὀργὴν ἀποκτείνας τὸν ἀμβάτην, ὑπὸ μετανοίης τε καὶ ἀθυμίης ἀπέθανε. εἶδον δὲ ἔγωγε καὶ κυμβαλίζοντα ἤδη ἐλέφαντα, καὶ ἄλλους ὀρχεομένους, κυμβάλοιν τῷ κυμβαλίζοντι πρὸς τοῖν σκελοῖν τοῖσιν ἔμπροσθεν προσηρτημένοιν, καὶ πρὸς τῇ προβοσκίδι καλεομένῃ ἄλλο κύμβαλον. ὁ δὲ ἐν μέρει τῇ προβοσκίδι ἔκρουε τὸ κύμβαλον ἐν ῥυθμῷ, πρὸς ἑκατέροιν τοῖν σκελοῖν. οἱ δὲ ὀρχεόμενοι ἐν κύκλῳ ἐχόρευον. καὶ ἐπαίροντές τε καὶ ἐπικάμπτοντες, τὰ ἔμπροσθεν σκέλεα ἐν τῷ μέρει ἐν ῥυθμῷ καὶ οὗτοι ἔβαινον, καθότι ὁ κυμβαλίζων σφίσιν ὑφηγέετο. βαίνεται δὲ ἐλέφας ἦρος ὥρῃ, κατάπερ βοῦς ἢ ἵππος, ἐπεὰν τῇσι θηλέη-

σιν

σιν αἱ παρὰ τοῖσι κροτάφοισιν ἀναπνοαὶ
ἀνοιχθεῖσαι ἐκπνέωσιν. κύει δὲ τὰ ἐλαχί-
στους μὲν, ἑκκαίδεκα μῆνας· τὰ πλείστους δὲ,
ὀκτωκαίδεκα. τίκτει δὲ ἕν, καθάπερ ἵππος.
καὶ τοῦτο ἐκτρέφει τῷ γάλακτι, ἐς ἔτος
ὄγδοον. ζῶσι δὲ ἐλεφάντων οἱ πλεῖστα ἔτεα
ζῶντες, ἐς διηκόσια. πολλοὶ δὲ νόσῳ προτε-
λευτῶσιν αὐτῶν. γήρᾳ δὲ ἐς τόσον ἔρχονται.
καί ἐστιν αὐτοῖσι τῶν μὲν ὀφθαλμῶν ἴαμα,
τὸ βόειον γάλα ἐγχεόμενον· πρὸς δὲ τὰς ἄλ-
λας νόσους, ὁ μέλας οἶνος πινόμενος. ἐπὶ
δὲ τοῖσιν ἕλκεσι, τὰ ὕεια κρέα ὀπτώμενα,
καὶ καταπασσόμενα. ταῦτα παρ᾽ ἰνδοῖσιν
ἐστὶν αὐτοῖσιν ἰάματα. τοῦ δὲ ἐλέφαντος
τὸν τίγριν πολλόν τι ἀλκιμώτερον ἰνδοὶ
ἄγουσι. τίγριος δὲ δορὴν μὲν ἰδεῖν λέγει
νέαρχος, αὐτὸν δὲ τίγριν οὐκ ἰδεῖν. ἀλλὰ
τοὺς ἰνδοὺς γὰρ ἀπηγέεσθαι, τίγριν εἶναι μέ-
γεθος μὲν ἡλίκον τὸν μέγιστον ἵππον· τὴν
δὲ ὠκύτητα καὶ ἀλκὴν, οἵην οὐδενὶ ἄλλῳ
εἰκάσαι. τίγριν γὰρ ἐπεὰν ὁμοῦ ἐλέφαντι,
ἐπιπηδᾶν τε ἐπὶ τὴν κεφαλὴν τοῦ ἐλέ-
φαντος, καὶ ἄγχειν εὐπετέως. ταῦτα δὲ
ἅς



ἅς τινας καὶ ἡμεῖς ὁρέομεν, καὶ τίγριας κα-
λέομεν, θόας εἶναι αἰόλους, καὶ μέζονας ἤ-
περ τοὺς ἄλλους θόας. ἐπεὶ καὶ ὑπὲρ τῶν
μυρμήκων λέγει νέαρχος, μύρμηκα μὲν αὐ-
τὸς οὐκ ἰδεῖν, ὁποῖον δή τινα μετεξέτεροι
διέγραψαν γίνεσθαι ἐν τῇ ἰνδῶν γῇ. δορὰς
δὲ καὶ τούτων ἰδεῖν πολλὰς, ἐς τὸ στρατό-
πεδον κατακομισθείσας τὸ μακεδονικόν.
μεγασθένης δὲ καὶ ἀτρεκέα εἶναι, ὑπὲρ τῶν
μυρμήκων τὸν λόγον ἱστορέει. τούτους εἶναι
τοὺς τὸν χρυσὸν ὀρύσσοντας, οὐκ αὐτοῦ τοῦ
χρυσοῦ ἕνεκα, ἀλλὰ σφίσι γὰρ κατὰ γῆς
ὀρύσσουσιν, ἵνα φωλεύοιεν· καθάπερ οἱ
ἡμέτεροι οἱ σμικροὶ μύρμηκες, ὀλίγον τῆς
γῆς ὀρύσσουσι. ἐκείνους δὲ εἶναι ἀλωπεκέων
μέζονας, πρὸς λόγον τοῦ μεγέθεος σφῶν
καὶ τὴν γῆν ὀρύσσειν. τὴν δὲ γῆν, χρυσῖτιν
εἶναι, καὶ ἀπὸ ταύτης γίνεσθαι ἰνδοῖσι τὸν
χρυσόν. ἀλλὰ μεγασθένης ἀκοὴν ἀπηγέεται·
καὶ ἐγὼ ὅτι οὐδὲν τούτου ἀτρεκέστερον ἀνα-
γράψαι ἔχω, ἀπίημι ἑκὼν τὸν ὑπὲρ τῶν
μυρμήκων λόγον. σιττακοὺς δὲ νέαρχος μὲν,
ὡς δή τι θαῦμα, ἀπηγέεται, ὅτι γίγνονται

 ἐν τῇ

ἐν τῇ ἰνδῶν γῇ· καὶ ὁποῖος ὄρνις ἐστὶν ὁ σιτ-
τακὸς, καὶ ὅπως φωνὴν ἵει ἀνθρωπίνην. ἐγὼ
δὲ ὅτι αὐτός τε πολλοὺς ὀπώπεα καὶ ἄλ-
λους ἐπισταμένους, εἰδέα τὸν ὄρνιθα οὐδὲν
ὡς ἀτόπου δῆθεν ἀφηγήσομαι· οὐδὲ ὑπὲρ
πιθήκων τοῦ μεγέθεος, ἢ ὅτι καλοὶ παρ'
ἰνδοῖς πίθηκοί εἰσιν, οὐδὲ ὅπως θηρῶνται
ἐρέω. καὶ γὰρ ταῦτα γνώριμα ἐρῶ. πλήν γε
δὴ, ὅτι καλοί που πίθηκοί εἰσι. καὶ ὄφιας
δὲ λέγει νέαρχος θηρευθῆναι αἰόλους μὲν,
καὶ ταχέας. μέγεθος δὲ, ὃν μὲν λέγει ἑλεῖν
πύθωνα τὸν ἀντιγένεος, πηχέων ὡς ἑκκαί-
δεκα· αὐτοὺς δὲ τοὺς ἰνδοὺς πολὺ μέζονας τού-
των λέγειν εἶναι τοὺς μεγίστους ὄφιας. ὅσοι δὲ
ἰητροὶ ἕλληνες, τούτοισιν οὐδὲν ἄκος ἐξεύ-
ρητο, ὅς τις ὑπὸ ὄφεως δηχθείη ἰνδικοῦ.
ἀλλ' αὐτοὶ γὰρ οἱ ἰνδοὶ ἰῶντο τοὺς πληγέντας.
καὶ ἐπὶ τῷδε λέγει νέαρχος συλλελεγμέ-
νους ἀμφ' αὐτὸν ἔχειν ἀλέξανδρον ἰνδῶν
ὅσοι ἰητρικὴν σοφώτατοι, καὶ κεκήρυκτο
ἀνὰ τὸ στρατόπεδον, ὅς τις δηχθείη, ἐπὶ τὴν
σκηνὴν φοιτᾶν τὴν βασιλέως. οἱ δὲ αὐτοὶ
οὗτοι καὶ τῶν ἄλλων νούσων τε καὶ παθέων
ἰητροὶ



ἰητροὶ ἦσαν. οὐ πολλὰ δὲ ἐν ἰνδοῖσι πάθεα
γίνεται· ὅτι αἱ ὧραι σύμμετροί εἰσιν αὐτό-
θι. εἰ δέ τι μέζον καταλαμβάνοι, τοῖσι σο-
φιστῇσιν ἀνεκοινοῦντο. καὶ ἐκεῖνοι οὐκ ἄνευ
θεοῦ ἐδόκεον ἰᾶσθαι, ὅτι περ ἰήσιμον. ἐσθῆτι
δὲ ἰνδοὶ λινέῃ χρέονται, καθάπερ λέγει νέ-
αρχος, λίνου τοῦ ἀπὸ τῶν δενδρέων, ὑπὲρ
ὅτων μοι ἤδη λέλεκται. τὸ δὲ λίνον τοῦτο ἢ
λαμπρότερον τὴν χροιήν ἐστιν ἄλλου λίνου
παντὸς· ἢ μέλανες αὐτοὶ ἐόντες, λαμπρό-
τερον τὸ λίνον φαίνεσθαι ποιέουσιν. ἔστι δὲ
χιτὼν λιναῦς αὐτοῖς, ἔς τε ἐπὶ μέσην τὴν
κνήμην. εἷμα δὲ τὸ μὲν, περὶ τοῖσιν ὤμοισι
περιβεβλημένον· τὸ δὲ, περὶ τῇσι κεφαλῇ-
σιν εἱλιγμένον. καὶ ἐνώτια ἰνδοὶ φορέουσιν
ἐλέφαντος, ὅσοι κάρτα εὐδαίμονες. οὐ γὰρ
πάντες ἰνδοὶ φορέουσι. τοὺς δὲ πώγωνας λέ-
γει νέαρχος, ὅτι βάπτονται ἰνδοί. χροιὴν δὲ
ἄλλην καὶ ἄλλην· οἱ μὲν, ὡς λευκοὺς φαίνε-
σθαι, οἵους λευκοτάτους· οἱ δὲ, κυανέους· τοὺς
δὲ, φοινικαίους εἶναι· τοὺς δὲ, καὶ πορφυρέ-
ους· ἄλλους πρασοειδέας. καὶ σκιάδια ὅτι
προβάλλονται τοῦ θέρεος, ὅσοι οὐκ ἠμελη-


μένοι

μένοι ἰνδῶν. ὑποδήματα δὲ λευκοῦ δέρ-
ματος φορέουσι. περιττῶς καὶ ταῦτα ἠσκη-
μένους. καὶ τὰ ἴχνη τῶν ὑποδημάτων αὐ-
τοῖσι ποικίλα καὶ ὑψηλά, τοῦ μέζονας φαί-
νεσθαι. ὅπλισις δὲ τῆς ἰνδῶν, οὐκ ὠυτὸς
ὁ τρόπος· ἀλλ' οἱ μὲν πεζοὶ αὐτοῖσι, τόξον
δὲ ἔχουσιν ἰσόμηκες τῷ φορέοντι τόξον.
καὶ τοῦτο κάτω ἐπὶ τὴν γῆν θέντες, καὶ τῷ
ποδὶ τῷ ἀριστερῷ ἀντιβάντες, οὕτως ἐκ-
τοξεύουσι τὴν νευρὴν ἐπὶ μέγα ὀπίσω ἀ-
παγαγόντες. ὁ γὰρ ὀϊστὸς αὐτοῖσιν ὀλίγον
ἀποδέων τριπήχεος, οὐδέ τι ἀντέχει το-
ξευθὲν πρὸς ἰνδοῦ ἀνδρὸς τοξικοῦ· οὔτε
ἀσπὶς, οὔτε θώρηξ, οὔτε εἴ τι καρτερὸν ἐγέ-
νετο. ἐν δὲ τῇσιν ἀριστερῇσι πέλται εἰσὶν
αὐτοῖσιν ὠμοβόϊναι, στενότεραι μὲν ἢ κατὰ
τοὺς φορέοντας, μήκει δὲ οὐ πολλὸν ἀπολεί-
πουσαι. τοῖσι δὲ ἀκόντια ἀντὶ τόξων εἰσί,
μάχαιραν δὲ πάντες φορέουσι. πλατέην
δὲ καὶ τὸ μῆκος οὐ μέζω τριπήχεος· καὶ
ταύτην, ἐπεὰν συστάδην καταστῇ αὐτοῖσιν
ἡ μάχη. τὸ δὲ οὐκ εὐμαρέως ἰνδοῖσιν ἐς ἀλ-
λήλους γίνεται, ἀμφοῖν τοῖν χεροῖν κατα-
φέρουσιν



φέρουσιν ἐς τὴν πληγήν, τοῦ καρτερὴν τὴν
πληγὴν γενέσθαι. οἱ δὲ ἱππέες, ἀκόντια δύο
αὐτοῖσιν ἔχουσιν, οἷα τὰ σαύνια ἀκόντια,
καὶ πέλτην τὴν μικροτέρην τῶν πεζῶν. οἱ
δὲ ἵπποι αὐτοῖσιν οὐ σεσαγμένοι εἰσίν, οὐ-
δὲ χαλινοῦνται τοῖσιν ἑλληνικοῖσι χαλι-
νοῖσιν, ἢ τοῖσι κελτικοῖσιν ἐμφερέως· ἀλλὰ
περὶ ἄκρῳ τῷ στόματι τοῦ ἵππου ἐν κύκλῳ
ἔχουσι δέρμα ὠμοβόϊνον, ῥαπτὸν, περιηρτη-
μένον. καὶ ἐν τούτῳ χάλκεα κέντρα ἢ σιδή-
ρεα, οὐ κάρτα ὀξέα, ἔσω ἐστραμμένα. τοῖσι δὲ
πλουσίοισιν ἐλεφάντινα κέντρα ἐστίν. ἐν δὲ
τῷ στόματι σίδηρον αὐτοῖσιν οἱ ἵπποι ἔχου-
σιν, οἷόν περ ὀβελόν, ἔνθεν ἐξηρτημένοι εἰ-
σὶν αὐτοῖσιν οἱ ῥυτῆρες. ἐπεὰν ὦν ἐπαγά-
γωσι τὸν ῥυτῆρα, ὅτε ὀβελὸς κρατέει τὸν ἵπ-
πον. καὶ τὰ κέντρα οἷα δὴ ἐξ αὐτοῦ ἠρτημέ-
να κεντέοντα, οὐκ ἐᾷ ἄλλο τι ἢ πείθεσθαι
τῷ ῥυτῆρι. τὰ δὲ σώματα ἰσχνοί τε εἰσὶν ἰν-
δοί, καὶ εὐμήκεες, καὶ κοῦφοι πολλόν τι
ὑπὲρ τοὺς ἄλλους ἀνθρώπους. ὀχήματα δὲ τοῖς
μὲν πολλοῖς ἰνδῶν, κάμηλοί εἰσι, καὶ ἵπποι
καὶ ὄνοι· τοῖς δὲ εὐδαίμοσιν, ἐλέφαντες. βα-

 σιλικὸν

φιλικὸν γὰρ ὄχημα ὁ ἐλέφας παρ' ἰνδοῖς ἐστί. δεύτερον δὲ τιμῇ τὰ ἐπὶ τούτῳ, τὰ τέθριππα. τρίτον δὲ, αἱ κάμηλοι. τὸ δὲ ἐφ' ἑνὸς ἵππου ὀχέεσθαι, ἄτιμον. αἱ γυναῖκες δὲ αὐτοῖσιν, ὅσαι κάρτα σώφρονες, ἐπὶ μὲν ἄλλῳ μισθῷ οὐκ ἄν τι διαμάρτοιεν. ἐλέφαντα δὲ λαβοῦσα γυνὴ, μίσγεται τῷ δόντι. οὐδὲ αἰσχρὸν ἰνδοὶ ἄγουσι, τὸ ἐπὶ ἐλέφαντι μιγῆναι. ἀλλὰ καὶ σεμνὸν δοκέει τῇσι γυναιξὶν, ἀξίην τὸ κάλλος φανῆναι ἐλέφαντος. γαμέουσι δὲ, οὔτε τι διδόντες, οὔτε λαμβάνοντες. ἀλλὰ ὅσαι ἤδη ὡραῖαι γάμου, ταύτας οἱ πατέρες προάγοντες, ἐς τὸ ἐμφανὲς καθιστᾶσιν ἐκλέξασθαι τῷ νικήσαντι πάλην, ἢ πὺξ, ἢ δρόμον, ἢ κατ' ἄλλην τινὰ ἀνδρείαν προκριθέντι. σιτοφάγοι δὲ, καὶ ἀροτῆρες ἰνδοί εἰσιν, ὅσοι γε μὴ ὄρειοι αὐτῶν. οὗτοι δὲ τὰ θήρεια κρέα σιτέονται. ταῦτά μοι ἀπόχρη δεδηλῶσθαι ὑπὲρ ἰνδῶν, ὅσα γνωριμώτατα νέαρχός τε καὶ μεγασθένης, δοκίμω ἄνδρε, ἀνεγραψάτην. ἐπεὶ δὲ οὐδὲ ἡ ὑπόθεσίς μοι τῆσδε τῆς συγγραφῆς τὰ ἰνδῶν νόμιμα ἀναγράψαι ἦν, ἀλλ' ὅπως γὰρ παρε

κομίσθη



κομίσθη ἀλεξάνδρῳ ἐς πέρσας ἐξ ἰνδῶν ὁ στόλος, ταῦτά δή μοι ἐκβολὴ ἔστω τοῦ λόγου. ἀλέξανδρος γὰρ ἐπειδή οἱ παρεσκεύαστο τὸ ναυτικὸν ἐπὶ τοῦ ὑδάσπεω τῇσιν ὄχθῃσιν, ἐπιλεγόμενος ὅσοι τε φοινίκων, καὶ ὅσοι κύπριοι ἢ αἰγύπτιοι εἵποντο, ἐν τῇ ἄνω στρατηλασίῃ, ἐκ τούτων ἐπλήρου τὰς νέας ὑπηρεσίας τε αὐτῇσι καὶ ἐρέτας ἐπιλεγόμενος, ὅσοι τῶν θαλασσίων ἔργων δαήμονες. ἦσαν δὲ καὶ νησιῶται ἄνδρες οὐκ ὀλίγοι ἐν τῇ στρατιῇ, οἷς ταῦτα ἔμελε, καὶ ἴωνες, καὶ ἑλλησπόντιοι. τριήραρχοι δὲ αὐτῷ ἐπεστάθησαν ἐκ μακεδόνων μὲν, ἡφαιστίων τε ἀμύντορος, καὶ λεοννάτος ὁ εὔνου, καὶ λυσίμαχος ὁ ἀγαθοκλέους, καὶ ἀσκληπιόδωρος ὁ τιμάνδρου, καὶ ἄρχων ὁ κλεινίου, καὶ δημόνικος ὁ ἀθηναίου, καὶ ἀρχίας ὁ ἀναξιδότου, καὶ ὀφελλᾶς σειληνοῦ, καὶ τιμάνθης παντιάδου. οὗτοι μὲν πελλαῖοι. ἐκ δὲ ἀμφιπόλεως ἦγον οἵδε. ἐκ κρήτης νέαρχος ἀνδροτίμου, ὃς τὰ ἀμφὶ τοῦ παράπλου ἀνέγραψε. καὶ λαμπέδων ὁ λαρίχου, καὶ ἀνδροσθένης καλλιστράτου. ἐκ δὲ ὀρεστίδος, κρατε-

ρός τε ὁ ἀλεξάνδρου, καὶ περδίκκας ὁ ὀρόντεω. ἐορδαῖοί τε, πτολεμαῖός τε ὁ λάγου, καὶ ἀριστόνους ὁ πεισαίου. ἐκ πύδνης τε, μήτρων τε ὁ ἐπιχάρμου, καὶ νικαρχίδης ὁ σίμου. ἐπὶ δὲ, ἄτταλός τε ὁ ἀνδρομένεω, στυμφαῖος καὶ πευκέστας, ἀλεξάνδρου μιεζεύς. καὶ πείθων κρατεύα, ἀλκομενεὺς καὶ λεοννάτος ἀντιπάτρου, αἰγαῖος καὶ πάνταυχος νικολάου, ἀλλωρίτης καὶ μυλλέας ζωΐλου βεροιαῖος. οὗτοι μὲν οἱ σύμπαντες μακεδόνες. ἑλλήνων δὲ, μήδιος μὲν ὀξυθέμιδος λαρισσαῖος, εὐμένης δὲ ἱερωνύμου, ἐκ καρδίης. κριτόβουλος δὲ πλάτωνος κῷος. καὶ θόας μηνοδώρου, καὶ μαίανδρος μανδρογένεος, μάγνητες. ἄνδρων δὲ καβήλεω, τήϊος. κυπρίων δὲ, νικοκλέως πασικράτεος, σόλιος καὶ νιθάφων πνυταγόρεω, σαλαμίνιος. ἦν δὲ δὴ καὶ πέρσης αὐτῷ τριήραρχος μαγώας, ὁ φαρνούχεω. τῆς δὲ αὐτοῦ ἀλεξάνδρου νεὼς κυβερνήτης ἦν ὀνησίκριτος ἀστυπαλαιεύς· γραμματεὺς δὲ τοῦ στόλου παντὸς, εὐαγόρας εὐκλέωνος, κορίνθιος. ναύαρχος δὲ αὐτοῖσιν ἐπεστάθη, νέαρχος ἀνδροτίμου. τὸ

γένος



γένος μὲν κρὴς, ὁ νέαρχος· ᾤκει δὲ ἐν ἀμφιπόλει τῇ ἐπὶ στρυμόνι. ὡς δὲ ταῦτα ἐκεκόσμητο ἀλεξάνδρῳ, ἔθυε τοῖς θεοῖσιν, ὅσοι τε πάτριοι ἢ μαντευτοὶ αὐτῷ, καὶ ποσειδῶνι, καὶ ἀμφιτρίτῃ, καὶ νηρηΐσι, καὶ αὐτῷ τῷ ὠκεανῷ· καὶ τῷ ὑδάσπῃ ποταμῷ, ἀπὸ τοῦ ὡρμᾶτο· καὶ τῷ ἀκεσίνῃ, ἐς ὅντινα ἐκδιδοῖ ὑδάσπης· καὶ τῷ ἰνδῷ, ἐς ὅντινα ἄμφω ἐκδιδοῦσιν. ἀγῶνές τε αὐτῷ μουσικοὶ καὶ γυμνικοὶ ἐποιοῦντο. καὶ ἱρήια τῇ στρατιῇ πάσῃ κατὰ τέλεα ἐδίδοτο. ὡς δὲ πάντα ἐξήρτυτο αὐτῷ ἐς ἀναγωγὴν, κρατερὸν μὲν τὰ ἐπὶ θάτερα τοῦ ὑδάσπεω ἰέναι σὺν τῇ στρατιῇ πεζοῖ ἐκέλευσε, πεζικῇ τε καὶ ἱππικῇ. ἐς τὸ ἐπὶ θάτερα δὲ ἡφαιστίων αὐτῷ παρεπορεύετο σὺν ἄλλῃ στρατιῇ, πλέονι ἢ τοῖς κρατερῷ συντεταγμένοις. καὶ τοὺς ἐλέφαντας ἡφαιστίων αὐτῷ ἦγεν, ὄντας ἐς διηκοσίους. αὐτὸς δὲ τοὺς ὑπασπιστὰς καλεομένους, ἅμα οἷ ἦγε, καὶ τοὺς τοξότας πάντας· καὶ τῶν ἱππέων τοὺς ἑταίρους καλεομένους, τοὺς πάντας ἐς ὀκτακισχιλίους. τοῖσι μὲν δὴ ἀμφὶ κρατερὸν καὶ ἡφαιστίωνα ἐτέτακτο,

ἵνα

ἵνα περ προελθόντες ὑπομένοιεν τὸν στόλον. Φίλιππον δέ, ὃς αὐτῷ σατράπης τῆς χώρης ταύτης ἦν, ἐπὶ τοῦ ἀκεσίνου ποταμοῦ τὰς ὄχθας πέμπει, ἅμα στρατιῇ πολλῇ καὶ τοῦτον. ἤδη γὰρ καὶ δώδεκα μυριάδες αὐτῷ μάχιμοι εἵποντο, σὺν οἷς ἀπὸ θαλάσσης τε αὐτὸς ἀνήγαγε. καὶ αὖθις οἱ ἐπὶ συλλογὴν αὐτοῦ στρατιᾶς πεμφθέντες ἧκον, ἔχοντες παντοῖα ἔθνεα βαρβαρικὰ ἅμα οἱ ἄγοντα, καὶ πᾶσαν ἰδέην ὡπλισμένα. αὐτὸς δὲ ἄρας ταῖς ναυσὶ, κατέπλει κατὰ τὸν ὑδάσπεα, ἔς τε ἐπὶ τοῦ ἀκεσίνου τε καὶ τοῦ ὑδάσπεω τὰς ἐμβολάς. νῆες δὲ αἱ σύμπασαι αὐτῷ ὀκτακόσιαι ἦσαν, αἵ τε μακραὶ καὶ ὅσα στρογγύλα πλοῖα, καὶ ἄλλα ἱππαγωγὰ. καὶ σιτία ἅμα τῇ στρατιῇ ἄγουσαι. ὅπως μὲν δὴ κατὰ τοὺς ποταμοὺς κατέπλωσεν αὐτῷ ὁ στόλος. καὶ ὅσα ἐν τῷ παράπλῳ ἔθνεα κατεστρέψατο· καὶ ὅπως διὰ κινδύνου αὐτὸς ἐν μαλλοῖς ἦκε. καὶ τὸ τρῶμα, ὃ ἐτρώθη ἐν μαλλοῖς. καὶ πευκέστας τε καὶ λεοννάτος, ὅπως ὑπερήσπισαν αὐτὸν πεσόντα. πάντα ταῦτα λέλεκταί μοι ἤδη ἐν τῇ ἄλλῃ τῇ ἀττικῇ ξυγγραφῇ.



γραφῇ. ὁ δὲ λόγος ὅδε, τοῦ παράπλου μοι ἀφήγησίς ἐστιν, ὃν νέαρχος σὺν τῷ στόλῳ παρέπλωσεν, ἀπὸ τοῦ ἰνδοῦ τῶν ἐκβολέων ὁρμηθείς, κατὰ τὴν θάλασσαν τὴν μεγάλην, ἔς τε ἐπὶ τὸν κόλπον τὸν περσικόν. ἣν δὴ ἐρυθρὴν θάλασσαν μετεξέτεροι καλέουσι. νεάρχῳ δὲ λέλεκται ὑπὲρ τούτων ὧδε ὁ λόγος. πόθον μὲν εἶναι ἀλεξάνδρῳ, ἐκπεριπλῶσαι τὴν θάλασσαν τὴν ἀπὸ ἰνδῶν ἔς τε ἐπὶ τὴν περσικήν. ὀκνέειν δὲ αὐτὸν τοῦ τε πλόου τὸ μῆκος, καὶ μή τινι ἄρα χώρῃ ἐρήμῳ ἐγκύρσαντες ἢ ὅρμων ἀπόρῳ, ἢ οὐ ξυμμέτρως ἐχούσῃ τῶν ὡραίων, οὕτω δὴ διαφθαρῇ αὐτῷ ὁ στόλος. καὶ οὐ φαύλη κηλὶς αὕτη, τοῖς ἔργοισιν αὐτοῦ τοῖς μεγάλοισιν ἐπιγενομένη, τὴν πᾶσαν εὐτυχίην αὐτῷ ἀφανίσει. ἀλλὰ ἐκνικῆσαι γὰρ αὐτῷ τὴν ἐπιθυμίαν τοῦ καινόν τι αἰεὶ καὶ ἄτοπον ἐργάζεσθαι. ἀπόρως δὲ ἔχειν, ὅν τινα οὐκ ἀδύνατόν τε εἶναι τὰ ἐπινοούμενα ἐπιλέξαιτο· καὶ ἅμα τῶν ἐν νηῒ ἀνδρῶν, ὡς καὶ τῶν τοιοῦτον στόλον στελλομένων ἀφελεῖν τὸ δεῖμα, τοῦ δὴ ἠμελημένως αὐτοὺς εἰς προῦπτον κίνδυνον ἐκπέμπεσθαι. λέγει δὴ ὁ νέαρχος,

ἄρχος, ἑωυτῷ ξυνωοῦσθαι τὸν ἀλέξανδρον,
ὅν τινα προχειρίσηται ἐξηγέεσθαι τοῦ στόλου,
ὡς δὲ ἄλλον καὶ ἄλλον ἐν μνήμῃ ἰόντα·
τοὺς μὲν ὡς οὐκ ἐθέλοντας κινδυνεύειν ὑπὲρ
οὗ ἀπολέγειν, τοὺς δὲ ὡς μαλακοὺς τὸν θυ-
μὸν, τοὺς δὲ ὡς πόθῳ τῆς οἰκηίης κατεχομέ-
νους, τοῖς δὲ ἄλλο καὶ ἄλλο ἐπικαλέοντα.
τότε δὴ αὐτὸν ὑποστάντα εἰπεῖν, ὅτι ὦ βα-
σιλεῦ, ἐγώ τοι ὑποδέχομαι ἐξηγέεσθαι τοῦ
στόλου, καὶ εἰ τὰ ἀπὸ τοῦ θεοῦ ξυνεπιλαμβά-
νοι, περιάξω τοι σώας τὰς νέας, καὶ τοὺς ἀν-
θρώπους, ἐς τε ἐπὶ τὴν περσίδα γῆν, εἰ δὴ
πλωτός τε ἐστὶν ὁ ταύτῃ πόντος, καὶ τὸ
ἔργον οὐκ ἄπορον γνώμῃ ἀνθρωπηίῃ. ἀλέ-
ξανδρον δὲ λόγῳ μὲν, οὐ φᾶναι ἐθέλειν ἐς
τοσόνδε ταλαιπωρίης, καὶ τοσόνδε κινδύ-
νου τῶν τινα ἑωυτοῦ φίλων ἐμβάλλειν· αὐ-
τὸν δὲ ταύτῃ δὴ, καὶ μᾶλλον οὐκ ἀνιέναι,
ἀλλὰ λιπαρέειν. οὕτω δὴ ἀγαπῆσαί τε ἀλέ-
ξανδρον τοῦ νεάρχου τὴν προθυμίην, καὶ
ἐπιστῆσαι αὐτὸν ἄρχειν τοῦ στόλου παντός. καὶ
τότε δὴ ἔτι μᾶλλον τῆς στρατιῆς, ὅτι περ ἐπὶ
τὸν παράπλουν τόνδε ἐτέτακτο, καὶ τὰς ὑπη-

ρεσίας



ρεσίας ἵλεω ἔχειν τὴν γνώμην, ὅτι δὴ νέαρ-
χόν γε οὔποτε ἂν ἀλέξανδρος προήκατο
ἐς κίνδυνον καταφανέα, εἰ καὶ μὴ σφίσι σω-
θήσεσθαι ἔμελλον. λαμπρότης τε πολλὴ τῇ
παρασκευῇ ἐποῦσα, καὶ κόσμος τῶν νεῶν,
καὶ σπουδαὶ τῶν τριηράρχων ἀμφὶ τὰς ὑπη-
ρεσίας τε καὶ τὰ ἐκπληρώματα ἐκπρεπέες,
καὶ τοὺς πάντῃ δὴ πάλαι κατοκνέοντας, ἐς
ῥώμην ἅμα καὶ ἐλπίδας χρηστοτέρας ὑπὲρ
τοῦ παντὸς ἔργου ἐπηρκότα ἦν. πολὺ δὲ δὴ
συνεπιλαβέσθαι ἐς εὐθυμίην τῇ στρατιῇ, τὸ
δὴ αὐτὸν ἀλέξανδρον ὁρμηθέντα κατὰ τοῦ
ἰνδοῦ τὰ στόματα ἀμφότερα ἐκπλῶσαι ἐς
τὸν πόντον, σφάγιά τε τῷ ποσειδῶνι [illegible]
μεῖν, καὶ ὅσοι ἄλλοι θεοὶ θαλάσσιοι, καὶ δῶ-
ρα μεγαλοπρεπέα τῇ θαλάσσῃ χαρίσασθαι.
τῇ τε ἄλλῃ τῇ ἀλεξάνδρου παραλόγῳ εὐτυ-
χίῃ πεποιθότας, οὐδὲν ὅτι οὐ τολμητόν τε ἐκεί-
νῳ καὶ ἐρκτὸν ἐξηγέεσθαι. ὡς δὲ τὰ ἐτήσια
πνεύματα ἐκοιμήθη, ἃ δὴ τοῦ θέρεος τὴν
ὥρην πᾶσαν κατέχει ἐκ τοῦ πελάγεος ἐπι-
πνέοντα ἐπὶ τὴν γῆν, καὶ ταύτῃ ἄπορον τὸν
πλοῦν ποιέοντα, τότε δὴ ὥρμηντο, ἐπὶ ἄρ-

χοντος

χοντος ἀθήνησι κηφισοδώρου, εἰκάδι τοῦ βοηδρομιῶνος μηνὸς, καθότι ἀθηναῖοι ἄγουσιν· ὡς δὲ μακεδόνες τε καὶ ἀσιανοὶ ἦγον, τὸ ἑνδέκατον βασιλεύοντος ἀλεξάνδρου. θύει δὲ καὶ νέαρχος πρὸ τῆς ἀναγωγῆς διὶ σωτῆρι, καὶ ἀγῶνα ποιέει γυμνικόν. ἄραντες δὲ ἐκ τοῦ ναυστάθμου τῇ πρώτῃ ἡμέρᾳ κατὰ τὸν ἰνδὸν ποταμὸν, ὁρμίζονται πρὸς διώρυχι μεγάλῃ, καὶ μένουσιν αὐτοῦ δύο ἡμέρας. στοῦρα δὲ ὄνομα ἦν τῷ χώρῳ, στάδιοι ἀπὸ τοῦ ναυστάθμου ἐς ἑκατόν. τῇ τρίτῃ δὲ ἄραντες, ἔπλεον ἔστε ἐπὶ διώρυχα ἄλλην σταδίους τριάκοντα, ἁλμυρὴν ἤδη ταύτην τὴν διώρυχα. ἀνήει γὰρ ἡ θάλασσα ἐς αὐτὴν μάλιστα μὲν ἐν τῇσι πλημμυρίῃσιν, ὑπέμενε δὲ καὶ ἐν τῇ ἀμπώτει τὸ ὕδωρ, μεμιγμένον τῷ ποταμῷ. καύμανα δὲ ὄνομα ἦν τῷ χώρῳ. ἔνθεν δὲ εἴκοσι σταδίους καταπλώσαντες, ἐς κορέστιν ὁρμίζονται, ἔτι κατὰ τὸν ποταμόν. ἔνθεν δὲ ὁρμηθέντες, ἔπλεον οὐκ ἐπὶ πολλόν. ἕρμα γὰρ ἐφάνη αὐτοῖσι κατὰ τὴν ἐκβολὴν τὴν ταύτῃ τοῦ ἰνδοῦ, καὶ τὰ κύματα ἐρρόχθει πρὸς τῇ ἠϊόνι, καὶ ἡ ἠϊὼν αὐτὴ τρα-

χεῖα



χεῖα ἦν. ἀλλὰ ἵνα μὲν μαλθακὸν ἦν τοῦ ἕρματος, ταύτῃ διώρυχα ποιήσαντες ἐπὶ σταδίους πέντε, διῆγον τὰς νέας ἐπεὰν ἡ πλήμμυρα ἐπῆλθε, ἢ ἐκ τοῦ πόντου. ἐκπεριπλώσαντες δὲ σταδίους πεντήκοντα καὶ ἑκατὸν, ὁρμίζονται ἐν κρωκάλᾳ νήσῳ ἀμμώδεϊ καὶ μένουσιν αὐτοῦ τὴν ἄλλην ἡμέραν. προσοικέει δὲ ταύτῃ ἔθνος ἰνδικὸν, οἱ ἀράβιες καλεόμενοι, ὧν καὶ ἐν τῇ μέζονι ξυγγραφῇ μνήμην ἔσχον· καὶ ὅτι εἰσὶν ἐπώνυμοι ποταμοῦ ἀράβιος. ὃς διὰ τῆς γῆς αὐτῶν ῥέων, ἐκδιδοῖ ἐς θάλασσαν, ὁρίζων τούτων τε τὴν χώρην, καὶ τῶν ὠρειτέων. ἐκ δὲ κρωκάλων ἐν δεξιᾷ μὲν ἔχοντες ὄρος τὸ καλεόμενον [illegible]ῖσιν ἔρον, ἐν ἀριστερᾷ δὲ νῆσον ἁλιτενέα ἔπλεον. ἡ δὲ νῆσος παρατεταμένη τῇ ἠϊόνι, κόλπον στεινὸν ποιέει. διεκπλώσαντες δὲ ταύτην, ὁρμίζονται ἐν λιμένι εὐόρμῳ· ὅτι δὲ μέγας τε καὶ καλὸς ὁ λιμὴν, νεάρχῳ ἔδοξεν ἐπονομάζειν αὐτὸν ἀλεξάνδρου λιμένα. νῆσος δὲ ἐστιν ἐπὶ τῷ στόματι τοῦ λιμένος, ὅσον σταδίους δύο ἀπέχουσα. βίβακτα ὄνομα τῇ νήσῳ· ὁ δὲ

χῶρος

χῶρος ἅπας σάγγαδα. ἡ δὲ νῆσος καὶ τὸν λιμένα προκειμένη, πρὸ τοῦ πελάγεος αὐτῇ ἐποίεε. ἐνταῦθα πνεύματα μεγάλα ἐκ τοῦ πόντου ἔπνεε, καὶ συνεχέα. καὶ Νέαρχος δείσας, τῶν βαρβάρων μή τινες συστραφθέντες ἐφ' ἁρπαγὴν τοῦ στρατοπέδου τράποιντο, ἐκτειχίζει τὸν χῶρον λιθίνῳ τείχει. τέσσαρες δὲ καὶ εἴκοσιν ἡμέραι τῇ μονῇ ἐγένοντο. καὶ λέγει, ὅτι μύας τε ἐθήρων τοὺς θαλασσίους οἱ στρατιῶται, καὶ ὄστρια δέ, τοὺς σωλῆνας καλεομένους, ἄτοπα τὸ μέγεθος, ὡς τοῖσιν ἐν τῇδε τῇ ἡμετέρᾳ θαλάσσῃ συμβαλέειν. καὶ ὕδωρ, ὅτι ἁλμυρὸν ἐπίνετο. ἅμα τε ὁ ἄνεμος ἐπαύσατο, καὶ οἱ ἀνήγοντο. καὶ περαιωθέντες σταδίους ἐς ἑξήκοντα, ὁρμίζονται πρὸς αἰγιαλῷ ψαμμώδει. νῆσος δὲ ἐπῆν τῷ αἰγιαλῷ ἐρήμη. ταύτην δὲ πρόβλημα ποιησάμενοι, ὡρμίσθησαν. Δόμαι ὄνομα τῇ νήσῳ. ὕδωρ δὲ οὐκ ἦν ἐν τῷ αἰγιαλῷ, ἀλλὰ προελθόντες ἐς τὴν μεσογαίην ὅσον εἴκοσι σταδίους, ἐπιτυγχάνουσι ὕδατι καλῷ. τῇ δὲ ὑστεραίῃ ἐς νύκτα αὐτοῖς ὁ πλόος ἐγίνετο ἐς Σάραγγα σταδίους τριακοσίους, καὶ ὁρμίζον-

ται



ται πρὸς αἰγιαλῷ, καὶ ὕδωρ ἦν ἀπὸ τοῦ αἰγιαλοῦ ὅσον ὀκτὼ σταδίους. ἔνθεν δὲ πλώσαντες, ὁρμίζονται ἐν σακάλοισι, τόπῳ ἐρήμῳ. καὶ δὴ ἐκπλώσαντες σκοπέλους δύο, οὕτω τι ἀλλήλοις πελάζοντας, ὥστε τοὺς ταρσοὺς τῶν νεῶν ἅπτεσθαι ἔνθεν καὶ ἔνθεν τῶν πετρέων, καθορμίζονται ἐν Μοροντοβάροις, σταδίους διελθόντες ἐς τριακοσίους. ὁ δὲ λιμὴν μέγας καὶ εὔκυκλος, καὶ βαθύς, καὶ ἄκλυστος. ὁ δὲ ἔσπλους ἐς αὐτὸν στεινός. τοῦτον τῇ γλώσσῃ τῇ ἐπιχωρίῃ γυναικῶν λιμένα ἐκάλεον, ὅτι γυνὴ τοῦ χώρου τούτου πρώτη ἐπῆρξεν. ὡς δὲ διὰ τῶν σκοπέλων διεξέπλεον, κύμασί τε μεγάλοισιν ἐνέκυρσαν, καὶ τῇ θαλάσσῃ ῥοώδει. ἀλλὰ ἐκπεριπλῶσαι γὰρ ὑπὲρ τοὺς σκοπέλους, μέγα ἔργον ἐφαίνετο. ἐς δὲ τὴν ὑστεραίην ἔπλεον, νῆσον ἐς ἀριστερὰ ἔχοντες πρὸ τοῦ πελάγεος, οὕτω τι τῷ αἰγιαλῷ συναφέα, ὥστε εἰκάσαι ἂν διώρυχα εἶναι τὸ μέσον τοῦ τε αἰγιαλοῦ καὶ τῆς νήσου. στάδιοι οἱ πάντες ἑβδομήκοντα τοῦ διέκπλου. καὶ ἐπί τε τοῦ αἰγιαλοῦ δένδρεα ἦν πολλὰ καὶ δασέα, καὶ ἡ νῆσος ὕλῃ παντοίῃ σύσκιος. ὑπὸ



δὲ

δὲ τὴν ἕω ἔπλεον ἔξω τῆς νήσου, καὶ ῥηχίην στενήν. ἔτι γὰρ ἀνάπωτις κατεῖχε. πλώσαντες δὲ ὡς ἑκατὸν καὶ εἴκοσι σταδίους, ὁρμίζονται ἐν τῷ στόματι τοῦ ἀῤῥάβιος ποταμοῦ. καὶ λιμὴν μέγας καὶ καλὸς πρὸς τῷ στόματι, ὕδωρ δὲ οὐκ ἦν πότιμον· τοῦ γὰρ ἀῤῥάβιος αἱ ἐκβολαὶ ἀναμεμιγμέναι τῷ πόντῳ ἦσαν. ἀλλὰ τεσσαράκοντα σταδίους ὡς τὸ ἄνω προχωρήσαντες, λάκκῳ ἐπιτυγχάνουσιν. καὶ ἔνθεν ὑδρευσάμενοι, ὀπίσω ἀπενόστησαν. νῆσος δὲ ἐπὶ τῷ λιμένι ὑψηλὴ, καὶ ἔρημος. καὶ περὶ ταύτην ὀστρέων τε καὶ ἰχθύων παντοδαπῶν θήρα. μέχρι μὲν τοῦδε ἀῤῥάβιες, ἔσχατοι ἰνδῶν, ταύτην ᾠκισμένοι. τὰ δὲ ἀπὸ τοῦδε ὠρεῖται ἐπεῖχον. ὁρμηθέντες δὲ ἐκ τῶν ἐκβολῶν τοῦ ἀῤῥάβιος, παρέπλεον τῶν ὠρειτέων τὴν χώρην. καὶ ὁρμίζονται ἐν παγάλοισι πλώσαντες σταδίους ὡς διηκοσίους, πρὸς ῥηχίῃ. ἀλλὰ ἀγκύρησι γὰρ ἐπίβολος ἦν ὁ χῶρος. τὰ μὲν οὖν πληρώματα ἀπεσάλευον ἐν τῇσι ναυσίν· οἱ δὲ ἐφ' ὕδωρ ἐκβάντες, ὑδρεύοντο. τῇ δ' ὑστεραίῃ ἀναχθέντες ἅμα ἡμέρῃ, καὶ πλώσαντες σταδίους



σταδίους ὡς τριακοσίους, κατάγονται ἑσπέριοι ὡς κάβανα, καὶ ὁρμίζονται πρὸς αἰγιαλῷ ἐρήμῳ, καὶ ἐν τοῦθα ῥηχίη τραχεῖα ἦν, καὶ ἐπὶ τῷδε μετεώρους τὰς νέας ὡρμίζοντο. καὶ ἐν τούτῳ τοῦ πλόου πνεῦμα ὑπολαμβάνει τὰς νέας, μέγα ἐκ πόντου. καὶ νέες δύο μακραὶ διαφθείρονται ἐν τῷ πλόῳ καὶ κέρκουρος. οἱ δὲ ἄνθρωποι σώζονται ἀπονηξάμενοι· ὅτι ὁ πλόος, τῆς γῆς οὐ πόῤῥω ἐγίνετο. ἀμφὶ δὲ μέσας νύκτας ἀναχθέντες πλέουσιν, ἐς τε ἐπὶ κώκαλα τοῦ αἰγιαλοῦ, ἔνθεν ὡρμίσθησαν. ἀπεῖχε σταδίους διηκοσίους. καὶ αἱ μὲν νῆες σαλεύουσαι ὥρμεον. τὰ πληρώματα δὲ ἐκβιβάσας νέαρχος, πρὸς τῇ γῇ ηὐλίσθη· ὅτι ἐπὶ πολλὸν τεταλαιπωρηκότες ἐν τῇ θαλάσσῃ, ἀναπαύσασθαι ἐπόθεον, στρατόπεδον δὲ περιεβάλλετο τῶν βαρβάρων, τῆς φυλακῆς ἕνεκα. ἐν τούτῳ τῷ χώρῳ λεοννάτος, ὅτῳ τὰ ὠρειτῶν ἐξ ἀλεξάνδρου ἐπετέτραπτο, μάχῃ μεγάλῃ νικᾷ ὠρείτας τε, καὶ ὅσοι ὠρείταις συνεπελάβοντο τοῦ ἔργου. καὶ κτείνει αὐτῶν ἑξακισχιλίους, καὶ τοὺς ἡγεμόνας πάντας. τῶν δὲ σὺν λεοννάτῳ, ἱππέας μὲν ἀποθνήσκουσι

πεντεκαίδεκα· τῶν δὲ πεζῶν, ἄλλοι τε οὐ πολλοί, καὶ ἀπολλοφάνης ὁ γαδρωσίων σατράπης. τούτους μὲν δὴ ἐν τῇ ἄλλῃ ξυγγραφῇ ἀναγέγραπται. καὶ ὅπως λεοννάτος ἐπὶ τῷδε ἐστεφανώθη πρὸς ἀλεξάνδρου χρυσῷ στεφάνῳ, ἐν μακεδόσιν. ἐνταῦθα σῖτος ἦν νενημένος ἐπὶ προστάγματι ἀλεξάνδρου, ἐς ἐπισιτισμὸν τῷ στρατῷ. καὶ ἐμβάλλονται σιτία ἡμερέων δέκα ἐς τὰς νέας. καὶ τῶν νεῶν ὅσαι πεπονήκεσαν ἐπὶ τῷ πλόῳ, μέχρι τοῦδε ἐπεσκεύασαν. καὶ τῶν ναυτέων, ὅσοι ἐν τῷ ἔργῳ βλακεύειν ἐφαίνοντο νεάρχῳ, τούτους μὲν πεζῇ ἄγειν λεοννάτῳ ἔδωκε, αὐτὸς δὲ ἐκ τῶν σὺν λεοννάτῳ στρατιωτῶν συμπληροῖ τὸ ναυτικόν. ἔνθεν δὲ ὁρμηθέντες, ἔπλεον ἀκραεῖ. καὶ διελθόντες σταδίους ἐς πεντακοσίους, ὁρμίζονται πρὸς ποταμῷ χειμάρρῳ. τόμηρος ὄνομα ἦν τῷ ποταμῷ. καὶ λίμνη ἦν ἐπὶ ταῖς ἐκβολαῖς τοῦ ποταμοῦ. τὰ δὲ βράχεα τὰ πρὸς τῷ αἰγιαλῷ, ἐπῴκεον ἄνθρωποι ἐν καλύβαις πνιγηραῖς. καὶ οὗτοι ὡς προσπλέοντας εἶδον, ἐθάμβησάν τε, καὶ παρατείναντες σφᾶς παρὰ τὸν αἰγιαλόν,

ἐτάχθη



ἐτάχθησαν ὡς ἀπομαχούμενοι πρὸς τοὺς ἐκβαίνοντας. λόγχας δὲ ἐφόρεον παχέας, μέγεθος ὡς ἑξαπήχεας. ἀκωκὴ δὲ οὐκ ἐπῆν σιδηρέη, ἀλλὰ τὸ ὀξὺ αὐτοῖσι πεπυρακτωμένον αὐτὸ ἐποίεε. πλῆθος δὲ ἦσαν ὡς ἑξακόσιοι. καὶ τούτους νέαρχος ὡς ὑπομένοντάς τε καὶ παρατεταγμένους κατεῖδε, τὰς μὲν νέας ἀνακρούεσθαι κελεύει ἐντὸς βέλους, ὡς τὰ τοξεύματα ἐς τὴν γῆν ἀπ' αὐτῶν ἐξικνέεσθαι. αἱ γὰρ τῶν βαρβάρων λόγχαι παχέαι φαινόμεναι, ἀγχέμαχοι μέν, ἄφοβοι δὲ ἐς τὸ ἀκοντίζεσθαι ἦσαν. αὐτὸς δὲ τῶν στρατιωτῶν ὅσοι αὐτοί τε κουφότατοι, καὶ κουφότατα ὡπλισμένοι, τοῦ τε νέειν δαημονέστατοι, τούτους δὲ ἐκνήξασθαι κελεύει ἀπὸ ξυνθήματος. πρόσταγμα δὲ σφίσιν ἦν, ὅπως τις ἐκνηξάμενος σταίη ἐν τῷ ὕδατι, προσμένειν τὸν παραστάτην οἱ ἐσόμενον· μηδὲ βάλλειν πρόσθεν πρὸς τοὺς βαρβάρους, πρὶν ἐπὶ τριῶν ἐς βάθος ταχθῆναι τὴν φάλαγγα. τότε δὲ δρόμῳ ἤδη ἰέναι, ἐπαλαλάξαντας. ἅμα δὲ ἐρρίπτουν ἑωυτοὺς οἱ ἐπὶ τῷδε τεταγμένοι ἐκ τῶν νεῶν ἐς τὸν πόντον, καὶ ἐνήχοντο ὀξέως,

 καὶ

καὶ ἵσταντο ἐν κόσμῳ. καὶ φάλαγγα ἐκ σφῶν ποιησάμενοι, δρόμῳ ἐπήισαν αὐτοῖσι ἀλαλάζοντες τῷ ἐνυαλίῳ. καὶ οἱ μὲν ἀπὸ τῶν νεῶν ξυνεπηχέοντες, τοξεύματά τε καὶ ἀπὸ μηχανῶν βέλεα, ἐφέροντο ἐς τοὺς βαρβάρους. οἱ δὲ τήν τε λαμπρότητα τῶν ὅπλων ἐκπλαγέντες, καὶ τῆς ἐφόδου τὴν ὀξύτητα, καὶ πρὸς τῶν τοξευμάτων τε καὶ τῶν ἄλλων βελῶν βαλλόμενοι, οἷα δὴ ἡμίγυμνοι ἄνθρωποι, οὐδὲ ὀλίγον ἐς ἀλκὴν τραπέντες ἐγκλίνουσι. καὶ οἱ μὲν αὐτοῦ φεύγοντες, ἀποθνήσκουσιν· οἱ δὲ καὶ ἁλίσκονται· ἔστι δὲ, οἳ καὶ διέφυγον ἐς τὰ ὄρεα. ἦσαν δὲ οἱ ἁλόντες τά τε ἄλλα σώματα δασέες, καὶ τὰς κεφαλὰς καὶ τοὺς ὄνυχας θηριώδεες. τοῖς γὰρ δὴ ὄνυξιν, ὅσω σιδήρῳ διαχρᾶσθαι ἐλέγοντο, καὶ τοὺς ἰχθύας τούτοισι παραχίζοντες κατεργάζεσθαι, καὶ τῶν ξύλων ὅσα μαλακώτερα. τὰ δὲ ἄλλα τοῖς λίθοισι τοῖσιν ὀξέσιν ἔκοπτον. σίδηρος γὰρ αὐτοῖσιν οὐκ ἦν. ἐσθῆτα δὲ ἐφόρεον, δέρματα θήρεια. οἱ δὲ καὶ ἰχθύων τῶν μεγάλων τὰ τὰ παχέα. ἐνταῦθα νεωλκοῦσι τὰς νέας, καὶ ὅσαι πεπονηκυῖαι αὐτῶν ἐπισκευάζουσι. τῇ

δὲ



δὲ ἕκτῃ ἡμέρᾳ ἐστέλλοντο. καὶ πλώσαντες σταδίους ἐς τριακοσίους, ἀφικνέονται ἐς χάρον. ὃς δὴ ἔσχατος ἦν τῆς ὠρειτῶν γῆς. μάλανα τῷ χώρῳ ὄνομα. ὠρεῖται δὲ ὅσοι ἄνω ἀπὸ θαλάσσης οἰκέουσιν, ἐσταλμένοι μὲν κατάπερ ἰνδοί εἰσι· καὶ τὰ ἐς πόλεμον ὡσαύτως παραρτέονται. γλῶσσα δὲ ἄλλη αὐτοῖσι, καὶ ἄλλα νόμαια. μῆκος τοῦ παράπλου παρὰ μὲν χώρην τὴν ἀρραβίων, ἐς χιλίους μάλιστα σταδίους, ἔνθεν περ ὡρμήθησαν· παρὰ δὲ τὴν ὠρειτῶν γῆν, ἑξακόσιοι καὶ χίλιοι. παραπλεόντων δὲ τὴν ἰνδῶν γῆν (τὸ ἐντεῦθεν γὰρ οὐκέτι ἰνδοί εἰσιν) λέγει νέαρχος, ὅτι αἱ σκιαὶ αὐτοῖσιν οὐ ταὐτὸ ἐποίεον· ἀλλὰ ὅπου μὲν ἐπὶ πολὺ τοῦ πόντου, ὡς πρὸς μεσημβρίαν προχωρήσειαν. αἱ δὲ καὶ αὐτοῦ αἱ σκιαὶ πρὸς μεσημβρίαν τετραμμέναι ἐφαίνοντο. ὁπότε δὴ τὸ μέσον τῆς ἡμέρας ἐπέχοι ὁ ἥλιος. ἤδη δὲ καὶ ἔρημα σκιῆς πάντα ὤφθη αὐτοῖσι. τῶν τε ἀστέρων ὅσους πρόσθεν μετεώρους κατεώρων, οἱ μὲν ἀφανέες πάντη ἦσαν, οἱ δὲ πρὸς αὐτῇ τῇ γῇ ἐφαίνοντο. κατὰ δύνοντές τε καὶ αὐτίκα ἀνατέλλοντες, οἱ



πάλαι

πάλαι ἀφανέες. καὶ ταῦτα οὐκ ἀπεικότα δοκέει μοι ἀναγράψαι νέαρχος. ἐπεὶ καὶ ἐν συήνῃ τῇ αἰγυπτίῃ, ἐπεὰν τροπὰς ἄγῃ θέρεος ὥρης ὁ ἥλιος, φρέαρ ἀποδεδεγμένον ἐστὶ, καὶ τοῦτο ἄσκιον ἐν μεσημβρίῃ φαίνεται. ἐν μερόῃ δὲ πάντα ἄσκια, τῇ αὐτῇ ὥρῃ. εἰκὸς ὦν καὶ ἐν ἰνδοῖσιν, ἅτε πρὸς μεσημβρίῃ ᾠκισμένοις, τὰ αὐτὰ δὴ πάθεα ἐπέχειν. καὶ μάλιστα δὴ κατὰ τὸν πόντον τὸν ἰνδικὸν, ὅσῳ μᾶλλον αὐτοῖσιν ἡ θάλασσα πρὸς μεσημβρίην κέκλιται. ταῦτα μὲν δὴ ὧδε ἐχέτω. τὴν δὲ ὠρείτῃσιν κατὰ μὲν μεσογαίην γαδρώσιοι ἐπεῖχον. ὧν τὴν χώρην χαλεπῶς διεξῆλθεν ἅμα τῇ στρατιῇ ἀλέξανδρος. καὶ κακὰ τοσαῦτα ἔπαθεν, ὅσα οὐδὲ τὰ σύμπαντα τῆς συμπάσης στρατηλασίης. καὶ ταῦτά μοι ἐν τῇ μέζονι συγγραφῇ ἀναγέγραπται. κάτω δὲ γαδρωσίων, παρὰ τὴν θάλασσαν αὐτὴν, οἱ ἰχθυοφάγοι καλεόμενοι οἰκοῦσι. παρὰ τούτων τὴν γῆν ἔπλεον, τῇ μὲν πρώτῃ ἡμέρῃ περὶ τὴν δευτέρην φυλακὴν ἀναχθέντες, καταίρουσιν ἐς Βαγγίσαρα. στάδιοι τοῦ παράπλου ἑξακόσιοι. λιμήν τε ἔνι αὐτό-





θι εὔορμος, καὶ κώμη πασιρὰ, ἀπέχουσα ἀπὸ θαλάσσης ἑξήκοντα σταδίους. καὶ οἱ πρόσοικοι αὐτῆς πασιρέες. ἐς δὲ τὴν ὑστεραίην πρωϊέτερον τῆς ὥρης ἀναχθέντες, περιπλέουσιν ἄκρην ἐπὶ πολύ τε ἀνέχουσαν ἐς τὸν πόντον, καὶ αὐτὴν ὑψηλήν τε καὶ κρημνώδεα. φρέατα δὲ ὀρύξαντες, ὕδωρ οὐκ ὀλίγον καὶ πονηρὸν ἀρυσάμενοι. ταύτῃ μὲν τῇ ἡμέρᾳ ἐπὶ ἀγκυρέων ὥρμεον, ὅτι ῥηχίη κατὰ τὸν αἰγιαλὸν ἀνεῖχε. ἐς δὲ τὴν ὑστεραίην καταίρουσιν ἐς κόλτα, σταδίους ἐλθόντες διακοσίους. ἔνθεν δὲ ἕωθεν πλώσαντες σταδίους ἑξακοσίους ἐν καλίμοισιν, ὁρμίζονται κώμῃ πρὸς τῷ αἰγιαλῷ. φοίνικες δὲ περὶ αὐτὴν ὀλίγοι ἐπεφύκεσαν, καὶ βάλανοι ἐπ᾽ αὐτοῖσι χλωραὶ ἐπῆσαν. καὶ νῆσος ὡς ἑκατὸν σταδίους ἀπὸ τοῦ αἰγιαλοῦ ἀπέχουσα, καρνίνη ὄνομα. ἐνταῦθα ξένια νεάρχῳ προσφέρουσιν οἱ κωμῆται, πρόβατα καὶ ἰχθύας. καὶ τῶν προβάτων τὰ κρέα, λέγει ὅτι ἦν ἰχθυώδεα, ὡς τοῖς τῶν ὀρνίθων τῶν πελαγίων, ὅτι καὶ αὐτὰ ἰχθύων σιτέεται· ποία γὰρ οὐκ ἔνι ἐν τῇ χώρῃ. ἀλλὰ τῇ ὑστεραίῃ πλώσαντες ἐς σταδίους διακοσίους,

κοσίους, ὁρμίζονται πρὸς αἰγιαλῷ, καὶ κώμη
ἀπὸ θαλάσσης ἐν σταδίοις τριάκοντα ἀπε-
χούση. ἡ μὲν κώμη κύσα ἐκαλέετο. καρβὶς
δὲ τῷ αἰγιαλῷ ὄνομα ἦν. ἐνταῦθα πλοίοι-
σιν ἐπιτυγχάνουσι σμικροῖσιν, οἷα ἁλιέων
εἶναι πλοῖα, οὐκ εὐδαιμόνων· αὐτοὺς δὲ οὐ κα-
ταλαμβάνουσιν, ἀλλ' ἔφυγον γὰρ καθορμι-
ζομένας κατιδόντες τὰς νέας. σῖτός τε αὐ-
τόθι οὐκ ἐνῆν, καὶ ὑπολελοίπει τὴν στρατιὴν
ὁ πολλός. ἀλλὰ αἶγας ἐμβαλλόμενοι ἐς τὰς
νέας, οὕτω δὴ ἀπέπλεον. καὶ περιπλώσαν-
τες ἄκρην ὑψηλήν, ὅσον πεντήκοντα καὶ
ἑκατὸν σταδίους ἀνέχουσαν ἐς τὸν πόντον,
κατάγονται ἐν λιμένι ἀκλύστῳ. καὶ ὕδωρ
αὐτόθι ἦν, καὶ ἁλιέες ᾤκεον, μόσαρνα ὄνομα
ἦν τῷ λιμένι. ἔνθεν δὲ καὶ ἡγεμὼν τοῦ πλόου
λέγει νέαρχος, ὅτι συνέπλωσε αὐτοῖσιν
ὑδράκης, ὄνομα γαδρούσιος. ὑπέστη δὲ
ὑδράκης κατηγήσεσθαι αὐτοῖς μέχρι καρμα-
νίης. τὸ δὲ ἀπὸ τοῦδε οὐκέτι χαλεπὰ ἦν, ἀλ-
λὰ μᾶλλόν τι ὀνομαζόμενα, ἔς τε τὸν
κόλπον τὸν περσικόν. ἐκ δὲ μοσάρνων νυ-
κτὸς ἐπάραντες, πλώουσι σταδίους ἑπτακο-





σίους καὶ πεντήκοντα, ἐς βαλόμον αἰγια-
λόν. ἔνθεν δὲ ἐς βάρνα κώμην σταδίους τε-
τρακοσίους, ἵνα φοίνικές τε πολλοὶ ἐνῆσαν,
καὶ κῆπος. καὶ ἐν τῷ κήπῳ μυρσίναι ἐπε-
φύκεσαν, καὶ ἄλλα ἄνθεα, ἀφ' ὅτων στεφα-
νώματα τοῖσι κωμήτῃσιν ἐπλέκοντο. ἐνταῦ-
θα πρῶτον δένδρεά τε εἶδον ἥμερα, καὶ ἀν-
θρώπους οὐ πάντῃ θηριώδεας ἐποικέον-
τας. ἐνθένδε ἐς διηκοσίους σταδίους περιπλώ-
σαντες, καταίρουσιν ἐς δενδρώβοσα· καὶ
αἱ νέες ἐπ' ἀγκυρέων ἐσάλευσαν. ἐνθένδε
ἀμφὶ μέσας νύκτας ἄραντες, ἐς κώφαντα
λιμένα ἀφίκοντο, τετρακοσίους μάλιστα
σταδίους διεκπλώσαντες. ἐνταῦθα ἁλιέες τε
ᾤκεον, καὶ πλοῖα αὐτοῖσιν ἦν μικρὰ καὶ πο-
νηρά. καὶ τὰς κώπας οὐ κατὰ σκαλμὸν ἤρεσ-
σον, ὡς ὁ ἑλλήνων νόμος· ἀλλ' ὥσπερ ἐν ποταμῷ
τὸ ὕδωρ ἐπιβάλλοντες ἔνθεν καὶ ἔνθεν, κα-
θάπερ οἱ σκάπτοντες τὴν γῆν. ὕδωρ δὲ πο-
λύ τε ἦν ἐν τῷ λιμένι, καὶ καθαρόν. περὶ δὲ
πρώτην φυλακὴν ἄραντες, καταίρουσιν ἐς
κύιζα, ἐς ὀκτακοσίους σταδίους διεκπλώσαν-
τες· ἵνα αἰγιαλός τε ἔρημος ἦν, καὶ ῥαχίη.

αὐτοὶ ἐπ' ἀγκυρέων ὁρμέων, ἐπὶ νηυσὶ ἐδειπνοποιέοντο. ἔνθεν δὲ διεκπλώσαντες σταδίους ἑπτακοσίους, ἀπίκοντο ἔς τινα πόλιν μικρὴν οἰκεομένην ἐπὶ γηλόφου, οὐ πόρρω τοῦ αἰγιαλοῦ. καὶ νέαρχος ἐπιφραδέες, ὅτι σπείρεσθαι τὴν χώρην εἰκός, λέγει πρὸς ἀρχίην (ὃς ἦν ἀναξιδότου μὲν παῖς πελλαῖος, συνέπλει δὲ νεάρχῳ, τῶν ἐν αἴνῃ ὢν μακεδόνων) πρὸς τοῦτον λέγει, ὅτι καταληπτέον σφίσιν εἴη τὸ χωρίον· ἑκόντας τε γὰρ οὐκ ἂν οἴεσθαι δοῦναι τῇ στρατιῇ σιτία· βίῃ τε οὐχ οἷόν τε εἶναι ἐξαιρέειν, πολιορκίης δὲ καὶ τριβῆς δεήσειν. σφᾶς δὲ ἐπιλελοιπέναι τὰ σιτία· ὅτι δὲ ἡ γῆ σιτοφόρος τῇ καλάμῃ τεκμαιρέσθαι, ἥν τινα οὐ πόρρω τοῦ αἰγιαλοῦ ἀφεώρων βαθέην. ταῦτα ἐπεὶ σφίσιν ἐδόκεεν, τὰς μὲν ἄλλας νέας κελεύει παραρτέεσθαι ὡς ἐς πλόον. καὶ ὁ ἀρχίης αὐτῷ ἐξήρτυε τὰ ἐς τὸν πλόον. αὐτὸς δὲ ὑπολειφθεὶς μετὰ μιῆς νεὸς, ἐπὶ θέαν δῆθεν τῆς πόλιος ᾔει. προσάγοντι δὲ αὐτῷ πρὸς τὰ τείχεα φιλίως, ξείνια ἔφερον ἐκ τῆς πόλεως, θύννους τε ἐν κλιβάνοισιν ὀπτοὺς (οὗτοι γὰρ ἔσχατοι τῶν ἰχθυοφά-

γων



γων οἰκέοντες πρῶτοι σιτίσιν ὤφθησαν, οὐκ ὠμοφαγέοντες) καὶ πέμματα ὀλίγα, καὶ βαλάνους τῶν φοινίκων. ὁ δὲ ταῦτα μὲν ἀσμένως δέχεσθαι ἔφη, ἐθέλειν δὲ θεήσασθαι τὴν πόλιν. οἱ δὲ ἔων παρελθεῖν. ὡς δὲ εἴσω πυλῶν παρῆλθε, δύο μὲν τῶν τοξοτέων κατέχειν κελεύει τὴν πυλίδα. αὐτὸς δὲ μετὰ δύο ἄλλων, καὶ τοῦ ἑρμηνέως, ἐπὶ τὸ τεῖχος τὸ ταύτῃ ἀνελθὼν, ἐσήμηνε τοῖς ἀμφὶ τὸν ἀρχίην ὅπως συνέκειτο, τὸν μὲν σημῆναι, τὸν δὲ συμβαλόντα ποιέειν τὸ τεταγμένον. ἰδόντες δὲ τὸ σημήιον οἱ μακεδόνες, ἐπώκελλόν τε ἐπὶ τάχους τὰς νέας, καὶ ἐξεπήδων σπουδῇ ἐς τὴν θάλασσαν. οἱ δὲ βάρβαροι ἐκπλαγέντες τοῖς γινομένοις, ἐπὶ τὰ ὅπλα ἔθεον. ὁ δὲ ἑρμηνεὺς ὁ σὺν νεάρχῳ, ἐκήρυσσε σῖτον διδόναι τῇ στρατιῇ, εἰ σώαν ἐθέλωσιν ἔχειν τὴν πόλιν. οἱ δὲ ἠρνοῦντο εἶναι σφίσι. καὶ ἅμα προσέβαλον τῷ τείχει. ἀλλὰ ἀνέστελλον αὐτοὺς οἱ τοξόται, οἱ ἀμφὶ τὸν νέαρχον, ἐξ ὑπερδεξίου τοξεύοντες. ὡς δὲ ἔμαθον ἐχομένην τε ἤδη, καὶ ὅσον οὔπω ἀνδραποδισθησομένην σφίσι τὴν πόλιν,

τότε

τότε δὲ δὴ ἐδέοντο τοῦ νεάρχου, τὸν μὲν σῖτον ὅσον περ ἦν αὐτοῖσιν λαβόντα ἀπάγειν, τὴν πόλιν δὲ μὴ διαφθεῖραι. νέαρχος δὲ τὸν μὲν ἀρχὴν κελεύει καταλαβεῖν τὰς πύλας, καὶ τὸ κατ' αὐτὰς τεῖχος. αὐτὸς δὲ συμπέμπει σὺν καρφομένους τὸν σῖτον, εἰ ἀδόλως δεικνύουσιν. οἱ δὲ, τὸ μὲν ἀπὸ τῶν ἰχθύων τῶν ὀπτῶν ἀληλεσμένον ἄλευρον πολλοὶ ἐδείκνυσαν, πυροὺς δὲ καὶ κριθὰς ὀλίγας. καὶ γὰρ καὶ ἐτύγχανον σίτῳ μὲν τῷ ἀπὸ τῶν ἰχθύων, ἄρτοισι δὲ ὅσα ὄψῳ διαχρεόμενοι. ὡς δὲ τὰ ὄντα ἐπεδείκνυον, οὕτω δὴ ἐκ τῶν παρόντων ἐπισιτισάμενοι ἀνήγοντο, καὶ ὁρμίζονται πρὸς ἄκρην, ἥν τινα οἱ ἐπιχώριοι ἱρὴν ἡλίου ἦγον, οὔνομα τῇ ἄκρῃ Βάγεια. ἐνθένδε ἀμφὶ μέσας νύκτας ἄραντες, διεκπλώουσι σταδίους ἐς χιλίους, ἐς ταλμένα λιμένα εὔορμον. ἐνθένδε ἐς κανασίδα πόλιν ἐρήμην, σταδίους ἐς τετρακοσίους· ἵνα τινὶ φρέατι ὀρυκτῷ ἐπιτυγχάνουσι. καὶ φοίνικες ἄγριοι ἐπεφύκεσαν. τούτων τοὺς ἐγκεφάλους κόπτοντες, ἐσιτέοντο. σῖτος γὰρ ἐπιλελοίπει τὴν στρατιήν. καὶ κακῶς





ἤδη ὑπὸ λιμοῦ ἔχοντες, ἔπλεον τήν τε ἡμέρην καὶ τὴν νύκτα, καὶ ὁρμίζονται πρὸς αἰγιαλῷ ἐρήμῳ. νέαρχος δὲ καταδείσας, μὴ ἄρας ἐς τὴν γῆν ἐκβάντες ἀπολίποιεν τὰς νέας ὑπὸ ἀθυμίας, ἐπὶ τῷδε μετεώρους ἔσχε τὰς νέας ἐπ' ἀγκυρέων. ἐνθένδε ἀναχθέντες, ἐς κανάτην ὁρμίζονται, σταδίους ὡς ἑπτακοσίους καὶ πεντήκοντα διεκπλώσαντες. ἔστι δὲ καὶ αἰγιαλὸς ἐν αὐτῷ, καὶ διώρυχες βραχεῖαι. ἐνθένδε σταδίους ὀκτακοσίους διεκπλώσαντες, ἐν τροίσιν ὁρμίζονται. κῶμαι δὲ μικραὶ καὶ πονηραὶ ἐπῆσαν, καὶ οἱ μὲν ἄνθρωποι ἐκλείπουσι τὰ οἰκία. αὐτοὶ δὲ σίτῳ τινὶ ὀλίγῳ ἐπιτυγχάνουσι, καὶ βαλάνοις ἐκ φοινίκων. καὶ καμήλους ἑπτὰ, ὅσαι ἐγκατελείφθησαν, κατακόψαντες, ἀπὸ τούτων τὰ κρέα ἐσιτέοντο. ὑπὸ δὲ τὴν ἕω ἀναχθέντες σταδίους τριακοσίους πλώουσι, καὶ καθορμίζονται ἐς δαγάσειρα· ἔνθα νομάδες τινὲς ἄνθρωποι ᾤκεον. ἔνθεν δὲ ἄραντες τήν τε νύκτα καὶ τὴν ἡμέρην, οὐδέν τι ἐλινύοντες ἔπλεον. ἀλλὰ διελθόντες γὰρ σταδίους χιλίους τε καὶ ἑκατὸν,

ἐξέπλωσαν τὸ ἔθνος τῶν ἰχθυοφάγων, πολ
λὰ κακὰ ταύτῃ παθόντες, ἀπορίῃ τῶν ἀναγ
καίων. ὁρμίζονται δὲ οὐ πρὸς τῇ γῇ. ῥηχίη γὰρ
ἦν, ἐπὶ πολλὸν ἀνέχουσα. ἀλλὰ μετέωροι ἐπ'
ἀγκυρέων. μῆκος τοῦ παράπλου τῶν ἰχθυο-
φάγων τῆς χώρης ὀλίγῳ πλέονες σταδίους μύ
ριοι. ἔτι δὲ οἱ ἰχθυοφάγοι σιτέονται, καθό
τι περ καὶ κληΐζονται ἰχθύας. ὀλίγοι μὲν
αὐτῶν ἁλιεύοντες τοὺς ἰχθύας. ὀλίγοισι γὰρ
καὶ πλοῖα ἐπὶ τῷδε πεποίηται, καὶ τέχνη
ἐξεύρηται ἐπὶ τῇ θήρῃ τῶν ἰχθύων. τὸ πολὺ
δὲ ἡ ἀνάπωτις αὐτοῖσι παρέχει. οἱ δὲ δίκτυα
ἐπὶ τῷδε πεποίηνται, μέγαθος καὶ ἐς δύο
σταδίους τὰ πολλὰ αὐτῶν. πλέκουσι δ' αὐτὰ
ἐκ τοῦ φλοιοῦ τῶν φοινίκων, στρέφοντες τὸν
φλοιὸν, ὥσπερ λίνον. ἐπεὰν δὲ ἡ θάλασσα
ὑπονοστήσῃ, καὶ γῆ ὑπολειφθῇ, ἵνα μὲν ξηρὴ
ἡ γῆ ὑπολείπεται, ἐρήμη τὸ πολὺ ἐστὶν ἰχ-
θύων. ἔνθα δὲ βαθέα ἐστὶν, ὑπολείπεταί τι
τοῦ ὕδατος, καὶ ἐν τῷδε κάρτα πολλοὶ
ἰχθύες. οἱ μὲν πολλοὶ σμικροὶ αὐτῶν, οἱ δὲ
καὶ μέζονες. τούτοις περιβάλλοντες τὰ δί-
κτυα, αἱρέουσι. σιτέονται δὲ ὠμοὺς μὲν, ὅπως

ἀνα-



ἀνελκύσωσιν ἐκ τοῦ ὕδατος, τοὺς ἁπαλωτά-
τους αὐτῶν. τοὺς δὲ μέζονάς τε καὶ σκληροτέ
ρους, ὑπὸ ἡλίῳ αὐαίνοντες, εὖτ' ἂν ἀφαυαν
θέωσι, καταλοῦντες ἄλευρα ἀπ' αὐτῶν ποιέ
ονται καὶ ἄρτους. οἱ δὲ μάζας ἐκ τούτων τῶν
ἀλεύρων πέσσουσι. καὶ τὰ βοσκήματα αὐ-
τοῖσι τοὺς ἰχθύας ξηροὺς σιτέονται. ἡ γὰρ χώρη
ἔρημος λειμώνων, οὐδὲ ποίην φέρει. θηρεύου
σι δὲ καὶ καράβους πολλαχῇ, καὶ ὄστρεα, καὶ
τὰ κογχύλια. ἅλες δὲ αὐτόματοι γίνονται
ἐν τῇ χώρῃ. ἀπὸ τούτων ἔλαιον ποιέουσιν. οἱ
μὲν δὴ αὐτῶν ἐρήμους τόπους οἰκέουσιν, ἄδεν
δρόν τε τὴν χώρην, καὶ ἄφορον καρπῶν
ἡμέρων, τούτοισιν ἀπὸ τῶν ἰχθύων ἡ πᾶσα δί
αιτα πεποίηται. ὀλίγοι δὲ αὐτῶν σπείρουσιν
ὅσον τῆς χώρης, καὶ τούτῳ καθάπερ ὄψῳ
χρῶνται πρὸς τοὺς ἰχθύας. ὁ γὰρ σῖτος αὐτοῖ
σιν εἰσὶν οἱ ἰχθύες. οἰκία δὲ πεποίηνται οἱ
μὲν εὐδαιμονέστατοι αὐτῶν, ὅσα κήτεα ἐκβάλ
λει ἡ θάλασσα, τούτων τὰ ὀστέα ἐπιλεγόμε-
νοι, τούτοισιν ἀντὶ ξύλων χρεόμενοι. καὶ θύ
ρας τὰ ὀστέα, ὅσα πλατέα αὐτῶν ἁλίσκεται,
ἀπὸ τούτων ποιέονται. τοῖσι δὲ πολλοῖς καὶ

Q πενε

μονεστέροισιν, ἀλλὰ τῶν ἀκανθῶν τῶν ἰχθύων
τὰ οἰκία ποιέεται. κήτεα δὲ μεγάλα ἐν τῇ
ἔξω θαλάσσῃ βόσκεται, καὶ ἰχθύες πολὺ
μέζονες, ἢ ἐν τῇδε τῇ εἴσω. καὶ λέγει νέαρ-
χος, ὁπότε ἀπὸ κυΐζων παρέπλεον ὑπὸ τὴν
ἕω, ὀφθῆναι ὕδωρ ἄνω ἀναφυσώμενον τῆς
θαλάσσης, οἷά περ ἐκ πρηστήρων βίᾳ ἀνα-
φερόμενον. ἐκπλαγέντας δὲ σφᾶς, πυνθά-
νεσθαι τῶν κατηγεμόνων τοῦ πλόου, ὅτι εἴη
καὶ ἀπὸ τοῦ τὸ πάθημα. τοὺς δὲ ὑποκρί-
νασθαι, ὅτι κήτεα ταῦτα φερόμενα κατὰ τὸν
πόντον, ἀναφυσᾷ ἐς τὸ ἄνω τὸ ὕδωρ. καὶ
τοῖσιν ναύτῃσιν ἐκπλαγεῖσιν, ἐκ τῶν χειρῶν
τὰ ἐρετμὰ ἐκπεσεῖν. αὐτὸς δὲ ἐπιὼν, πα-
ρακαλέειν τε καὶ θαρσύνειν. καὶ καθ' οὓς τι-
νας παραπλέων ἐγένετο, ἐς μέτωπόν τε κε-
λεῦσαι καταστῆσαι, ὡς ἐπὶ ναυμαχίῃ τὰς
νέας. καὶ ἐπαλαλάζοντας ὁμοῦ τῷ ῥοθίῳ,
συνεχέϊ τε καὶ ὀξέϊ καὶ κτύπῳ πολλῷ τὴν
εἰρεσίην ποιέεσθαι. οὕτως ἀναθαρσήσαντες
ὁμοῦ δὴ πλέειν ἀπὸ ξυνθήματος, ὡς ἐπέλα-
ζον ἤδη τοῖσι θηρίοισιν, ἐνταῦθα αὐτοὺς μὲν
ὅσον αἱ κεφαλαὶ αὐτοῖσιν ἐχώρεον ἐπαλα-
λάξαι.



λάξαι· τὰς δὲ σάλπιγγας σημῆναι, καὶ τὸν
κτύπον ἀπὸ τῆς εἰρεσίης ὡς ἐπιμήκιστον κα-
ταχέειν. οὕτω δὴ ὁρώμενα ἤδη κατὰ τὰς πρῴ-
ρας τῶν νεῶν, τὰ κήτεα ἐς βυθὸν δῦναι ἐκ-
πλαγέντα, καὶ οὐ πολλῷ ὕστερον κατὰ τὰς
πρύμνας ἀναδύντας ἀνασχεῖν, καὶ τῆς θα-
λάσσης αὖθις ἀναφυσῆσαι ἐπὶ μέγα. ἔνθεν
κρότον τε ἐπὶ τῇ παραλόγῳ σωτηρίᾳ γενέ-
σθαι τῶν ναυτέων, καὶ αἶνον ἐς τὸν νέαρχον
τῆς τε τόλμης καὶ τῆς σοφίης. τούτων μετε-
ξέτερα τῶν κητέων ἐποκέλλειν πολλαχοῦ
τῆς χώρης, ἐπειδὰν ἄμπωτις κατάσχῃ ἐν
τοῖσι βράχεσιν ἐχόμενα. τὰ δὲ καὶ ὑπὸ χει-
μώνων σκληρῶν ἐς τὴν χέρσον ἐξωθέεσθαι.
καὶ οὕτω δὴ αὐτὰ σηπόμενα, ἀπόλλυσθαί
τε καὶ τὰς σάρκας αὐτοῖσι περιῤῥεούσας ὑπο-
λείπειν τὰ ὀστέα, χρᾶσθαι τοῖσιν ἀνθρώποι-
σιν ἐς τὰ οἰκία εἶναι. ὧν τὰ μὲν ἐν τῇσι πλευ-
ρῇσιν αὐτῶν ὀστέα, δοκοὺς τοῖσιν οἰκήμασιν,
ὅσα μεγάλα· τὰ δὲ μικρότερα, σφῆκας· τὰ
δὲ ἐν τῇσι σιαγῶσι. ταῦτα δὲ εἶναι τὰ θύ-
ρετρα, οἷα δὴ πολλῶν καὶ ἐς εἴκοσι καὶ πέν-
τε ὀργυιὰς ἀνηκόντων τὸ μέγεθος. ὅτε δὲ

παρέπλεον τὴν χώρην τῶν ἰχθυοφάγων, λόγον ἀκούουσι περὶ νήσου τινός, ἣ κέεται μὲν ἀπέχουσα τῆς ταύτῃ ἠπείρου σταδίους ἐς ἑκατόν. ἐρήμη δὲ ἐστὶν οἰκητόρων· ταύτην ἱρὴν ἡλίου ἔλεγον εἶναι οἱ ἐπιχώριοι, καὶ νόσαλα καλέεσθαι, οὐδέ τινα ἀνθρώπων καταίρειν ἐθέλειν ἐς αὐτήν. ὅς τις δ' ἂν ἀπειρίῃ προσχῇ, γίνεσθαι ἀφανέα. ἀλλὰ λέγει νέαρχος, κέρκουρόν σφιν ἕνα πλήρωμα ἔχοντα αἰγυπτίων, οὐ πόρρω τῆς νήσου ταύτης γενέσθαι ἀφανέα. καὶ ὑπὲρ τούτου τοὺς ἡγεμόνας τοῦ πλόου ἰσχυρίζεσθαι, ὅτι ἄρα καταράντες ὑπ' ἀγνοίης ἐς τὴν νῆσον, γένοιντο ἀφανέες. νέαρχος δὲ πέμπει κύκλῳ περὶ τὴν νῆσον τριηκόντορον, κελεύσας μὴ κατασχεῖν μὲν ἐς τὴν νῆσον, ἐμβοᾶν δὲ τοὺς ἀνθρώπους ὡς μάλιστα ἐν χρῷ παραπλέοντας, καὶ τὸν κυβερνήτην ὀνομάζοντας, καὶ ὅτου ἄλλου οὐκ ἀφανὲς τὸ οὔνομα. ὡς δὲ οὐδένα ὑπακούειν, τότε δὴ αὐτὸς λέγει πλεῦσαι ἐς τὴν νῆσον, καὶ κατασχεῖν δὴ προσαναγκάσαι τοὺς ναύτας οὐκ ἐθέλοντας, καὶ ἐκβῆναι αὐτός, καὶ ἐλέγξαι κενὸν μῦθον ἐόντα, τὸν περὶ τῇ νήσῳ λόγον.





ἀκοῦσαι δὲ καὶ ἄλλον λόγον ὑπὲρ τῆς νήσου ταύτης λεγόμενον, οἰκῆσαι τὴν νῆσον ταύτην μίαν τῶν νηρηίδων. τὸ δὲ ὄνομα οὐ λέγεσθαι τῆς νηρηίδος. ταύτῃ δὲ ὅς τις πελάσειε τῇ νήσῳ, τούτῳ συγγίνεσθαι μέν, ἰχθὺν δὲ αὐτὸν ἐξ ἀνθρώπου ποιέουσαν ἐμβάλλειν ἐς τὸν πόντον. ἥλιον δὲ ἀχθεσθέντα τῇ νηρηίδι, κελεύειν μετοικίζεσθαι αὐτὴν ἐκ τῆς νήσου. τὴν δὲ ὁμολογεῖν μέν, ὅτι ἐξοικισθήσεται. δεῖσθαι δέ οἱ τὸ πάθημα, καὶ τὸν ἥλιον ὑποδέξασθαι. τοὺς δὲ δὴ ἀνθρώπους, οὕς τινας ἂν ἰχθύας ἐξ ἀνθρώπων πεποίηκε κατελεήσαντα, ἀνθρώπους αὖθις ἐξ ἰχθύων ποιῆσαι. καὶ ἀπὸ τούτων τῶν ἰχθυοφάγων τὸ γένος, καὶ ἐς ἀλέξανδρον κατελθεῖν. καὶ ταῦτα ὅτι ψεύδεα ἐξελέγχει νέαρχος, οὐκ ἐπαινῶ αὐτὸν ἔγωγε, τῆς σχολῆς τε καὶ σοφίης· ὅτε κάρτα χαλεπὰ ἐξελεγχθῆναι ἐόντα. ταλαίπωρόν τε ὂν γινώσκων τοὺς παλαιοὺς λόγους ἐπιλεγόμενον ἐξελέγχειν ὄντας ψευδέας, ὑπὲρ τοὺς ἰχθυοφάγους γαδρώσιοι ἐς τὸ ἄνω οἰκέουσι γῆν πονηρὴν καὶ ψαμμώδεα, ἔνθεν καὶ τὰ πολλὰ κακὰ ἡ στρατιή τε

ἀλεξάνδρῳ ἔπαθεν, καὶ αὐτὸς ἀλέξανδρος, ὥς μοι ἤδη ἐν τῷ ἄλλῳ λόγῳ ἀπήγηται. ὡς δὲ ἐς τὴν καρμανίην ἀπὸ τῶν ἰχθυοφάγων κατῆρεν ὁ στρατὸς, ἐνταῦθα ἵνα πρῶτον τῆς καρμανίης ὡρμήσαντο ἐπ᾽ ἀγκυρέων ἐσάλευσαν, ὅτι ῥηχίη παρετέτακτο ἐς τὸ πέλαγος τρηχέη, ἐνθένδε δὲ ὡσαύτως οὐκέτι πρὸς ἡλίου δυομένου ἔπλεον, ἀλλὰ τὸ μεταξὺ δύσιός τε ἡλίου, καὶ τῆς ἄρκτου, οὕτω μᾶλλόν τι αἱ πρῷραι αὐτοῖσιν ἐπεῖχον. καὶ οὕτω ἡ καρμανίη τῶν ἰχθυοφάγων τῆς γῆς καὶ τῶν ὠρειτῶν εὐδενδροτέρη τε καὶ εὐκαρποτέρη ἐστὶ, καὶ ποιώδης μᾶλλόν τι καὶ ἔνυδρος. ὁρμίζονται δὲ ἐν Βαδειχώρῳ τῆς καρμανίης οἰκουμένῳ, δένδρεά τε πολλὰ ἥμερα πεφυκότα ἔχοντι πλὴν ἐλαίης, καὶ ἀμπέλους ἀγαθὰς, καὶ σιτοφόρῳ. ἔνθεν δὲ ὁρμηθέντες, καὶ διεκπλώσαντες σταδίους ὀκτακοσίους, πρὸς αἰγιαλῷ ὁρμίζονται ἐρήμῳ. καὶ καθορῶσιν ἄκρην μακρὴν, ἀνέχουσαν ἐπὶ πολλὸν ἐς τὸ πέλαγος. ἀπέχειν δὲ ἐφαίνετο ἡ ἄκρη πλόον ὡς ἡμέρης. καὶ οἱ τῶν χώρων ἐκείνων δαήμονες τῆς ἀρραβίης ἔλεγον, τὴν ἀνέ-





χουσαν ταύτην ἄκρην καλέεσθαι μάκετα· ἔνθεν τά τε κιννάμωμα, καὶ ἄλλα τοιουτότροπα ἐς ἀσσυρίους ἀγινέεσθαι, καὶ ἀπὸ τοῦ αἰγιαλοῦ τούτου, ἵνα περ ὁ στόλος ἐσάλευε, καὶ τῆς ἄκρης ἥν τινα κατ᾽ ἀντικρὺ ἐφεώρων, ἀνέχουσιν ἐς τὸ πέλαγος. ὁ κόλπος ἐμοί τε δοκεῖ, καὶ νεάρχῳ ὡσαύτως ἐδόκεε, ἐς τὸ εἴσω ἀναχέεται, ὅπερ εἰκὸς ἡ ἐρυθρὴ θάλασσα. ταύτην τὴν ἄκρην ὡς κατεῖδον, ὀνησίκριτος μὲν ἐπέχοντας ἐπ᾽ αὐτὴν πλέειν ἐκέλευε, ὡς μὴ κατὰ τὸν κόλπον ἐλαστρέοντας ταλαιπωρέεσθαι. νέαρχος δὲ ἀποκρίνεται νήπιον ὀνησίκριτον, εἰ ἀγνοέει ἐφ᾽ ὅτῳ ἐστάλη πρὸς ἀλεξάνδρου ὁ στόλος. οὐ γὰρ ὅτι ἀπορίῃ ἦν πεζῇ διασωθῆναι πάντα αὐτῷ τὸν στρατὸν, τοῦδε ἄρα ἐκπέμψαι τὰς νέας· ἀλλὰ ἐθέλοντα αἰγιαλούς τε τοὺς κατὰ τὸν παράπλουν κατασκέψασθαι, καὶ ὅρμους καὶ νησῖδας, καὶ ὅς τις κόλπος ἐσέχει ἐκπεριπλῶσαι αὐτὸν, καὶ πόλιας ὅσαι ἐπιθαλάσσιαι, καὶ εἴ τις ἔγκαρπος γῆ, καὶ εἴ τις ἐρήμη. σφᾶς ὦν οὐ χρῆναι ἀφανίσαι τὸ ἔργον, πρὸς τέρματι ἤδη ἐόντας τῶν πόνων,

ἄλλως τε οὐδὲ ἀπόρως ἔτι τῶν ἀναγκαίων ἐν
τῷ παράπλῳ ἔχοντας· δεδιέναι τε, ὅτι ἡ
ἄκρη ἐς μεσημβρίην ἀνέχει, μὴ ἐρήμῳ τε τῇ
ταύτῃ γῇ, καὶ ἀνύδρῳ, καὶ φλογώδεϊ ἐγ-
κύρσειαν. ταῦτα ἐνίκα. καί μοι δοκέει περι-
φανέως σῶσαι τὴν στρατιὴν τῇδε τῇ βουλῇ
νέαρχος. τὴν γὰρ δὴ ἄκρην ἐκείνην, καὶ τὴν
πρὸς αὐτῇ χώρην πᾶσαν, ἐρήμην τε εἶναι λό-
γος κατέχει, καὶ ὕδατος ἀπορίῃ ἔχεσθαι.
ἀλλὰ ἔπλωον γὰρ ἀπὸ τοῦ αἰγιαλοῦ, ἄραν-
τες τῇ γῇ προσεχέες. καὶ πλώσαντες στα-
δίους ὡς ἑπτακοσίους, ἐν ἄλλῳ αἰγιαλῷ ὁρμί-
σαντο, νεοπτάνῳ ὀνόματι τῷ αἰγιαλῷ. καὶ
αὖθις ὑπὸ τὴν ἕω ἀνήγοντο. καὶ πλώσαν-
τες σταδίους ἑκατὸν, ὁρμίζονται κατὰ τὸν ποτα-
μὸν ἄναμιν. ὁ δὲ χῶρος ἁρμόζεια ἐκαλέετο.
φίλια δὲ ἤδη, καὶ πάμφορα ταῦτα ἦν,
πλὴν αἱ ἐλαῖαι οὐ πεφύκεσαν. ἐνταῦθα ἐκ-
βαίνουσί τε ἐκ τῶν νεῶν, καὶ ἀπὸ τῶν πολλῶν
πόνων ἄσμενοι ἀνεπαύοντο, μεμνημένοι ὅ-
σα κακὰ κατὰ τὴν θάλασσαν πεπονθότες
ἦσαν, καὶ πρὸς τῇ γῇ τῶν ἰχθυοφάγων, τήν
τε ἐρημίην τῆς χώρης, καὶ τοὺς ἀνθρώπους

ὅπως

ὅπως θηριώδεες, καὶ τὰς σφῶν ἀπορίας ἐπι-
λεγόμενοι. καί τινες αὐτῶν ἀπὸ θαλάσσης ἐς
τὸ πρόσω ἀνῆλθον, ἀποσκεδασθέντες τῆς
στρατιῆς κατὰ ζήτησιν ἄλλος ἄλλου. ἐνταῦθα
ἄνθρωπός σφισιν ὤφθη, χλαμύδα τε φο-
ρέων ἑλληνικὴν, καὶ τὰ ἄλλα ὡς ἕλλην ἐσκευ-
ασμένος, καὶ φωνὴν ἑλλάδα ἐφώνεε. τοῦτον
οἱ πρῶτοι ἰδόντες, δακρῦσαι ἔλεγον· οὕτω
τι παράλογον σφίσι φανῆναι ἐκ τῶν τοσῶν-
δε κακῶν, ἕλληνα μὲν ἄνθρωπον ἰδεῖν, ἑλ-
λάδος δὲ φωνῆς ἀκοῦσαι. ἐπηρώτων τε,
ὁπόθεν ἥκει; καὶ ὅστις ὤν; ὁ δὲ, ἀπὸ τοῦ στρα-
τοπέδου τοῦ ἀλεξάνδρου ἀποσκεδασθῆναι
ἔλεγε, καὶ εἶναι οὐ πόρρω τὸ στρατόπεδον, καὶ
αὐτὸν ἀλέξανδρον. τοῦτον τὸν ἄνθρωπον βο-
ῶντες, ἀνάγουσι παρὰ τὸν νέαρχον. καὶ νε-
άρχῳ πάντα ἔφρασε, καὶ ὅτι πέντε ἡμερέων
ὁδὸν ἀπέχει τὸ στρατόπεδον, καὶ ὁ βασιλεὺς
ἀπὸ τῆς θαλάσσης· τόν τε ὕπαρχον τῆς χώ-
ρης ταύτης ἔφη νεάρχῳ, καὶ ἔδειξε. καὶ μετὰ
τούτου νέαρχος γνώμην ποιέεται, ὅπως
ἀναβήσεται πρὸς βασιλέα. τότε μὲν δὴ ἐπὶ
τὰς νέας ἀπῆλθον. ὑπὸ δὲ τὴν ἕω τὰς νέας

ἀνεῖλ

ἀνεώλκεε, ἐπισκευῆς τε εἵνεκα, ὅσαι αὐτῶν κατὰ τὸν πλόον πεπονήκεσαν· καὶ ἅμα, ὅτι ἐν τῷ χώρῳ τούτῳ ἀπολείπεσθαί οἱ ἐδόκεε τὸν πολλὸν στρατόν. χάρακά τε ὦν περιβάλλεται διπλοῦν ἀπὸ τοῦ ναυστάθμου, καὶ τεῖχος γήϊνον, καὶ τάφρον βαθέην ἀπὸ τοῦ ποταμοῦ τῆς ὄχθης ἀρξάμενος, ἐς τε ἐπὶ τὸν αἰγιαλόν, ἵνα αἱ νέες αὐτῷ ἀνειρυσμέναι ἦσαν. ἐν ᾧ δὲ ὁ νέαρχος ταῦτα ἐκόσμεε, τῆς χώρης ὁ ὕπαρχος πεπυσμένος, ὅπως ἐν μεγάλῃ φροντίδι ἔχοι ἀλέξανδρος τὰ ἀμφὶ τὸν στόλον τοῦτον, μέγα δή τι ἀγαθὸν ἐξ ἀλεξάνδρου ἂν ἔγνω πείσεσθαι, εἰ πρῶτος ἀπαγγέλλει τοῦ στρατοῦ τὴν σωτηρίην· καὶ τοῦ νεάρχου, ὅτι οὐ πολλῷ ὕστερον ἀφίξεται ἐς ὄψιν τὴν βασιλέως. οὕτω δὴ τὴν βραχυτάτην ἐλάσας, ἀπαγγέλλει ἀλεξάνδρῳ, ὅτι νέαρχος οὗτος προσάγει ἀπὸ τῶν νεῶν. τότε μὲν δὴ καίπερ ἀπιστέων τῷ λόγῳ ἀλέξανδρος, ἀλλὰ ἐχάρη γε κατὰ τὸ εἰκὸς τῇ ἀγγελίῃ. ὡς δὲ ἡμέρη τε ἄλλη ἐξ ἄλλης ἐγίνετο, καὶ ξυντιθέντι αὐτῷ τῆς ἀγγελίης τὸν

χρόνον



χρόνον, οὐκέτι πιστὰ τὰ ἠγγελμένα ἐφαίνετο· πεμπόμενοί τε ἄλλοι ἐπ' ἄλλοισιν, ὡς ἐπὶ κομιδῇ τοῦ νεάρχου, οἱ μὲν τινὲς ὀλίγον τῆς ὁδοῦ προελθόντες, καὶ διαμαρτόντες τῶν ἀμφὶ τὸν νέαρχον, οἱ δὲ αὐτοὶ ἐπανήεσαν. ἐνταῦθα δὴ τὸν μὲν ἄνθρωπον ἐκεῖνον, ὡς ψευδῆ τε ἀγγείλαντα, καὶ λυπηρότερα οἱ τὰ πρήγματα ποιήσαντα τῇ ματαίῃ εὐφροσύνῃ, συλλαβεῖν κελεύει ἀλέξανδρος· αὐτὸς δὲ τῇ τε ὄψει καὶ τῇ γνώμῃ δῆλος ἦν μεγάλῳ ἄχει βεβλημένος. ἐν τούτῳ δὲ τῶν τινων κατὰ ζήτησιν τοῦ νεάρχου ἐσταλμένων, ἵππους τε ἐπὶ κομιδῇ αὐτῶν καὶ ἀπήνας δὲ ἄγοντες, ἐντυγχάνουσι κατὰ τὴν ὁδὸν αὐτῷ τε νεάρχῳ, καὶ τῷ ἀρχίῃ, καὶ πέντε ἢ ἓξ ἅμα αὐτοῖσιν. μετὰ τοσούτων γὰρ ἀνήει. καὶ ἐντυχόντες, οὔτε αὐτὸν ἐγνώρισαν, οὔτε τὸν ἀρχίην. οὕτω τι κάρτα ἀλλοῖοι ἐφάνησαν, κομόωντές τε καὶ ῥυπόωντες, καὶ μεστοὶ ἅλμης, καὶ ῥικνοὶ τὰ σώματα, καὶ ὠχροὶ ὑπὸ ἀγρυπνίης τε καὶ τῆς ἄλλης ταλαιπωρίης. ἀλλὰ ἐρομένοις γὰρ αὐτοῖς ἵνα περ εἴη ἀλέξανδρος, ἀποκρινάμενοι τὸν χῶρον, οἱ δὲ παρήλαυνον

ρήλαυνον, ἀρχίης δὲ ἐπιφρασθεὶς λέγει πρὸς
νέαρχον· ὦ νέαρχε, τούτους τοὺς ἀνθρώπους
δι' ἐρημίης ἐλαύνειν τὴν αὐτὴν ἡμῖν ὁδὸν,
οὐκ ἐπ' ἄλλῳ τινὶ συντίθημι, ἢ ὅτι μὴ ἐπὶ
ζήτησιν ἡμετέρην ἀπεσταλμένους· ὅτι δὲ οὐ
γιγνώσκουσιν ἡμέας, οὐκ ἐν θώματι ποιέο-
μαι. οὕτω γάρ τι ἔχομεν κακῶς, ὡς ἄγνωστοι
εἶναι. φράσωμεν αὐτοῖς, οἵτινές εἰμεν. καὶ
τοὺς ἐρώμεθα, καθότι ταύτῃ ἐλαύνουσιν. ἔδο-
ξε τῷ νεάρχῳ ἐναίσιμα λέγειν. καὶ ἤροντο,
ὅποι ἐλαύνουσιν; οἱ δὲ ὑποκρίνονται, ὅτι ἐπὶ
ζήτησιν νεάρχου τε καὶ τοῦ στρατοῦ τοῦ ναυ-
τικοῦ. ὁ δὲ οὗτος ἔφη ἐγώ εἰμι νέαρχος, καὶ
ἀρχίας οὗτος. ἀλλ' ἄγετε ἡμέας. ἡμεῖς δὲ τὰ
ὑπὲρ τῆς στρατιῆς ἀλεξάνδρῳ ἀπηγησόμε-
θα. ἀναλαβόντες σφέας ἐπὶ τὰς ἀπήνας,
ὀπίσω ἤλαυνον. καί τινες αὐτῶν φθῆναι
ὑποφθάσαι ἐθελήσαντες τὴν ἀγγελίην,
προδραμόντες λέγουσιν ἀλεξάνδρῳ, ὅτι
οὗτός τοι νέαρχος, καὶ σὺν αὐτῷ ἀρχίης, καὶ
πέντε ἄλλοι κομίζονται παρὰ σέ· ὑπὲρ δὲ
τοῦ στρατοῦ παντὸς οὐδὲν εἶχον ὑποκρίνα-
σθαι. τοῦτο ἐκεῖνο συνθεὶς ὁ ἀλέξανδρος, τοὺς
μὲν



μὲν παραλόγως ἀποσωθῆναι, τὴν στρατιὴν
δὲ πᾶσαν διεφθάρθαι αὐτῷ, οὐ τοσόνδε τοῦ
νεάρχου τε καὶ τοῦ ἀρχίου τῇ σωτηρίῃ ἔχαι-
ρεν, ὅσον ἐλύπει αὐτὸν ἀπολομένη ἡ στρατιὰ
πᾶσα. οὔπω πάντα ταῦτα εἴρητο, καὶ ὁ νέ-
αρχός τε καὶ ὁ ἀρχίης προσῆγον. οὓς δὲ μό-
γις καὶ χαλεπῶς ἐπέγνω ἀλέξανδρος, ὅτι
τε κομόωντας καὶ κακῶς ἐσταλμένους καθεώ-
ρα, ταύτῃ μᾶλλόν τι βεβαιότερον αὐτῷ τὸ
ἄχθος ὑπὲρ τῆς στρατιῆς τῆς ναυτικῆς ἐγίνε-
το. ὁ δὲ τὴν δεξιὰν τῷ νεάρχῳ ἐμβαλὼν, καὶ
ἀπαγαγὼν μόνον αὐτὸν ἀπὸ τῶν ἑταίρων
τε καὶ τῶν ὑπασπιστῶν, πολλὸν μὲν χρόνον
ἐδάκρυε. ὀψὲ δὲ ἀνενεγκὼν· ἀλλὰ ὅτι σύ γε
ἡμῖν ἐπανήκεις σῶος (ἔφη) καὶ ἀρχίης οὗ-
τος, ἔχοι ἂν ἔμοιγε ὡς ἐπὶ συμφορῇ τῇ ἁ-
πάσῃ μετρίως. αἱ δὲ τι νέες, καὶ ἡ στρατιὴ,
ποίῳ τινὶ τρόπῳ διεφθάρησαν. ὁ δὲ ὑπο-
λαβὼν· ὦ βασιλεῦ (ἔφη) καὶ αἱ νέες τοι
σῶαί εἰσι, καὶ ὁ στρατός. ἡμεῖς δὲ οὗτοι ἄγγε-
λοι τῆς σωτηρίας αὐτῶν ἥκομεν. ἔτι μᾶλλον
ἐδάκρυεν ἀλέξανδρος, καθότι ἀνέλπιστός
οἱ ἡ σωτηρίη τοῦ στρατοῦ ἐφαίνετο. καὶ ὅπου
ὁρμέ-

ὁρμέουσιν αἱ νέες, ἐπανηρώτα. ὁ δὲ, αὗται (ἔφη) γε ἐν τῷ στόματι τοῦ ἀνάμιδος ποταμοῦ, ἀνειρυσμέναι ἐπισκευάζονται. ἀλέξανδρος δὲ τούτου δὴ τῶν ἑλλήνων, καὶ τὸν ἄμμωνα τὸν λιβύων ἐπομνύειν, ἦ μὴν μᾶλλον ὡς ἐπὶ τῇδε τῇ ἀγγελίῃ χαίρειν, ἢ ὅτι τὴν ἀσίην πᾶσαν κεκτημένος ἔρχεται. καὶ γὰρ καὶ τὸ ἄχος οἱ ἐπὶ τῇ ἀπωλείῃ τῆς στρατιῆς, ἀντίρροπον γενέσθαι τῇ ἄλλῃ πάσῃ εὐτυχίῃ. ὁ δὲ ὕπαρχος τῆς χώρης, ὅν τινα συνειλήφει ἀλέξανδρος ἐπὶ τῆς ἀγγελίης τῇ ματαιότητι, παρόντα κατιδὼν τὸν νέαρχον, πίπτει τε αὐτοῦ πρὸς τὰ γόνατα, καὶ οὗτός τι (ἔφη) ἐγώ εἰμι, ὃς ἀπήγγειλα ἀλεξάνδρῳ ὅτι σῶοι ἥκετε, ὁρᾷς ὅπως διάκειμαι. οὕτω δὴ δεῖται ἀλεξάνδρου νέαρχος, ἀφεῖναι τὸν ἄνδρα, καὶ ἀφίεται. ἀλέξανδρος δὲ σωτήρια τοῦ στρατοῦ ἔθυε διὶ σωτῆρι, καὶ ἡρακλεῖ, καὶ ἀπόλλωνι ἀλεξικάκῳ, καὶ ποσειδῶνί τε, καὶ ὅσοι ἄλλοι θαλάσσιοι θεοί. καὶ ἀγῶνα ἐποίει, γυμνικόν τε καὶ μουσικόν, καὶ πομπὴν ἔπεμπε. καὶ νέαρχος ἐν πρώτοις ἐπόμπευε, ταινίαισί τε καὶ ἄνθεσι πρὸς

τῆς



τῆς στρατιῆς βαλλόμενος. ὡς δὲ ταῦτα οἱ τέλος εἶχε, λέγει πρὸς νέαρχον· ἐγώ σε ὦ νέαρχε, οὐκέτι θέλω τὸ πρόσω, οὔτ᾽ ὀπίσω κινδυνεύειν, οὔτε ταλαιπωρέεσθαι. ἀλλὰ ἄλλος γὰρ τοῦ ναυτικοῦ ἐξηγήσεται, τὸ ἀπὸ τοῦδε ἔς τε κατακομίσαι αὐτῷ ἐς σοῦσα. νέαρχος δὲ ὑπολαβὼν λέγει· ὦ βασιλεῦ, ἐγὼ μέν τοι πάντα πείθεσθαι ἐθέλω τε, καὶ ἀναγκαίη μοι ἐστίν. ἀλλὰ εἰ δή τι καὶ σοὶ ἐμοὶ χαρίζεσθαι ἐθέλοις, μὴ ποιήσῃς ὧδε. ἀλλά με ἔασον ἐξηγήσασθαι ἐς ἅπαν τοῦ στρατοῦ, ἔς τε σοι σώας κατάξω ἐς σοῦσα τὰς νέας. μηδὲ τὰ μὲν χαλεπά τε αὐτοῦ καὶ ἄπορα ἐμοὶ ἐπιτετραμμένα ἐκ σοῦ ἔστω. τὰ δὲ εὐπετέα τε, καὶ κλέος ἤδη ἕτοιμον ἐχόμενα, ταῦτα δὲ ἀφαιρεθέντα, ἄλλῳ ἐς χεῖρας διδόσθω. ἔτι λέγοντα παύει αὐτὸν ἀλέξανδρος, καὶ χάριν προσωμολόγει εἰδέναι. οὕτω δὴ καταπέμπει αὐτὸν, στρατιὴν δοὺς ἐς παραπομπὴν διὰ φιλίας ἰόντι ὀλίγην. τῷ δὲ, οὐδὲ τὰ τῆς ὁδοῦ τῆς ἐπὶ θάλασσαν ἔξω πόνου ἐγένετο. ἀλλὰ συλλελεγμένοι γὰρ οἱ κύκλῳ βάρβαροι, τὰ ἐρυμνὰ τῆς χώρης

τῆς

τῆς καρμανίης κατεῖχον, ὅτι καὶ ὁ σατράπης αὐτοῖσι τετελευτήκει κατὰ πρόσταξιν ἀλεξάνδρου. ὁ δὲ νεωστὶ καθεστηκὼς τληπόλεμος, οὔπω βέβαιον τὸ κράτος εἶχον. ὥστε δὶς ὧν καὶ τρὶς τῇ αὐτῇ ἡμέρῃ ἄλλοισι καὶ ἄλλοισι τῶν βαρβάρων ἐπιφαινομένοισιν, ἐς χεῖρας ᾔεσαν. καὶ οὕτω οὐδέν τι ἐλινύσαντες, μόλις καὶ χαλεπῶς ἐπὶ θάλασσαν ἀπεσώθησαν. ἐνταῦθα θύει νέαρχος διὶ σωτῆρι, καὶ ἀγῶνα ποιέει γυμνικόν. ὡς δὲ αὐτῷ τὰ θεῖα ἐν κόσμῳ πεποίητο, οὕτω δὴ ἀνήγοντο. παραπλώσαντες δὴ νῆσον ἐρήμην τε καὶ τρηχέην, ἐν ἄλλῃ νήσῳ ὁρμίζονται, μεγάλῃ ταύτῃ καὶ οἰκουμένῃ, πλώσαντες σταδίους τριηκοσίους, ἔνθεν περ ὡρμήθησαν. καὶ ἡ μὲν ἐρήμη νῆσος, ὄργανα ἐκαλέετο. ἐς ἣν δὲ ὡρμήθησαν, ὀάρακτα. ἄμπελοί τε ἐν αὐτῇ ἐπεφύκεσαν, καὶ φοίνικες, καὶ σιτοφόρος. τὸ δὲ μῆκος ἦν τῆς νήσου, στάδιοι ὀκτακόσιοι. καὶ ὁ ὕπαρχος τῆς νήσου μαζήνης, συνέπλει αὐτοῖσι μέχρι σούσων ἐθελοντὴς, ἡγεμὼν τοῦ πλόου. ἐν ταύτῃ τῇ νήσῳ ἔλεγον καὶ τοῦ πρώτου δυ-

νασεύ



νασεύσαντος τῆς χώρης ταύτης, δείκνυσθαι τὸν τάφον. ὄνομα δὲ αὐτῷ ἐρύθρην εἶναι. ἀφ' ὅτου καὶ τὴν ἐπωνυμίην τῇ θαλάσσῃ ταύτῃ εἶναι, ἐρυθρὴν καλέεσθαι. ἐνθένδε ἐκ τῆς νήσου ἄραντες, ἔπλεον. καὶ τῆς νήσου αὐτῆς παραπλώσαντες ὅσον διηκοσίους σταδίους, ὁρμίζονται ἐν αὐτῇ εὐθύς. καὶ καθορῶσιν ἄλλην νῆσον, ἀπέχουσαν τῆς μεγάλης ταύτης τεσσαράκοντα μάλιστα σταδίους. ποσειδῶνος ἱρὴ ἐλέγετο εἶναι, καὶ ἄβατος. ὑπὸ δὲ τὴν ἕω ἀνήγοντο. καὶ καταλαμβάνει αὐτοὺς ἀνάπωτις, οὕτω τις καρτερὴ, ὥς τε τρεῖς τῶν νεῶν ἐποκείλασαι ἐν τῷ ξηρῷ ἐσχέθησαν. αἱ δὲ ἄλλαι χαλεπῶς διεκπλώουσαι τὰς ῥηχίας, ἐς τὰ βάθεα διεσώθησαν. αἱ δὲ ἐποκείλασαι τῆς πλημμυρίδος ἐπιγενομένης, αὖθις ἐξέπλωσάν τε καὶ δευτεραῖαι κατήγοντο, ἵνα περ ὁ πᾶς στόλος. ὁρμίζονται δὲ ἐς νῆσον ἄλλην, διέχουσαν τῆς ἠπείρου ὅσον τριηκοσίους σταδίους, πλώσαντες τετρακοσίους, ἐντεῦθεν ὑπὸ τὴν ἕω ἔπλεον, νῆσον ἐρήμην ἐν ἀριστερᾷ παραμείβοντες.

R ὄνομα

ὄνομα δὲ τῇ νήσῳ πύλωρα. καὶ ὁρμίζονται πρὸς σισιδώνῃ, πολιχνίῳ σμικρῷ, καὶ πάντων ἀπόρῳ, ὅτι μὴ ὕδατος καὶ ἰχθύων. ἰχθυοφάγοι γὰρ καὶ οὗτοι ὑπ' ἀναγκαίης ἦσαν, ὅτι πονηρὴν γῆν νέμονται. ἔνθεν δὲ ὑδρευσάμενοι, καταίρουσιν ἐς ταρσίην ἄκρην, ἀνατείνουσαν ἐς τὸ πέλαγος, πλώσαντες σταδίους τριακοσίους. ἔνθεν ἐς καταίην, νῆσον ἐρήμην ἁλιτενέα· αὕτη ἱρὴ ἑρμέω καὶ ἀφροδίτης ἐλέγετο· στάδιοι τοῦ πλόου τριακόσιοι. ἐς ταύτην ὅσα ἔτη ἀφίεται ἐκ τῶν περιοίκων πρόβατα καὶ αἶγες, ἱρὰ τῷ ἑρμῇ καὶ τῇ ἀφροδίτῃ. καὶ ταῦτα ἀπηγριωμένα ἦν ὁρᾶν, ὑπὸ χρόνου τε καὶ ἐρημίης. μέχρι τοῦδε καρμανίη. τὰ δὲ ἀπὸ τοῦδε, πέρσαι ἔχουσι. μῆκος τοῦ πλόου παρὰ τὴν καρμανίην χώρην, στάδιοι τρισχίλιοι καὶ ἑπτακόσιοι. ζώουσι δὲ καθάπερ πέρσαι, ὅτι καὶ ὅμοροί εἰσι πέρσῃσι. καὶ τὰ ἐς τὸν πόλεμον ὡσαύτως κοσμέονται. ἔνθεν δὲ ἄραντες ἐκ τῆς νήσου τῆς ἱρῆς, παρὰ τὴν περσίδα ἤδη ἔπλεον. καὶ κατάγονται ἐς ἴλαν χῶρον, ἵνα λιμὴν



μὴν πρὸς νήσου σμικρῆς καὶ ἐρήμης γίνεται. οὔνομα τῇ νήσῳ καΐκανδρος. ὁ δὲ πλόος στάδιοι τετρακόσιοι. ὑπὸ δὲ τὴν ἕω ἐς ἄλλην νῆσον πλώσαντες, ὁρμίζονται οἰκουμένην. ἵνα καὶ μαργαρίτην θηρᾶσθαι, λέγει νέαρχος, καθάπερ ἐν τῇ ἰνδῶν θαλάσσῃ. ταύτης τῆς νήσου τὴν ἄκρην παραπλώσαντες σταδίους ὡς τεσσαράκοντα, ἐνταῦθα ὡρμίσθησαν. ἔνθεν δὲ πρὸς ὄρει ὁρμίζονται ὑψηλῷ (ὦχος ὄνομα τῷ ὄρει) ἐν λιμένι εὐόρμῳ. καὶ ἁλιέες αὐτοῦ ᾤκεον. καὶ ἔνθεν πλώσαντες σταδίους τετρακοσίους καὶ πεντήκοντα, ὁρμίζονται ἀποστάνοισι. καὶ πλοῖα πολλὰ αὐτόθι ὥρμεε. κώμη τε ἐπῆν, ἀπέχουσα ἀπὸ θαλάσσης σταδίους ἑξήκοντα. νυκτὸς δὲ ἐπάραντες ἔνθεν, ἐσπλώουσιν ἐς κόλπον συνοικεόμενον πολλοῖσι κώμῃσι. στάδιοι τοῦ πλόου τετρακόσιοι. ὁρμίζονται δὲ πρὸς ὑπωρείην. ταύτῃ φοίνικές τε πολλοὶ ἐπεφύκεσαν, καὶ ὅσα ἄλλα ἀκρόδρυα ἐν τῇ ἑλλάδι γῇ φύεται. ἔνθεν ἄραντες ἐς γώγανα, παραπλέουσι σταδίους μάλιστα ἑξακοσίους ἐς χώρην

οἰκουμένην, ὁρμίζονται δὲ τοῦ ποταμοῦ τοῦ χειμάῤῥου, ὄνομα δὲ ἀρεὼν, ἐν τῇσιν ἐκβολῇσιν. ἐνταῦθα χαλεπῶς ὁρμίζονται. στεινὸς γὰρ ἦν ὁ ἔσπλους κατὰ τὸ στόμα· ὅτι βραχέα τὰ κύκλῳ αὐτοῦ, ἡ ἀνάπωτις ἐποίεε. καὶ ἔνθεν αὖ ἐν στόματι ἄλλου ποταμοῦ ὁρμίζονται, διεκπλώσαντες σταδίους ὀκτακοσίους. σιτακὸς ὄνομα τῷ ποταμῷ ἦν. οὐδὲ ἐν τούτῳ εὐμαρέως ὁρμίζονται. καὶ ὁ πλόος ἅπας οὗτος ὁ παρὰ τὴν περσίδα βραχέα τε ἦσαν, καὶ ῥηχίαι καὶ τεναγίαι. ἐνταῦθα σῖτον καταλαμβάνουσι πολὺν, ξυγκεκομισμένον κατὰ πρόσταξιν βασιλέως, ὡς σφίσιν εἶναι ἐπισιτίσασθαι. ἐνταῦθα ἔμειναν ἡμέρας τὰς πάσας, μίαν καὶ εἴκοσι. καὶ τὰς ναῦς ἀνειρυσάμενοι, ὅσαι μὲν πεπονήκεσαν, ἐπεσκεύαζον· τὰς δὲ ἄλλας ἐθεράπευον. ἔνθενδε ὁρμηθέντες, ἐς ἱέρατιν πόλιν ἀφίκοντο, ἐς χῶρον οἰκούμενον. ἑξακόσιοι καὶ πεντήκοντα στάδιοι ὁ πλόος. ὡρμίσθησαν δὲ ἐν διώρυχι, ἀπὸ τοῦ ποταμοῦ ἐκβεβλημένοι ἐς θάλασσαν, ἧ ὄνομα ἦν ἡράτεμις. ἅμα δὲ ἡλίῳ ἀνίσχοντι παρα-

πλέουσιν



πλέουσιν ἐς ποταμὸν χειμάῤῥουν, ὄνομα πάδαργον. ὁ δὲ χῶρος χεῤῥόννησος ἅπας. καὶ ἐν αὐτῷ, κῆποί τε πολλοὶ, καὶ ἀκρόδρυα παντοῖα ἐφύετο· ὄνομα τῷ χώρῳ μεσαμβρείη. ἐκ μεσαμβρείης δὲ ὁρμηθέντες, καὶ διεκπλώσαντες σταδίους μάλιστα ἐς διηκοσίους, ἐς ταόκην ὁρμίζονται, ἐπὶ ποταμῷ γράνιδι. καὶ ἀπὸ τούτου ἐς τὰ ἄνω (περσέων βασίλεια ἦν) ἀπέχοντα τοῦ ποταμοῦ τῶν ἐκβολέων σταδίους ἐς διηκοσίους. κατὰ τοῦτον τὸν παράπλουν λέγει νέαρχος ὀφθῆναι κῆτος, ἐκβεβλημένον εἰς τὴν ἠϊόνα· καὶ τοῦτο προσπλώσαντάς τινας τῶν αὐτῶν ἐκμετρῆσαι, καὶ φᾶναι εἶναι πηχέων πεντήκοντα· δέρμα δὲ αὐτῷ εἶναι φολιδωτόν. οὕτω τι ἐς βάθος ἧκον, ὡς καὶ ἐπὶ πῆχυν ἐπέχειν. ὄστρεά τε καὶ λοπάδας καὶ φυκία πολλὰ ἔχειν ἐπιπεφυκότα. καὶ δελφῖνας λέγει, ὅτι καθορᾶν ἦν πολλοὺς ἀμφὶ τὸ κῆτος, καὶ τοὺς δελφῖνας τῶν ἐν τῇ ἔσω θαλάσσῃ μείζονας. ἔνθεν δὲ ὁρμηθέντες, κατάγονται ἐς ῥώγονιν ποταμὸν χειμάῤῥουν, ἐν λιμένι εὐόρμῳ. μῆκος τοῦ παράπλου στάδιοι δια-



κόσιοι.

κόσιοι. ἐνθένδε τετρακοσίους σταδίους διεκ-
πλώσαντες, αὐλίζονται ἐν ποταμῷ χει-
μάῤῥῳ· Βρίζανα τῷ ποταμῷ ὄνομα. ἐν-
ταῦθα χαλεπῶς ὁρμίσαντο, ὅτι ῥηχίη ἦν,
καὶ βράχεα· καὶ χοιράδες ἐκ τοῦ πόντου
ἀνεῖχον. ἀλλ' ὅτε ἡ πλήμμυρα ἐπῄει, τότε
ὁρμίσαντο. ὑπονοστήσαντος δὲ τοῦ ὕδα-
τος, ἐπὶ ξηρῷ ἀπελήφθησαν αἱ νέες. ἐπεὶ
δὲ ἡ πλημμυρὶς ἐν τάξει ἀμείβουσα ἐπῆλ-
θε, τότε δὴ ἐκπλώσαντες ὁρμίζονται ἐπὶ
ποταμῷ· ὄνομα δὲ τῷ ποταμῷ ἄροσις· μέ-
γιστος τῶν ποταμῶν, ὡς λέγει νέαρχος, ὅ-
σοι ἐν τῷ παράπλῳ τῷδε ἐμβάλλουσιν
ἐς τὸν ἔξω πόντον. μέχρι τοῦδε πέρσαι οἰ-
κέουσι. τὰ δὲ ἀπὸ τούτων, σούσιοι. σουσίων
δὲ ἔθνος αὐτόνομον καθύπερθε προσοι-
κέει, οὔξιοι καλοῦνται· ὑπὲρ ὅτων λέλε-
κταί μοι ἐν τῇ ἄλλῃ συγγραφῇ, ὅτι λῃσταί
εἰσι. μῆκος τοῦ παράπλου τῆς περσίδος
χώρης, στάδιοι τετρακόσιοι καὶ τετρακισχί-
λιοι. τὴν δὲ περσίδα γῆν, τριχῇ νενεμῆ-
σθαι, τῶν ὡρέων λόγος κατέχει. τὸ μὲν αὐ-
τῆς πρὸς τῇ ἐρυθρῇ θαλάσσῃ οἰκεόμενον,
ἀμμώ



ἀμμώδές τε εἶναι καὶ ἄκαρπον ὑπὸ καύ-
ματος· τὸ δὲ ἐπὶ τελέως πρὸς ἄρκτον τε
καὶ βορέην ἄνεμον ἰόντων, καλῶς κεκρᾶ-
σθαι τῶν ὡρέων. καὶ τὴν χώρην ποιώδεά τε
εἶναι, καὶ λειμῶνας ὑδρηλοὺς, καὶ ἄμπε-
λον πολλὴν φέρειν, καὶ ὅσοι ἄλλοι καρποὶ,
πλὴν ἐλαίης· παραδείσοις τε παντοίοισι
τεθηλέναι, καὶ ποταμοῖσι καθαροῖσι διαῤ-
ῥέεσθαι· καὶ λίμνῃσι καὶ ὄρνισιν, ὁκόσοισιν
ἀμφὶ ποταμούς τε καὶ λίμνας ἐστὶ τὰ ἤθεα.
ἵπποισί τε ἀγαθὴν εἶναι, καὶ τοῖσιν ἄλλοι-
σιν ὑποζυγίοισι νέμεσθαι· καὶ ὑλώδεα δὲ
πολλαχῇ, καὶ πολύθηρον. τὴν δὲ πρόσω ἔτι
ἐπ' ἄρκτον ἰόντων, χειμερίην τε καὶ νιφετώ-
δεα. ὥς τε πρέσβεις τινὰς ἐκ τοῦ εὐξείνου
πόντου λέγει νέαρχος, κάρτα ὀλίγην ὁδὸν
διελθόντας, ἐντυχεῖν καθ' ὁδὸν ἰόντι τῷ περ-
σίδος, καὶ θῶυμα γενέσθαι ἀλεξάνδρῳ, καὶ
εἰπεῖν ἀλεξάνδρῳ τῆς ὁδοῦ τὴν βραχύτητα.
Σουσίοις δὲ πρόσοικοι ὅτι εἰσὶν οὔξιοι, λέλεκταί
μοι, καθάπερ μάρδοι μὲν πέρσῃσι προσεχέες
οἰκέουσι· λῃσταὶ καὶ οὗτοι. κοσσαῖοι δὲ, μήδοι-
σι. καὶ ταῦτα πάντα τὰ ἔθνεα, ἡμέρωσεν

 ἀλέ

ἀλέξανδρος, χειμῶνος ὥρῃ ἐπιπεσὼν αὐτοῖσιν, ὅτε ἄβατον σφέων τὴν χώρην ἤγον. καὶ πόληας ἐπέκτισε, τοῦ μὴ νομάδας ἔτι εἶναι, ἀλλὰ ἀροτῆρας, καὶ γῆς ἐργάτας, καὶ ἔχειν ὑπὲρ ὅτων δειμαίνοντες, μὴ κακὰ ἀλλήλους ἐργάσωνται. ἐνθένδε τὴν σουσίων γῆν παρήμειβε ὁ στρατός. καὶ ταῦτα οὐκέτι ὡσαύτως ἀτρεκέως λέγει νέαρχος, ὅτι ἔστιν οἱ φράσαι, πλήν γε δὴ τοὺς ὅρμους τε καὶ τὸ μῆκος τοῦ πλόου. τὴν χώρην γὰρ τεναγώδεά τε εἶναι τὴν πολλὴν, καὶ ῥηχίησιν ἐπὶ μέγα ἐς τὸν πόντον ἐπέχουσαν· καὶ ταύτην σφαλερὴν ἐγκαθορμίζεσθαι πελαγίοισιν, ὧν σφίσι τὴν κομιδὴν τὸ πολὺ γίνεσθαι. ὁρμηθῆναι μὲν δὴ ἐκ τοῦ ποταμοῦ τῶν ἐκβολέων, ἵνα περ ηὐλίσθησαν ἐπὶ τοῖσιν οὔροισι τῆς περσίδος. ὕδωρ δὲ ἐμβαλέσθαι, καὶ πέντε ἡμερέων. οὐκ ἔφασκον γὰρ εἶναι ὕδωρ οἱ καθηγεμόνες τοῦ πλόου. σταδίους δὲ πεντακοσίους κομισθέντες, ὁρμίζονται ἐπὶ στόματι λίμνης ἰχθυόδεος, ᾗ οὔνομα κατάδερβις. καὶ νησὶς ἐπῆν τῷ στόματι· μαργάστανα τῇ νησῖδι οὔνομα. ἐνθένδε

ἐνθένδε



ἐνθένδε ἐπὶ τὴν ἕω ἐκπλώσαντες, κατὰ βράχεα ἐκομίζοντο ἐπὶ μιῆς νεώς. πασσάλοισι δὲ ἔνθεν καὶ ἔνθεν πεπηγόσιν ἀποδεδήλωτο τὰ βράχεα, καθάπερ ἐν τῷ μεταξὺ λευκάδος τε νήσου ἰσθμῷ καὶ ἀκαρνανίης ἀποδέδεικται σημεῖα τοῖσι ναυτιλλομένοισι τοῦ μὴ ἐποκέλλειν ἐν τοῖσι βράχεσι τὰς νέας. ἀλλὰ τὰ μὲν κατὰ λευκάδα ψαμμώδεα ὄντα, καὶ τοῖσιν ἐποκείλασι ταχέαν τὴν ὑπονόστησιν ἐνδιδοῖ. κεῖθι δὲ πηλός ἐστιν ἐφ᾽ ἑκάτερα τοῦ πλεομένου, καὶ ἰλυώδης, ὥς τε οὐδεμίᾳ μηχανῇ ἐποκείλασιν ἦν ἀποσωθῆναι. οἵ τε γὰρ κοντοὶ κατὰ τοῦ πηλοῦ δύνοντες, αὐτοὶ οὐδέν τι ἐπωφέλεον, ἀνθρώπῳ τε ἐκβῆναι τοῦ ἀποσῶσαι τὰς νέας ἐς τὰ πλεόμενα, ἄπορον ἐγίνετο. ἐδύνον γὰρ κατὰ τοῦ πηλοῦ, ἐς τε ἐπὶ τὰ στήθεα. οὕτω δὴ χαλεπῶς διεκπλώσαντες σταδίους ἑξακοσίους, κατὰ ναῦν ἕκαστοι ὁρμισθέντες, ἐνταῦθα δείπνου ἐμνήσθησαν. τὴν νύκτα δὲ ἤδη κατὰ βάθεα ἔπλεον, καὶ τὴν ἐφεξῆς ἡμέρην ἐς τε ἐπὶ βουλυτὸν, καὶ ἦλθον σταδίους ἐννακοσίους. καὶ καθωρμίσθησαν

σθησαν

σθησαν ἐπὶ τοῦ στόματος τοῦ εὐφράτου, πρὸς κώμῃ τινὶ τῆς βαβυλωνίης χώρης· ὄνομα δὲ αὐτῇ διρίδωτις· ἵνα λιβανωτόν τε ἀπὸ τῆς ἐμπορίης γῆς οἱ ἔμποροι ἀγινέουσι, καὶ τὰ ἄλλα ὅσα θυμιήματα ἡ ἀῤῥάβων γῆ φέρει. ἀπὸ δὲ τοῦ στόματος τοῦ εὐφράτου, ἐς τε βαβυλῶνα, πλοῦν λέγει νέαρχος σταδίους εἶναι ἐς τρισχιλίους καὶ τριάκοντα. ἐνταῦθα ἀγγέλλεται ἀλέξανδρον ἐπὶ σούσων στέλλεσθαι. ἔνθεν καὶ αὐτοὶ τὸ ὀπίσω ἔπλεον, ὡς κατὰ τὸν πασιτίγριν ποταμὸν ἀναπλώσαντες, συμμίξαι ἀλεξάνδρῳ. ἔπλεον δὴ τὸ ἔμπαλιν ἐν ἀριστερᾷ τὴν γῆν τὴν σουσίδα ἔχοντες. καὶ παραπλέουσι λίμνην, ἐς ἣν ὁ τίγρης ἐσβάλλει ποταμός. ὃς ῥέων ἐξ ἀρμενίας παρὰ πόλιν νῖνον, πάλαι ποτὲ μεγάλην καὶ εὐδαίμονα, τὴν μέσην ἑωυτοῦ τε καὶ τοῦ εὐφράτου ποταμοῦ, ἣν μεσοποταμίην ἐπὶ τῷδε κλήζεσθαι ποιέει. ἀπὸ δὲ τῆς λίμνης ἐς αὐτὸν τὸν ποταμὸν ἀνάπλους στάδιοι ἑξακόσιοι. ἵνα καὶ κώμη τῆς σουσίδος, ἣν καλέουσιν ἄγινιν. αὕτη δὲ ἀπέχει σούσων σταδίους



δίους ἐς πεντακοσίους, μῆκος τῆς παράπλου τῆς σουσίων γῆς. ἐς τε ἐπὶ στόμα τοῦ πασιτίγριδος ἄνω ἀνέπλεον, διὰ χώρης οἰκουμένης καὶ εὐδαίμονος. ἀναπλώσαντες δὲ σταδίους ἐς πεντήκοντα καὶ ἑκατὸν, αὐτοῦ ὁρμίζονται, προσμένοντες οὕς τινας ἐστάλκει νέαρχος, σκεψομένους ἵνα ὁ βασιλεὺς εἴη. αὐτὸς δὲ ἔθυε θεοῖς τοῖς σωτῆρσιν, καὶ ἀγῶνα ἐποίεε. καὶ ἡ στρατιὴ ἡ ναυτικὴ πᾶσα ἐν εὐθυμίῃσιν ἦν. ὡς δὲ προσάγων ἤδη ἀλέξανδρος ἠγγέλλετο, ἔπλεον ἤδη αὖθις ἐς τὸ ἄνω κατὰ τὸν ποταμόν. καὶ πρὸς τῇ σχεδίῃ ὁρμίζονται, ἐφ᾽ ᾗ τὸ στράτευμα διαβιβάσειν ἔμελλεν ἀλέξανδρος ἐς σοῦσα. ἐνταῦθα ἀνεμίχθη ὁ στρατὸς, καὶ θυσίαι πρὸς ἀλεξάνδρου ἐθύοντο ἐπὶ τῶν νεῶν τε καὶ τῶν ἀνθρώπων τῇ σωτηρίῃ. καὶ ἀγῶνες ἐποιέοντο. καὶ νέαρχος ὅποι παραφανείη τῆς στρατιῆς, ἄνθεσί τε καὶ ταινίῃσιν ἐβάλλετο. ἔνθα καὶ χρυσῷ στεφάνῳ στεφανοῦται ἐξ ἀλεξάνδρου νέαρχός τε καὶ λεοννάτος· νέαρχος μὲν ἐπὶ τοῦ ναυτικοῦ τῇ σωτηρίῃ· λεοννάτος δὲ ἐπὶ τῇ νίκῃ, ἣν ὠρείτας

τε

τε ἐνίκησε, καὶ τοὺς ὠρείτας προσοικέοντας βαρβάρους. οὕτω μὲν ἀπεσώθη ἀλεξάνδρῳ ἐκ τοῦ ἰνδοῦ τῶν ἐκβολέων ὁρμηθεὶς ὁ στρατός. τὰ δὲ ἐν δεξιᾷ τῆς ἐρυθρῆς θαλάσσης ὑπὲρ τὴν βαβυλωνίην, ἀραβίη ἡ πολλή ἐστι. καὶ ταύτης τὰ μὲν κατήκει ἔς τε ἐπὶ τὴν θάλασσαν, τὴν κατὰ φοινίκην τε καὶ τὴν παλαιστίνην συρίην. πρὸς δυομένου δὲ ἡλίου, ὡς ἐπὶ τὴν ἔσω θάλασσαν αἰγύπτιοι τῇ ἀῤῥαβίῃ ὁμουρέουσι. κατὰ δὲ αἴγυπτον ἐσέχων ἐκ τῆς μεγάλης θαλάσσης κόλπος, δῆλον ποιέει ὅτι ἕνεκά γε τοῦ σύῤῥουν εἶναι τὴν ἔξω θάλασσαν, περίπλους ἂν ἦν ἐκ βαβυλῶνος ἐς τὸν κόλπον τοῦτον ἀνέχοντα, ὡς ἐπ' αἴγυπτον. ἀλλὰ γὰρ οὔ τις παρέπλωσε ταύτῃ, οὐδαμῶς ἀνθρώπων ὑπὸ καύματος καὶ ἐρημίης, εἰ μή τινές γε πελάγιοι κομιζόμενοι. ἀλλὰ οἱ ἐπ' αἰγύπτου γὰρ ἐς σοῦσα ἀποσωθέντες, τῆς στρατιῆς τῆς καμβύσεω· καὶ οἱ παρὰ πτολεμαίου τοῦ λάγου παρὰ σέλευκον τὸν νικάνορα σταλέντες ἐς βαβυλῶνα, διὰ τῆς ἀῤῥαβίης χώρης, ἰσθμόν τινα διαπορευθέντες ἐν





ἡμέρῃσιν ὀκτὼ ταῖς πάσαις, ἄνυδρον καὶ ἐρήμην χώρην, ἐπῆλθον ἐπὶ καμήλων σπουδῇ ἐλαύνοντες, ὕδωρ τέ σφιν ἐπὶ τῶν καμήλων φέροντες, καὶ νυκτοπορέοντες. τὰς γὰρ ἡμέρας ὑπαίθριοι ἀνέχεσθαι διὰ καῦμα ἀδύνατοι ἦσαν. τοσούτου δεῖ τά γε ἐπέκεινα ταύτης τῆς χώρης (ἥν τινα ἰσθμὸν ἀποφαινόμεθα) ἐκ τοῦ κόλπου τοῦ ἀῤῥαβίου κατήκοντα ἐς τὴν ἐρυθρὴν θάλασσαν οἰκεόμενα εἶναι, ὁπότε τὰ πρὸς ἄρκτον μᾶλλον αὐτῶν ἀνέχοντα ἔρημά τέ ἐστι καὶ ψαμμώδεα. ἀλλὰ γὰρ ἀπὸ τοῦ ἀῤῥαβίου κόλπου, τοῦ κατ' αἴγυπτον ὁρμηθέντες ἄνθρωποι, ἐκπεριπλώσαντες τὴν πολλὴν ἀῤῥαβίην, ἐλθεῖν ἐς τὴν κατὰ σοῦσάν τε καὶ πέρσας θάλασσαν, ἐς τοσόνδε ἄρα παραπλώσαντες τῆς ἀῤῥαβίης, ἐς ὅσον σφίσι τὸ ὕδωρ ἐπήρκεσε, τὸ ἐμβληθὲν ἐς τὰς νέας. ἔπειτα ὀπίσω ἀπενόστησαν ἐκ βαβυλῶνός τε, οὕς τινας ἔστειλεν ἀλέξανδρος, ὡς ἐπὶ μήκιστον πλέοντας, ἐν δεξιᾷ τῆς ἐρυθρῆς θαλάσσης, γνῶναι τοὺς ταύτῃ χώρους. οὗτοι νήσους μέν τινας κατεσκέψαντο, ἐν τῷ παράπλῳ

καρμανίας. καί που καὶ τῆς ἠπείρου τῆς ἀρ-ραβίης προέσχον. τὴν δὲ ἄκρην, ἥν τινα κατ᾽ ἀντικρὺ τῆς καρμανίης ἀνέχουσαν λέγει φανῆναι σφίσι νέαρχος, οὐκ ἔστιν ὅς τις ὑπερβαλὼν ἐπικάμψαι ἐς τὸ ἐπὶ θάτερα δυνατὸς ἐγένετο. δοκέω δὲ, ὥσπερ πλωτά τε ἦν καὶ βαδιστὰ ταύτῃ, ὑπ᾽ ἀλεξάνδρου ἂν τῆς πολυπραγμοσύνης ἐξελήλεκτο, πλωτά τε καὶ βαδιστὰ ἐόντα. καὶ ἄννων δὲ ὁ λίβυς ἐκ καρχηδόνος ὁρμηθεὶς, ὑπὲρ μὲν ἡρακλέας στήλας ἐξέπλωσεν ἔξω ἐς τὸν πόντον, ἐν ἀριστερᾷ τὴν λιβύην γῆν ἔχων. καὶ ἔς τε μὲν πρὸς ἀνίσχοντα ἥλιον ὁ πλό-ος αὐτῷ ἐγένετο, τὰς πάσας πέντε καὶ τριάκοντα ἡμέρας. ὡς δὲ δὴ ἐς μεσημ-βρίην ἐξετράπετο, πολλῇσιν ἀμηχανίῃσιν ἐνετύγχανεν, ὕδατός τε ἀπορίῃ, καὶ καύ-ματι ἐπιφλέγοντι, καὶ ῥύαξι πυρὸς ἐς τὸν πόντον ἐμβάλλουσιν. ἀλλ᾽ ἡ κυρήνη γὰρ τῆς λιβύης ἐν τοῖς ἐρημοτέροις τε πεπο-λισμένη, ποιώδης τέ ἐστι, καὶ μαλθακὴ, καὶ εὔυδρος, καὶ ἄλσεα, καὶ λειμῶνες, καὶ καρπῶν παντοίων καὶ κτηνέων πάμ-φορος,



Io
epaph)
Libye
Belos
Phoenix
Agenor

Cadmus
Polydor)
Labdacus
Laius
Oedipus
Eteocles & polynices

ARRIANVS


ARRIANO